ΩΡΙΓΕΝΟΥΣ

TA

ΕΥΡΙΣΚΟΜΕΝΑ ΠΑΝΤΑ.

ORIGENIS

OPERA OMNIA

QUAE

GRAECE VEL LATINE TANTUM EXSTANT

ET

EJUS NOMINE CIRCUMFERUNTUR.

Ex variis Editionibus et Codicibus manu exaratis, Gallicanis, Italicis, Germanicis et Anglicis collecta, recensita atque annotationibus illustrata, cum vita Auctoris et multis Dissertationibus.

Ediderunt

CAROLUS ET CAROL. VINCENT. DE LA RUE
Presbyteri et Monachi Benedictini e Congregatione S. Mauri.

Denuo Recensuit Emendavit Castigavit

Carol. Henric. Eduard. Lommatzsch
Philos. Dr. Theolog. Licent. ejusdemq. in Seminar. Viteberg. Professor.

TOMUS XIX.

Berolini 1846.
Sumtibus Haude et Spener.
(S. J. Joseephy.)

ORIGENIS

CONTRA CELSUM

LIBRORUM

PARS II.



Ex

Nova Editionum Parisiensium, Cantabrigiensium atque Amstelodamensis Recognitione

Edidit

Carol. Henric. Eduard. Lommatzsch
Philos. Dr. Theolog. Licent. ejusdemq. in Seminar. Viteberg Professor.

Berolini 1846.
Sumtibus Haude et Spener.
(S. J. Josephy.)

ΩΡΙΓΕΝΟΥΣ

ΚΑΤΑ ΚΕΛΣΟΥ

Τόμος τέταρτος.

(161) 1. Ἐν τρισὶ τοῖς πρὸ τούτων διεξελθόντες βιβλίοις τὰ πρὸς τὸ Κέλσου σύγγραμμα νοηθέντα ἡμῖν, ἱερὲ Ἀμβρόσιε, τέταρτον πρὸς τὰ ἑξῆς, εὐξάμενοι διὰ Χριστοῦ τῷ θεῷ, ὑπαγορεύομεν. Δοθεῖεν δὲ ἡμῖν λόγοι, περὶ ὧν ἐν τῷ Ἱερεμίᾳ γέγραπται, ὡς τοῦ κυρίου πρὸς τὸν προφήτην εἰπόντος· »Ἰδοὺ,[1]) δέδωκα τοὺς λόγους μου εἰς τὸ στόμα σου πῦρ. Ἰδοὺ, καθέστακά σε σήμερον ἐπὶ ἔθνη καὶ[2]) βασιλείας, ἐκριζοῦν, καὶ κατασκάπτειν, καὶ ἀπολλύειν,[3]) καὶ κατασπᾷν, καὶ ἀνοικοδομεῖν, καὶ καταφυτεύειν.« Καὶ γὰρ ἡμεῖς χρήζομεν νῦν λόγων ἐκριζούντων τὰ κατὰ τῆς ἀληθείας ἀπὸ πάσης ψυχῆς βεβλαμμένης ὑπὸ[4]) τοῦ συγγράμματος Κέλσου, ἢ τῶν παραπλησίων αὐτῷ νοημάτων. Δεόμεθα δὲ καὶ νοημάτων κατασκαπτόντων πάσης ψευδοδοξίας

---

[1]) Cfr. Jerem. I, 9. 10.

[2]) Edd. Spenc., uncis voc. ἐπί appositis: καὶ ἐπὶ βασιλείας.

[3]) Libri excusi (v. c. edd. Spenc.) in margine: ἀπολύειν. R.

[4]) Libri excusi (v. c. edd. Spenc.) in textu: ἀπό. R. — Edd. Spenc. ad marg. ὑπό.

οἰκοδομὰς, καὶ [1]) τῆς Κέλσου ἐν τῷ συγγράμματι αὐτοῦ οἰκοδομῆς παραπλήσια τῇ οἰκοδομῇ τῶν εἰπόντων· »δεῦτε,[2]) οἰκοδομήσωμεν ἑαυτοῖς πόλιν καὶ πύργον, οὗ ἡ κεφαλὴ ἔσται ἕως τοῦ οὐρανοῦ·« ἀλλὰ καὶ χρῄζομεν σοφίας κατασπώσης πάντα[3]) τὰ ἐπαιρόμενα κατὰ τῆς γνώσεως τοῦ θεοῦ ὑψώματα, καὶ τὸ Κέλσου ἐπαιρόμενον καθ' ἡμῶν τῆς ἀλαζονείας ὕψωμα. Εἶτ' ἐπεὶ μὴ χρὴ καταλήγειν ἡμᾶς ἐπὶ τὸ ἐκριζοῦν καὶ κατασκάπτειν τὰ προειρημένα, ἀλλ' εἰς μὲν τὴν χώραν τῶν ἐκριζωθέντων καταφυτεύειν φυτείαν τοῦ κατὰ θεὸν γεωργίου,[4]) εἰς δὲ τὸν τόπον τῶν κατασκαφέντων οἰκοδομεῖν θεοῦ οἰκοδομὴν, καὶ ναὸν δόξης θεοῦ· διὰ τοῦτο καὶ ἡμῖν εὐκτέον ἐστὶ τῷ δεδωκότι Κυρίῳ τὰ ἐν τῷ Ἱερεμίᾳ γεγραμμένα, ἵνα καὶ ἡμῖν δῷ λόγους καὶ πρὸς τὸ οἰκοδομεῖν τὰ τοῦ Χριστοῦ, καὶ καταφυτεύειν τὸν πνευματικὸν νόμον, καὶ τοὺς ἀνάλογον αὐτῷ προφητικοὺς λόγους. Καὶ μάλιστα χρεία ἡμῖν πρὸς τὰ νῦν ἐξῆς τοῖς προειρημένοις τῷ Κέλσῳ λεγόμενα κατασκευάσαι, ὅτι καλῶς τὰ περὶ τοῦ Χριστοῦ πεπροφήτευται. Ἅμα γὰρ πρὸς ἀμφοτέρους ἱστάμενος ὁ Κέλσος, Ἰουδαίους μὲν ἀρνουμένους γεγονέναι τὴν Χριστοῦ ἐπιδημίαν, ἐλπίζοντας δ' αὐτὴν ἔσεσθαι, Χριστιανοὺς δὲ ὁμολογοῦντας τὸν Ἰησοῦν εἶναι τὸν προφητευθέντα Χριστὸν, φησίν·

2. »Ὅτι δὲ καὶ Χριστιανῶν τινες καὶ Ἰουδαῖοι, οἱ μὲν καταβεβηκέναι φασὶν,[5]) οἱ δὲ καταβήσεσθαι (162) εἰς τὴν γῆν τινα θεὸν, ἢ θεοῦ υἱὸν τῶν τῇδε διακωτὴν, τοῦτ'[6]) αἴσχιστον, καὶ οὐδὲ δεῖται μακροῦ λό-

---

[1]) Boherell. in notis: »Lego: *καὶ τὰ τῆς Κέλσου*.«

[2]) Cfr. Genes. XI, 4. [3]) Cfr. II Cor. X, 5.

[4]) Cfr. I Cor. III, 9.

[5]) Omittitur *φασὶν* in libris antea editis (v. c. edd. Spenc.), sed reperitur in Cod. Joliano. R.

[6]) Edd. Spenc. absque causa ad marginem: »Deest fortasse: *λέγουσι*.«

γου ὁ ἔλεγχος.« Καὶ [1]) δοκεῖ γε ἀκριβῶς περὶ μὲν Ἰουδαίων οὐ τινῶν, ἀλλὰ πάντων λέγειν, ὅτι οἴονταί τινα καταβήσεσθαι ἐπὶ τὴν γῆν· περὶ δὲ Χριστιανῶν, ὅτι τινὲς αὐτῶν καταβεβηκέναι λέγουσιν. Ἐμφαίνει γὰρ τοὺς ἀπὸ Ἰουδαϊκῶν γραφῶν κατασκευάζοντας τὴν [2]) Χριστοῦ ἐπιδημίαν ὡς ἤδη γεγενημένην· καὶ ἔοικεν εἰδέναι, ὅτι εἰσί τινες αἱρέσεις ἀρνούμεναι Χριστὸν Ἰησοῦν εἶναι τὸν πεπροφητευμένον. Ἤδη μὲν οὖν καὶ ἐν τοῖς προτέροις περὶ τοῦ πεπροφητεῦσθαι τὸν Χριστὸν, κατὰ δύναμιν διειλήφαμεν· διὸ τὰ πολλὰ τῶν δυναμένων λέγεσθαι εἰς τὸν τόπον, οὐκ ἐπαναλαμβάνομεν, ἵνα μὴ παλιλλογῶμεν. Ὅρα δὴ ὅτι, εἴπερ μετά [3]) τινος κἂν δοκούσης ἀκολουθίας ἐβούλετο ἀνατρέπειν τὴν περὶ τῶν προφητειῶν, ἢ περὶ τοῦ ἐπιδημήσειν ἢ ἐπιδεδημηκέναι τὸν Χριστὸν πίστιν, ἐχρῆν αὐτὸν αὐτὰς ἐκθέσθαι τὰς προφητείας, αἷς ἐν τῷ διαλέγεσθαι πρὸς ἀλλήλους χρώμεθα Χριστιανοὶ καὶ Ἰουδαῖοι. Οὕτω γὰρ ἂν κἂν ἔδοξε τοὺς περισπωμένους ὑπὸ τῆς, ὡς οἴεται, πιθανότητος [4]) ἀνατρέπειν ἀπὸ [5]) τῆς πρὸς τὰ προφητικὰ συγκαταθέσεως, καὶ τῆς διὰ τὰ προφητικὰ εἰς τὸν Ἰησοῦν ὡς ὄντα Χριστὸν πίστεως. Νυνὶ δὲ, ἤτοι μὴ δυνάμενος ἀπαντῆσαι πρὸς τὰς περὶ Χριστοῦ προφη-

---

[1]) Libri impressi (v. c. edd. Spenc.) *Καὶ οὐ δοκεῖ κτλ.*, sed vocula *οὐ* abest ab omnibus Mss. R.

[2]) Ita Codd. Reg. Basil. et duo Anglicani (itemq. edd. Spenc. ad marg.) Alias (v. c. in textu edd. Spenc.) *τὴν Ἰησοῦ*. R.

[3]) Hoeschel. in textu (edd. Spenc. ad marg.) *μετά τινος οὐκ ἂν δοκούσης*. R.

[4]) Edd. Spenc. et Ruaei in textu: *πιθανότητος δοκεῖν ἀνατρέπειν*, jam Boherell. vero, quem Ruaeus sequitur: »Delendum videtur: *δοκεῖν*. Quid sit enim: *ἔδοξε δοκεῖν*;«

[5]) Libri excusi (v. c. edd. Spenc. in textu): *ἀπὸ τῆς εἰς τὰ προφητικά*, sed Mss. (itemq. edd. Spenc. ad marg.) ut in nostro textu. R.

τείας, ἢ [1]) μηδὲ τὴν ἀρχὴν εἰδὼς, τίνα ἐστὶ τὰ περὶ αὐτοῦ προφητευόμενα· οὐδεμίαν μὲν λέξιν τίθησι προφητικὴν, καίτοι γε μυρίαι ὅσαι εἰσὶ περὶ Χριστοῦ· κατηγορεῖν δὲ οἴεται τῶν προφητικῶν, μηδ' ἣν εἴποι ἂν ἐκεῖνος πιθανότητα αὐτῶν ἐκθέμενος. Οὐκ οἶδε μέντοι γε, ὅτι οὐ πάνυ τι Ἰουδαῖοι λέγουσι θεὸν ὄντα τὸν Χριστὸν κακαβήσεσθαι [2]) ἢ θεοῦ υἱὸν, ὡς καὶ ἐν τοῖς ἀνωτέρω εἰρήκαμεν. Καὶ εἰπὼν »αὐτὸν, ὑφ' ἡμῶν μὲν λέγεσθαι καταβεβηκέναι, ὑπὸ Ἰουδαίων δὲ, καταβήσεσθαι δικαιωτήν·« κατηγορεῖν αὐτόθεν οἴεται τοῦ λεγομένου, ὡς αἰσχίστου καὶ οὐδὲ μακροῦ ἐλέγχου δεομένου.

3. Καί φησι· »τίς ὁ νοῦς τῆς τοιᾶσδε καθόδου τῷ θεῷ;« οὐχ ὁρῶν, ὅτι καὶ καθ' ἡμᾶς ἐστι τῆς καθόδου ὁ νοῦς, προηγουμένως μὲν, τὰ λεγόμενα ἐν τῷ εὐαγγελίῳ [3]) ἀπολωλότα πρόβατα οἴκου Ἰσραὴλ ἐπιστρέψαι· δευτέρως δὲ τὸ, διὰ τὴν ἐκείνων ἀπείθειαν ἆραι ἀπ' αὐτῶν τὴν ὀνομασθεῖσαν βασιλείαν τοῦ θεοῦ, καὶ δοῦναι ἄλλοις γεωργοῖς παρὰ τοὺς πάλαι Ἰουδαίους Χριστιανοῖς, τοὺς καρποὺς [4]) τῆς τοῦ θεοῦ βασιλείας ἀποδώσουσι τῷ θεῷ, ἐν τοῖς ἑκάστης πράξεως οὔσης καρποῦ τῆς βασιλείας καιροῖς. Ἡμεῖς μὲν οὖν ἀπὸ πλειόνων ὀλίγα εἴπομεν πρὸς τὴν Κέλσου πεῦσιν εἰπόντος· »τίς γὰρ ὁ νοῦς τῆς τοιᾶσδε καθόδου τῷ θεῷ;« Κέλσος δὲ τὰ μήτε ὑπὸ Ἰουδαίων, μήτε ὑφ' ἡμῶν λεχθέντα ἂν ἑαυτῷ ἀποφαίνεται, λέγων· »ἢ ἵνα μάθῃ τὰ ἐν ἀνθρώποις.« Οὐδεὶς γὰρ ἡμῶν (163) φησιν, ὅτι, ἵνα μάθῃ τὰ ἐν ἀνθρώποις, Χριστὸς ἐπιδημεῖ τῷ βίῳ.

---

[1]) Recte Cod. Jolianus (itemq. Boherell. in notis): ἢ μηδέ. Ab antea editis (v. c. edd. Spenc.) excidit vocula: ἤ. R.

[2]) Edd. Spenc., uncis voc. καί appositis: καταβήσεσθαι καὶ ἢ θεοῦ υἱόν.

[3]) Cfr. Matth. XV, 24.

[4]) Cfr. Matth. XXI, 41.

Εἶτα, ὡς εἰπόντων ἄν τινων τό· »ἵνα μάθῃ τὰ ἐν ἀνθρώποις·« ἑαυτῷ[1]) *ἀνθυποφέρει πρὸς τοῦτο τό· »οὐ γὰρ οἶδε πάντα;« Εἶτα, ὡς ἀποκρινουμένων, ὅτι οἶδε, πάλιν ἐπαπορεῖ, λέγων· »ὅτι ἆρα οἶδε μὲν, οὐκ ἐπανορθοῖ*[2]) *δὲ, οὐδ' οἷόν τε αὐτῷ θείᾳ δυνάμει ἐπανορθοῦν;« Καὶ ταῦτα δὲ πάντα εὐήθως λέγει. Ἀεὶ γὰρ ὁ θεὸς τῷ ἑαυτοῦ λόγῳ κατὰ γενεὰς εἰς ψυχὰς ὁσίας μεταβαίνοντι, καὶ φίλους θεοῦ καὶ προφήτας κατασκευάζοντι, ἐπανορθοῖ τοὺς ἀκούοντας τῶν λεγομένων· καὶ ἐν τῇ Χριστοῦ δὲ ἐπιδημίᾳ ἐπανορθοῖ τῷ κατὰ Χριστιανισμὸν λόγῳ, οὐχὶ τοὺς μὴ βουλομένους, ἀλλὰ τοὺς τὸν κρείττονα βίον καὶ ἀρέσκοντα τῷ θεῷ ἑλομένους. Οὐκ οἶδα δὲ καὶ, ποταπὴν ἐπανόρθωσιν*[3]) *βουλόμενος ὁ Κέλσος γενέσθαι, ἐπηπόρησε λέγων· »ἆρ' οὐχ οἷόν τε αὐτῷ δυνάμει θείᾳ ἐπανορθοῦν, ἐὰν μὴ φύσει*[4]) *τινὰ ἐπὶ τοῦτο πέμψῃ;« Ἆρα γὰρ ἤθελε φαντασιουμένοις*[5]) *τοῖς ἀνθρώποις ὑπὸ θεοῦ, ἀπειληφότος μὲν ἀθρόως τὴν κακίαν, ἐμφύοντος δὲ τὴν ἀρετὴν, τὴν*[6])

---

[1]) Edd. Spenc. ad marg. *αὐτῷ*.

[2]) Sic Mss. Alias vero (v. c. in edd. Spenc.) in textu: *ἐπηνώρθου*. R. — Edd. Spenc. ad marg. perperam: *ἐπανόρθου*.

[3]) Edd. Spenc., uncis voc. *καί* appositis: *ἐπανόρθωσιν καὶ βουλόμενος*.

[4]) Boherell. in notis: »Vox: *φύσει*, commode abesset; quae quum hac ipsa pagina bis repetatur, ex seqq. facile potest huc irrepsisse.«

[5]) Cod. Jolianus secunda manu: *φαντασιουμένοις τοῖς ἀνθράποις ὑπὸ θεοῦ ἀπειληφότος κτλ.*, melius sane quam habent libri impressi (v. c. edd. Spenceri): *φαντασιουμένους τοὺς ἀνθρώπους ὑπὸ θεοῦ, ἀνειληφότος κτλ.*, pro quibus Boherell. (in notis) legebat: *φαντασιουμένων τῶν ἀνθρώπων κτλ.* Ut ut est, verbum: *ἀνειληφότος*, aut: *ἀπειληφότος*, Guietus nullum hic locum habere putat, et legi vult: *ἀνηρηκότος*. R.

[6]) In edd. Spenc. uncis inclusum legitur: *τήν*.

ἐπανόρθωσιν γενέσθαι; Ἄλλος μὲν οὖν ζητήσει, εἰ ἀκόλουθον, ἢ εἰ[1]) δυνατόν ἐστι τῇ φύσει[2]) τὸ τοιοῦτον. Ἡμεῖς δὲ εἴποιμεν ἄν, ὅτι ἔστω, καὶ δυνατὸν αὐτὸ εἶναι. Ποῦ οὖν τὸ ἐφ' ἡμῖν; Καὶ ποῦ ἐπαινετὴ συγκατάθεσις πρὸς τὸ ἀληθές; Ἡ ἀποδεκτὴ ἀνάνευσις ἀπὸ τοῦ ψεύδους; Ἀλλὰ καὶ εἰ ἅπαξ δοθείη, καὶ δυνατὸν τοῦτο, καὶ πρεπόντως γινόμενον· διὰ τί οὐχὶ μᾶλλον ζητήσει τις τὴν ἀρχὴν, ἀνάλογόν τι φάσκων τῷ Κέλσῳ, ὅτι οὐχ οἷόν τε ἦν τῷ θεῷ θείᾳ δυνάμει μηδ' ἐπανορθώσεως δεομένους ποιῆσαι τοὺς ἀνθρώπους, ἀλλ' αὐτόθεν σπουδαίους καὶ τελείους, οὐδὲ τὴν ἀρχὴν ὑποστάσης τῆς κακίας; Ταῦτα δ' ἰδιώτας μὲν καὶ ἀσυνέτους[3]) δύναται συναρπάσαι, οὐ μὴν καὶ τὸν ἐνορῶντα τῇ φύσει[4]) τῶν πραγμάτων· ὅτι ἀρετῆς μὲν ἐὰν ἀνέλῃς το ἑκούσιον, ἀνεῖλες αὐτῆς καὶ τὴν οὐσίαν. Ὅλης δ' εἰς ταῦτα πραγματείας χρεία· περὶ ἧς οὐκ ὀλίγα ἐν τοῖς περὶ προνοίας καὶ Ἕλληνες εἰρήκασιν· οἱ μὴ εἰπόντες ἄν, ὅπερ[5]) ὁ Κέλσος ἐξέθετο λέγων· »οἷδε μὲν οὖν, οὐκ ἐπανορθοῖ δὲ, οὐδ' οἷόν τε αὐτῷ δυνάμει θείᾳ ἐπανορθοῦν.« Καὶ ἡμεῖς δὲ πολλαχοῦ κατὰ τὸ δυνατὸν ἡμῖν εἰρήκαμεν περὶ τούτων· καὶ οἱ θεῖοι λόγοι τοῖς ἀκούειν δυναμένοις αὐτῶν παρέστησαν.

4. Λελέξεται οὖν, ὅπερ ἡμῖν καὶ Ἰουδαίοις προσάγει ὁ Κέλσος, καὶ πρὸς αὐτόν· ὅτι ἆρα, ᾧ οὗτος, οἶδεν[6]) ὁ ἐπὶ πᾶσι θεὸς τὰ ἐν ἀνθρώποις, ἢ οὐκ οἶδεν;

---

[1]) In edd. Spenc. uncis inclusum legitur: εἰ.

[2]) Cfr. pag. 5. not. 4.

[3]) Edd. Spenc. et Ruaei in textu: ἀδυνάτους. Jam Boherellus vero, quem Ruaeus totus sequitur, in notis: »Lego: ἀσυνέτους. Erroris fons fuit vox sequens: δύναται.« [4]) Cfr. pag. 5. not. 4.

[5]) Edd. Spenc. ad marg. ἅπερ.

[6]) Edd. Spenc. οἶδεν ἐπὶ πᾶσι κτλ. Jam Boherell. vero: »Lego: οἶδεν ὁ ἐπὶ πᾶσι« κτλ.

Ἀλλ' εἴπερ τίθης εἶναι θεὸν καὶ πρόνοιαν, ὡς ἐμφαίνει σου τὸ σύγγραμμα· ἀναγκαῖον αὐτὸν εἰδέναι. Εἰ δ' οἶδε· διὰ τί οὐκ ἐπανορθοῖ; Ἢ ἡμῖν μὲν ἀναγκαῖον ἀπολογεῖσθαι, διὰ τί εἰδὼς οὐκ ἐπανορθοῖ· σοὶ δὲ, μὴ πάνυ ἐμφαίνοντι διὰ τοῦ συγγράμματος τὸν Ἐπικούρειον, ἀλλὰ προσποιουμένῳ πρόνοιαν εἰδέναι, οὐκ ἐπίσης λελέξεται, διὰ τί εἰδὼς τὰ ἐν ἀνθρώποις πάντα ὁ θεὸς οὐκ (164) ἐπανορθοῖ, οὐδὲ θείᾳ δυνάμει ἀπαλλάσσει πάντας τῆς κακίας; Ἀλλ' [1]) οὐκ αἰσχύνομεθα λέγειν, ὅτι ἀεὶ μὲν πέμπει τοὺς ἐπανορθωσομένους. Οἱ γὰρ ἐπὶ τὰ βέλτιστα προκαλούμενοι λόγοι, θεοῦ αὐτοὺς δεδωκότος, εἰσὶν ἐν ἀνθρώποις. Ἤδη δὲ τῶν διακονουμένων τῷ θεῷ πολλαί εἰσι διαφοραὶ, καὶ ὀλίγοι εἰσὶν οἱ πάντη [2]) καθαρῶς πρεσβεύοντες τὰ τῆς ἀληθείας, καὶ τὴν παντελῆ ἐπανόρθωσιν ἐργαζόμενοι· ὁποῖοι ἦσαν Μωϋσῆς καὶ οἱ προφῆται. Παρὰ δὲ τούτους πάντας, μεγάλη ἡ διὰ τοῦ Ἰησοῦ ἐπανόρθωσις, οὐ τοὺς ἐν μιᾷ γωνίᾳ τῆς οἰκουμένης βουληθέντος μόνους θεραπεύεσθαι, ἀλλὰ, τὸ ὅσον ἐπ' αὐτῷ, καὶ τοὺς πανταχοῦ· σωτὴρ γὰρ ἦλθε πάντων ἀνθρώπων.

5. Μετὰ ταῦθ' ὁ γενναιότατος Κέλσος, οὐκ οἶδ' ὁπόθεν λαβὼν, ἐπαπορεῖ πρὸς ἡμᾶς ὡς λέγοντας· »ὅτι αὐτὸς κάτεισι πρὸς ἀνθρώπους ὁ θεός.« Καὶ οἴεται ἀκολουθεῖν τούτῳ, τὸ »τὴν ἑαυτοῦ ἕδραν αὐτὸν καταλιπεῖν.« Οὐ γὰρ οἶδε δύναμιν θεοῦ, καὶ »ὅτι [3]) πνεῦμα κυρίου πεπλήρωκε τὴν οἰκουμένην·« καὶ τὸ συνέχον τὰ πάντα γνῶσιν ἔχειν φωνῆς. Οὐδὲ συνιέναι δύναται τό· »οὐχὶ [4]) τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ,

---

[1]) Codd. Regius et Basileensis: Ἀλλ' αἰσχυνόμεθα λέγειν. R.

[2]) Codd. Reg. et Basileensis: πάντη καθαρῶς πρεσβεύοντες. Alias (v. c. in edd. Spenc.): πάντη καὶ καθαρῶς πρεσβεύοντες. R.

[3]) Sap. Salom. I, 7.

[4]) Cfr. Jerem. XXIII, 24.

λέγει κύριος;« Οὐδὲ βλέπει, ὅτι, κατὰ τὸν Χριστιανῶν λόγον, οἱ πάντες »ἐν[1]) αὐτῷ ζῶμεν, καὶ κινούμεθα, καί ἐσμεν·« ὡς καὶ Παῦλος ἐν τῇ πρὸς Ἀθηναίους δημηγορίᾳ ἐδίδαξε. Κἂν ὁ θεὸς τοίνυν τῶν ὅλων τῇ ἑαυτοῦ δυνάμει συγκαταβαίνῃ[2]) τῷ Ἰησοῦ εἰς τὸν τῶν ἀνθρώπων βίον, κἂν ὁ ἐν ἀρχῇ πρὸς τὸν θεὸν λόγος,[3]) θεὸς καὶ αὐτὸς ὤν, ἔρχηται πρὸς ἡμᾶς· οὐκ ἔξεδρος γίνεται, οὐδὲ καταλείπει τὴν ἑαυτοῦ ἕδραν· ὡς τινα μὲν τοπον κενὸν αὐτοῦ εἶναι, ἕτερον δὲ πλήρη, οὐ πρότερον αὐτὸν ἔχοντα. Ἐπιδημεῖ δὲ δύναμις καὶ θεότης θεοῦ δι' οὗ βούλεται, καὶ ἐν ᾧ εὑρίσκει χώραν, οὐκ ἀμείβοντος τόπον, οὐδ' ἐκλείποντος χώραν αὐτοῦ κενὴν, καὶ ἄλλην πληροῦντος. Ἵνα[4]) γὰρ καὶ ἐκλείπειν αὐτὸν φῶμεν, καὶ ἄλλον τινὰ πληροῦν· οὐ περὶ τόπου τὸ τοιοῦτον ἀποφανούμεθα· ἀλλὰ τὴν μὲν τοῦ φαύλου, καὶ κεχυμένου ἐν τῇ κακίᾳ, ψυχὴν φήσομεν καταλείπεσθαι ὑπὸ τοῦ θεοῦ, τὴν δὲ τοῦ βουλομένου ζῆν κατ' ἀρετὴν, ἢ καὶ προκόπτοντος, ἢ καὶ ἤδη ζῶντος κατ' αὐτὴν, ἀποφανούμεθα[5]) πληροῦσθαι, ἢ μετέχειν θείου πνεύματος. Οὐ χρεία οὖν εἰς τὴν τοῦ Χριστοῦ κάθοδον, ἢ εἰς τὴν πρὸς ἀνθρώπους ἐπιστροφὴν τοῦ θεοῦ, καταλείπεσθαι ἕδραν μείζονα, καὶ μεταβάλλεσθαι τὰ[6]) τῇδε, ὡς ὁ Κέλσος οἴεται, λέγων· »εἰ γὰρ

---

[1]) Cfr. Act. XVII, 28.

[2]) Omnes Mss. (itemq. Boherell. in notis): *συγκαταβαίνῃ*. Recte, cum mox sequatur: *ἔρχηται πρὸς ἡμᾶς*. Alias (v. c. in edd. Spenc.) *συγκαταβαίνει*. R.

[3]) Ev. Joann. I, 1.

[4]) Spencer. in textu: *Ἐὰν γὰρ καὶ ἐκλείπειν κτλ.* Boherellus legit: *Ἕνα γὰρ εἰ ἐκλείπειν κτλ.* R. — Edd. Spenc. ad marginem: *Ἵνα γὰρ καὶ ἐκλείπειν κτλ.*

[5]) Cod. Regius (itemq. Boherell. in notis) recte: *ἀποφανούμεθα*. Alias (v. c. in edd. Spenc.) *ἀποφαινόμεθα*. R.

[6]) In edd. Spenc. uncis inclusum legitur: *τά*.

ἕν τι τῶν [1]) τῇδε τοὐλάχιστον μεταβάλοις, ἀνατραπέντα οἰχήσεταί σοι τὰ πάντα.« Εἰ δὲ χρὴ λέγειν μεταβάλλειν παρουσίᾳ [2]) δυνάμεως θεοῦ, καὶ ἐπιδημίᾳ τοῦ λόγου εἰς ἀνθρώπους τινά· οὐκ ὀκνήσομεν λέγειν, μεταβάλλειν ἐκ φαύλου εἰς ἀστεῖον, καὶ ἐξ ἀκολάστου εἰς σώφρονα, καὶ ἐκ δεισιδαίμονος εἰς εὐσεβῆ, τὸν παραδεξάμενον τὴν τοῦ λόγου τοῦ θεοῦ ἐπιδημίαν εἰς τὴν ἑαυτοῦ ψυχήν.

6. Εἰ δὲ καὶ πρὸς (165) τὰ καταγελαστότατα τοῦ Κέλσου θέλεις ἡμᾶς ἀπαντᾶν, ἄκουε αὐτοῦ λέγοντος· »Ἀλλὰ γὰρ ἀγνοούμενος ὁ θεὸς ἐν ἀνθρώποις, καὶ παρὰ τοῦτ' ἔλαττον ἔχειν δοκῶν, ἐθέλοι ἂν γνωσθῆναι, καὶ τοὺς πιστεύοντάς τε καὶ ἀπιστοῦντας διαπειράσαι· καθάπερ οἱ νεόπλουτοι τῶν ἀνθρώπων ἐπιδεικτιῶντες, [3]) πολλήν τινα καὶ πάνυ θνητὴν φιλοτιμίαν τοῦ θεοῦ καταμαρτυροῦσι.« Φαμὲν οὖν, ὅτι ἀγνοούμενος θεὸς ὑπὸ φαύλων ἀνθρώπων, οὐ παρὰ τὸ αὐτὸς ἔλαττον ἔχειν δοκεῖν, θέλοι ἂν γνωσθῆναι· ἀλλὰ τὸ τὴν γνῶσιν αὐτοῦ κακοδαιμονίας ἀπαλλάσσειν τὸν γιγνώσκοντα. Ἀλλ' οὐδὲ διαπειράσαι θέλων τοὺς πιστεύοντας, ἢ τοὺς ἀπιστοῦντας, ἤτοι αὐτὸς ἀῤῥήτῳ καὶ θείᾳ δυνάμει ἔν τισιν ἐπιδημεῖ, ἢ πέμπει τὸν Χριστὸν αὐτοῦ· ἀλλ' ὑπὲρ τοῦ πιστεύοντας μὲν καὶ καταλαμβάνοντας αὐτοῦ τὴν θεότητα, ἀπαλλάσσεσθαι πάσης κακοδαιμονίας· ἀπιστοῦντας δὲ μηδ' ἀπολογίας ἔτι χώραν ἔχειν, ὡς παρὰ

---

[1]) Cod. Jolianus secunda manu (itemq. Boherell. in notis) recte: τῶν τῇδε. Alias (v. c. in edd. Spenc.) τοῦ τῇδε. R.

[2]) Hoeschel. in textu (edd. Spenc. ad marg.) male: παῤῥησίᾳ δυνάμεως θεοῦ. R.

[3]) Boherellus absque causa in notis: »Post ἐπιδεικτιῶντες, scribe notam majoris distinctionis, et adde γοῦν, aut quid simile, hoc fere modo: ἐπιδεικτιῶντες. Πολλὴν γοῦν τινα« κτλ.

τὸ μὴ ἀκηκοέναι καὶ δεδιδάχθαι οὐ[1]) πιστεύσαντας. Τίς οὖν λόγος παρίστησιν ἀκολουθεῖν ἡμῖν τὸ τὸν θεὸν καθ' ἡμᾶς εἶναι, ὡς »τοὺς νεοπλούτους τῶν ἀνθρώπων ἐπιδεικτιῶντας;« Οὐ γὰρ ἐπιδεικτιᾷ ὁ θεὸς πρὸς ἡμᾶς, βουλόμενος ἡμᾶς συνιέναι καὶ νοεῖν[2]) αὐτοῦ τὴν ὑπεροχήν· ἀλλὰ τὴν ἀπὸ τοῦ γιγνώσκεσθαι ἡμῖν αὐτὸν ἐγγινομένην ταῖς ψυχαῖς ἡμῶν μακαριότητα ἐμφύεσθαι ἡμῖν θέλων, πραγματεύεται διὰ τοῦ Χριστοῦ, καὶ τῆς ἀεὶ ἐπιδημίας τοῦ λόγου, ἀναλαμβάνειν ἡμᾶς τὴν πρὸς αὐτὸν οἰκείωσιν. Οὐδεμίαν οὖν θνητὴν φιλοτιμίαν ὁ Χριστιανῶν λόγος καταμαρτυρεῖ τοῦ θεοῦ.

7. Οὐκ οἶδα δ' ὅπως φλυαρήσας μάτην ἐφ' οἷς ἐξεθέμεθα, ὕστερόν ποτε ἐκτίθεται, ὅτι »οὐ δι' αὐτὸν δεόμενος γνωσθῆναι, ἀλλὰ διὰ τὴν ἡμετέραν σωτηρίαν γνῶσιν ἡμῖν παρασχεῖν ἑαυτοῦ βούλεται· ἵν' οἱ μὲν παραδεξάμενοι αὐτὴν χρηστοὶ γενόμενοι σωθῶσιν· οἱ δὲ μὴ παραδεξάμενοι, ἀποδειχθέντες πονηροὶ κολασθῶσιν.« Καὶ ἐκθέμενός γε τὸ τοιοῦτον, ἐπαπορεῖ λέγων· »νῦν ἆρα μετὰ τοσοῦτον αἰῶνα[3]) ὁ θεὸς ἀνεμνήσθη δικαιῶσαι τὸν ἀνθρώπων βίον, πρότερον δὲ ἠμέλει;« Καὶ πρὸς τοῦτο δὲ φήσομεν, ὅτι οὐκ ἔστιν ὅτ' οὐκ ἐβουλήθη δικαιῶσαι τὸν ἀνθρώπων βίον ὁ θεός· ἀλλὰ καὶ ἀεὶ ἐπεμελήθη, διδοὺς ἀρετῆς ἀφορμὰς, τοῦ ἐπανορθοῦσθαι τὸ λογικὸν ζῶον. Κατὰ γὰρ ἑκάστην γενεὰν ἡ σοφία τοῦ θεοῦ εἰς ψυχὰς, ἃς εὑρίσκει ὁσίας, μεταβαίνουσα, φίλους θεοῦ καὶ προφήτας κατασκευάζει. Καὶ εὑρεθεῖέν γ' ἂν ἐν ταῖς ἱεραῖς βίβλοις οἱ καθ' ἑκάστην γε-

---

[1]) Codd. Reg. et Basileensis: οὐ πιστεύοντας. R.

[2]) Hoeschel. in textu (edd. Spenc. ad marg.): νοεῖν αὐτὴν τὴν ὑπεροχήν. R.

[3]) Codd. Reg. et Basil. (itemq. edd. Spenc. in notis) recte omnino: αἰῶνα. Alias (v. c. in textu edd. Spenc.) male: ἀγῶνα. R.

νεὰν ὅσιοι καὶ δεκτικοὶ τοῦ θείου πνεύματος· καὶ ὡς ἐπέστρεφον τοὺς [1]) κατ' αὐτοὺς, ὅση δύναμις.

8. Οὐδὲν δὲ θαυμαστὸν τὸ γενεαῖς τισι προφήτας γεγονέναι, ὑπερέχοντας ἐν τῇ παραδοχῇ τῆς θειότητος, διὰ τὸν ἐπὶ πλεῖον εὔτονον καὶ ἐῤῥωμένον (166) βίον, ἑτέρων προφητῶν τινων μὲν κατ' [2]) αὐτοὺς, ἄλλων δὲ προγενεστέρων, ἢ μεταγενεστέρων. Οὕτω δὲ οὐ θαυμαστὸν, καί τινα καιρὸν γεγονέναι, ὅτ' ἐξαίρετόν τι χρῆμα ἐπιδεδήμηκε τῷ γένει τῶν ἀνθρώπων, καὶ διαφέρον παρὰ τοὺς προγενεστέρους αὐτοῦ, ἢ καὶ μεταγενεστέρους. Ἔχει δέ τι ὁ περὶ τούτων λόγος μυστικώτερον, καὶ βαθύτερον, καὶ μὴ πάνυ τι φθάνειν δυνάμενον ἐπὶ τὴν δημωδεστέραν ἀκοήν. Καὶ δεῖ, ὑπὲρ τοῦ ταῦτα [3]) ἀφανισθῆναι, καὶ ἀπαντηθῆναι πρὸς τὰ λεγόμενα περὶ τῆς Χριστοῦ ἐπιδημίας· »ὅτι νῦν ἄρα μετὰ τοσοῦτον αἰῶνα ὁ θεὸς ἀνεμνήσθη δικαιῶσαι τὸ ἀνθρώπων γένος, πρότερον δὲ ἠμέλει;« ἅψασθαι τοῦ περὶ μερίδων λόγου, καὶ σαφηνίσαι, διὰ τί »ὅτε [4]) διεμέριζεν ὁ ὕψιστος ἔθνη, ὡς διέσπειρεν υἱοὺς Ἀδὰμ, ἔστησεν ὅρια ἐθνῶν κατ' ἀριθμὸν ἀγγέλων θεοῦ· καὶ ἐγενήθη μερὶς κυρίου λαὸς αὐτοῦ Ἰακὼβ, σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ·« καὶ δεήσει τὴν αἰτίαν εἰπεῖν τῆς εἰς ἕκαστον ὅριον γενέσεως, ὑπὸ τὸν κεκληρωμένον τὸ ὅριον, καὶ πῶς εὐλόγως ἐγενήθη »μερὶς [5]) κυρίου λαὸς αὐτοῦ Ἰακὼβ, σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ·« καὶ διὰ τί πρότερον μὲν ἦν μερὶς κυρίου

---

[1]) Codd. Reg. et Basil. habent: τοὺς κατ' αὐτούς, sicque paulo post libri impressi (e. c. edd. Spenc.): προφητῶν τινων μὲν κατ' αὐτούς, qui tamen hoc loco habent: τοὺς καθ' ἑαυτούς. R.

[2]) Cfr. pag. huj. not. 1.

[3]) Hoeschel. in textu (edd. Spenc. ad marg.) ταύτας, sicque omnes Mss. Male. R.

[4]) Cfr. Deut. XXXII, 8. 9.

[5]) Cfr. Deut. XXXII, 9.

λαὸς αὐτοῦ Ἰακώβ, σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ. Περὶ δὲ τῶν ὕστερον λέγεται πρὸς τὸν σωτῆρα ὑπὸ τοῦ πατρός· »αἴτησαι [1]) παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς.« Εἰσὶ γάρ τινες εἱρμοὶ καὶ ἀκολουθίαι ἄφατοι καὶ ἀνεκδιήγητοι περὶ τῆς κατὰ τὰς ἀνθρωπίνας ψυχὰς διαφόρου οἰκονομίας.

9. Ἦλθεν οὖν, κἂν μὴ βούληται Κέλσος, μετὰ πολλοὺς προφήτας ἐπανορθουμένους τὰ τοῦ Ἰσραὴλ ἐκείνου, ἐπανορθωτὴς ὅλου τοῦ κόσμου ὁ Χριστός· οὐ δεόμενος κατὰ τὴν προτέραν οἰκονομίαν τῆς κατ' ἀνθρώπων χρήσεως μαστίγων, καὶ δεσμῶν, καὶ βασανιστηρίων. Ἥκει γὰρ ἡ διδασκαλία, ὅτε »ἐξῆλθεν [2]) ὁ σπείρων τοῦ σπείρειν,« ἵνα σπείρῃ τὸν λόγον παντα-χοῦ. Εἰ δ' ἐπιστήσεταί τις χρόνος, περιγράφων τὸν κόσμον ἀναγκαίαν περιγραφὴν, τῷ αὐτὸν ἀρχὴν ἐσχηκέναι· καὶ ἐπιστήσεταί τι τέλος τῷ κόσμῳ, καὶ μετὰ τὸ τέλος δικαία περὶ πάντων κρίσις· δεήσει μὲν τὸν φιλοσοφοῦντα τὰ τοῦ λόγου κατασκευάζειν μετὰ παντοδαπῶν ἀποδείξεων, τῶν τε ἀπὸ τῶν θείων γραμμάτων, καὶ τῶν ἀπὸ τῆς ἐν τοῖς λόγοις ἀκολουθίας· δεήσει δὲ τὸν πολὺν καὶ ἁπλούστερον, καὶ μὴ δυνάμενον παρακολουθεῖν τοῖς ποικιλωτάτοις τῆς σοφίας τοῦ θεοῦ θεωρήμασιν, ἐμπιστεύσαντα ἑαυτὸν θεῷ, καὶ τῷ σωτῆρι τοῦ γένους ἡμῶν, τούτου μᾶλλον ἀρκεσθῆναι τῷ »αὐτὸς ἔφα,« [3]) ἢ ἄλλου οὑτινοσοῦν.

10. Μετὰ ταῦτα πάλιν, ὡς σύνηθές ἐστιν αὐτῷ, μηδὲν κατασκευάσας, μηδ' ἀποδείξας ὁ Κέλσος, ὡσπερεὶ οὐχ ὁσίως ἡμῶν, οὐδ' εὐαγῶς περὶ τοῦ θεοῦ φρυλλούντων, φησίν· »ὅτι μὲν οὖν οὐχ (167) ὁσίως,

---

[1]) Psalm. II, 8. [2]) Cfr. Luc. VIII, 5.

[3]) Libri editi (v. c. edd. Spenc.) in marg. male: ἔσται. R. — Boherell. in notis: »Sensus et constructio est: ἀρκεσθῆναι τῷ τούτου, αὐτὸς ἔφα, μᾶλλον, ἢ τῷ ἄλλου οὑτινοσοῦν.«

οὐδ' εὐαγῶς ταῦτα περὶ τοῦ θεοῦ θρυλλοῦσιν, εὔδηλον·« [1]) καὶ οἶεταί γε ἐπὶ θάμβει τῶν ἰδιωτῶν ταῦθ' ἡμᾶς ποιεῖν, οὐχὶ δὲ τἀληθῆ περὶ κολάσεων λέγοντας ἀναγκαίων τοῖς ἡμαρτηκόσι. Διόπερ ἐξομοιοῖ ἡμᾶς »τοῖς ἐν ταῖς Βακχικαῖς τελεταῖς τὰ φάσματα καὶ δείματα προεισάγουσι.« Περὶ μὲν οὖν τῶν Βακχικῶν τελετῶν εἴτε τίς ἐστι πιθανὸς λόγος, εἴτε μηδεὶς τοιοῦτος, λεγέτωσαν Ἕλληνες, καὶ ἀκουέτω Κέλσος καὶ οἱ συνθιασῶται αὐτοῦ. Ἡμεῖς δὲ περὶ τῶν ἡμετέρων ἀπολογούμεθα, λέγοντες, ὅτι τὸ προκείμενον ἡμῖν ἐστιν, ἐπανορθοῦν τὸ γένος τῶν ἀνθρώπων, εἴτε διὰ τῶν περὶ κολάσεων ἀπειλῶν, ἃς πεπείσμεθα ἀναγκαίας εἶναι τῷ παντὶ, τάχα δὲ καὶ τοῖς πεισομένοις αὐτὰς οὐκ [2]) ἀχρήστους· εἴτε διὰ τῶν ἐπὶ τοὺς καλῶς βεβιωκότας ἐπαγγελιῶν, περιεχουσῶν τὰ περὶ τῆς μακαρίας ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ τοῖς ἀξίοις ὑπ' αὐτοῦ βασιλεύεσθαι διεξαγωγῆς. [3])

11. Μετὰ ταῦτα βουλόμενος ἡμᾶς παραδεῖξαι μηδὲν παράδοξον, μηδὲ καινὸν λέγειν περὶ κατακλυσμοῦ, ἢ ἐκπυρώσεως, ἀλλὰ καὶ παρακούσαντας τῶν παρ' Ἕλλησιν ἢ βαρβάροις περὶ τούτων λεγομένων ταῖς ἡμετέραις πεπιστευκέναι περὶ αὐτῶν γραφαῖς, φησὶ ταῦτα· »Ἐπῆλθε δ' αὐτοῖς καὶ ταῦτα ἐκείνων παρακούσασιν, ὅτι δὴ κατὰ χρόνων μακρῶν κύκλους, καὶ ἄστρων ἐπανόδους τε καὶ συνόδους, ἐκπυρώσεις καὶ ἐπικλύσεις συμβαίνουσιν· καὶ ὅτι μετὰ τὸν τελευταῖον ἐπὶ Λευκαλίωνος κατακλυσμὸν ἡ περίοδος κατὰ τὴν [4]) τῶν ὅλων ἀμοι-

---

[1]) Boherellus, quem Ruaeus sequitur, in notis: »Forte: ἔκδηλον.«

[2]) Vide infra num. 13. 14. et 69., lib. V. num. 14. 15. 16. et 17., lib. VI. num. 70., lib. VIII. num. 48. et 72. De poenis et praemiis quid opinatus sit Origenes, vide apud Huetium Origenianorum lib. II. quaestione XI.

[3]) Boherellus in notis: »Melius forte: διαγωγῆς.« — Cfr. lib. III. contra Cels. num. 56.

[4]) Ed. Ruaei: τὴν τοῦ ὅλων.

βὴν ἐκπύρωσιν ἀπαιτεῖ· ταῦτ'[1]) αὐτοὺς ἐποίησεν ἐσφαλμένῃ δόξῃ λέγειν, ὅτι ὁ Θεὸς καταβήσεται δίκην βασανιστοῦ πῦρ φέρων.« Καὶ πρὸς ταῦτα δὲ φήσομεν, ὅτι οὐκ οἶδ' ὅπως ὁ πολλὰ ἀναγνοὺς, καὶ ἱστορίας πολλὰς ἐπιδεξάμενος[2]) ἀνεγνωκέναι[3]) Κέλσος, οὐκ ἐπέστη τῇ Μωϋσέως ἀρχαιότητι, ἱστορουμένου ὑπό τινων Ἑλληνικῶν συγγραφέων κατὰ τοὺς χρόνους γεγονέναι Ἰνάχου τοῦ Φορωνέως· καὶ ὑπὸ Αἰγυπτίων δ' ἀρχαιότατος εἶναι ὁμολογεῖται, ἀλλὰ καὶ ὑπὸ τῶν τὰ Φοινικικὰ πραγματευσαμένων. Καὶ[4]) ὁ βουλόμενός γε ἀναγνώτω τὰ τοῦ Φλαβίου Ἰωσήπου περὶ τῆς Ἰουδαίων ἀρχαιότητος δύο βιβλία· ἵνα γνῷ, τίνα τρόπον ἀρχαιότερος ἦν Μωϋσῆς τῶν κατὰ χρόνων μακρὰς περιόδους κατακλυσμοὺς καὶ ἐκπυρώσεις φησάντων γίγνεσθαι ἐν τῷ κόσμῳ· ὧν παρακηκοέναι λέγει ὁ Κέλσος Ἰουδαίους καὶ Χριστιανούς· καὶ μὴ νοήσαντας τὰ περὶ ἐκπυρώσεως εἰρηκέναι, ὅτι »ὁ Θεὸς καταβήσεται δίκην βασανιστοῦ πῦρ φέρων.«

12. Πότερον μὲν οὖν εἰσι περίοδοι, καὶ κατὰ περιόδους κατακλυσμοὶ, ἢ ἐκπυρώσεις, ἢ μή εἰσι, καὶ εἰ ἐπίσταται καὶ ταῦθ' ὁ λόγος, ἐν πολλοῖς μὲν, καὶ ἐν οἷς δὲ Σολομών φησι· »τί[5]) τὸ γεγονός; Αὐτὸ τὸ γενησόμενον. Καὶ τί τὸ πεποιημένον; Αὐτὸ τὸ ποιηθησόμενον,« καὶ τὰ ἑξῆς· οὐ τοῦ παρόντος ἐστὶ καιροῦ λέγειν. Ἀρκεῖ γὰρ μόνον ἐπισημειώσασθαι, ὅτι ἀρχαιότατοι (168) ἄνδρες γενόμενοι Μωϋσῆς καί τινες τῶν προφητῶν, οὐ παρ' ἑτέρων εἰλήφασι τὰ περὶ τῆς τοῦ κόσμου ἐκπυρώσεως· ἀλλ', (εἰ χρὴ ἐπιστήσαντα τοῖς

---

[1]) Hoeschel. in textu (edd. Spenc. ad marg.) τοῦτ' αὐτούς. R.

[2]) Hoeschel. ad marg. ἐπιδεξάμενος.

[3]) Hoeschel. (itemq. edd. Spenc.) ad marginem: ἐγνωκέναι Κέλσος, οὐκ ἐπέστησε. R.

[4]) Hoeschel. in textu (edd. Spenc. ad marg.) Καὶ ὁ βουλόμενός γε ἀναγνῶναι. R.

[5]) Cfr. Ecclesiast. I, 9.

χρόνοις εἰπεῖν,) μᾶλλον τούτων ἕτεροι παρακούσαντες, καὶ μὴ ἀκριβώσαντες τὰ ὑπὸ τούτων λεγόμενα, ἀνέπλασαν κατὰ περιόδους ταυτότητας,[1]) καὶ ἀπαραλλάκτους τοῖς[2]) ἰδίοις ποιοῖς καὶ τοῖς συμβεβηκόσιν αὐτοῖς. Ἡμεῖς δὲ οὔτε τὸν κατακλυσμὸν, οὔτε τὴν ἐκπύρωσιν κύκλοις καὶ ἀστέρων περιόδοις ἀνατίθεμεν· ἀλλὰ τὴν τούτων αἰτίαν φαμὲν εἶναι κακίαν[3]) ἐπὶ πλεῖον χεομένην, καὶ καθαιρομένην κατακλυσμῷ, ἢ ἐκπυρώσει. Θεὸν δὲ καταβαίνοντα ἐὰν λέγωσιν αἱ προφητικαὶ φωναὶ τὸν φήσαντα· »οὐχὶ[4]) τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ, λέγει κύριος;« τροπολογοῦμεν. Καταβαίνει γὰρ ὁ θεὸς ἀπὸ τοῦ ἰδίου μεγέθους καὶ ὕψους, ὅτε τὰ τῶν ἀνθρώπων καὶ μάλιστα τῶν φαύλων οἰκονομεῖ. Καὶ ὥσπερ ἡ συνήθεια συγκαταβαίνειν φησὶ τοῖς νηπίοις τοὺς διδασκάλους, καὶ τοῖς ἄρτι προτραπεῖσιν ἐπὶ φιλοσοφίαν νέοις τοὺς σοφοὺς, ἢ τοὺς προκόπτοντας, οὐ τῷ σωματικῶς αὐτοὺς καταβαίνειν· οὕτως εἴ που λέγεται ἐν ταῖς θείαις γραφαῖς καταβαίνειν[5]) ὁ θεὸς, ἀνάλογον νοεῖται τῇ οὑτωσὶ χρωμένῃ τῷ ὀνόματι συνηθείᾳ, οὕτω δὲ καὶ ἀναβαίνειν.[6])

---

[1]) Ruaeus in notis: »Legendum videtur: *ταυτότητας ἀπαραλλάκτους τοῖς ἰδίοις ποιοῖς καὶ τοῖς αὐτοῖς συμβεβηκόσιν.*«

[2]) Apud Hoeschel. et Spencer. legitur: *τοῖς ἰδίως ποιοῖς*, sed in Codd. Regio et Basileensi: *τοῖς ἰδίοις ποιοῖς*. R.

[3]) Vide Orig. Homil. XXIV. in Luc., Homil. VI. in Exodum, Homil. III. in Psalm. XXXVI. Vide eundem in Homil. VIII. in Exod., Homil. VIII. in Levitic., Homil. XXV. et XXVII. in Numeros, Homil. XII. in Jeremiam, et lib. VIII. Explanat. in epist. ad Romanos. Vide et lib. IV. num. 64. contra Celsum, lib. V. num. 14. 15. 16. 17., et libr. VI. num. 25. 70. 71.

[4]) Cfr. Jerem. XXIII, 24.

[5]) Cfr. Genes. XI, 5. 7. XVIII, 21. coll. Exod. III, 8. XIX, 20.

[6]) Cfr. Genes. XVII, 22. coll. Psalm. XLVII, 5. (XLVI.)

τῷ καλλίστῳ καὶ ἀρίστῳ, εἰ δὴ ἐς ἀνθρώπους κάτεισι, μεταβολῆς αὐτῷ δεῖ· μεταβολῆς δὲ ἐξ ἀγαθοῦ εἰς κακὸν, καὶ ἐκ καλοῦ εἰς αἰσχρὸν, καὶ ἐξ εὐδαιμονίας εἰς κακοδαιμονίαν, καὶ ἐκ τοῦ ἀρίστου εἰς τὸ πονηρότατον. Τίς ἂν οὖν ἕλοιτο τοιαύτην μεταβολήν; Καὶ μὲν δὴ τῷ θνητῷ μὲν ἀλλάττεσθαι καὶ μεταπλάττεσθαι, φύσις·[1]) τῷ δ' ἀθανάτῳ, κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχειν. Οὐκ ἂν οὖν οὐδὲ ταύτην τὴν μεταβολὴν θεὸς δέχοιτο.« Λοκεῖ δή μοι πρὸς ταῦτα λέγεσθαι τὰ δέοντα, διηγησαμένῳ τὴν ἐν ταῖς γραφαῖς λεγομένην κατάβασιν θεοῦ πρὸς τὰ ἀνθρώπινα· εἰς ἣν οὐ μεταβολῆς αὐτῷ δεῖ, ὡς Κέλσος ἡμᾶς οἴεται λέγειν, οὔτε τροπῆς τῆς ἐξ ἀγαθοῦ εἰς κακὸν, ἢ ἐκ καλοῦ εἰς αἰσχρὸν, ἢ ἐξ εὐδαιμονίας εἰς κακοδαιμονίαν, ἢ ἐκ τοῦ ἀρίστου εἰς τὸ πονηρότατον. Μένων γὰρ τῇ οὐσίᾳ ἄτρεπτος, συγκαταβαίνει τῇ προνοίᾳ καὶ τῇ οἰκονομίᾳ τοῖς ἀνθρωπίνοις πράγμασιν. Ἡμεῖς μὲν οὖν καὶ τὰ θεῖα γράμματα παρίσταμεν ἄτρεπτον λέγοντα τὸν θεὸν, ἔν τε τῷ· »σὺ[2]) δὲ ὁ αὐτὸς εἶ·« καὶ ἐν τῷ· »οὐκ[3]) ἠλλοίωμαι.« Οἱ δὲ τοῦ Ἐπικούρου θεοὶ,[4]) σύνθετοι ἐξ ἀτόμων τυγχάνοντες, καὶ τὸ ὅσον ἐπὶ τῇ συστάσει ἀνάλυτοι, πραγματεύονται τὰς φθοροποιοὺς ἀτόμους ἀποσείεσθαι. Ἀλλὰ[5])

---

[1]) Recte omnino Mss. (itemq. Boherell. in notis): φύσις. Libri impressi (v. c. edd. Spenc.) φύσιν. R.

[2]) Psalm. CII, 27. (CI.)

[3]) Malach. III, 6.

[4]) Cfr. Vellej. apud Ciceron. lib. I. de natura Deorum.

[5]) Cfr. Plutarch. lib. I. cap. VI. de Placitis philosophorum, coll. lib. I. contra Cels. num. 21., lib. III. num. 74. et lib. IV. num. 68. — R. in notis: »Totus hic locus sic corrigendus videtur Guieto: Ἀλλὰ καὶ ὁ τῶν Στωϊκῶν θεὸς, ἅτε σῶμα τυγχάνων, ὁτὲ μὲν ἡγεμονικὴν ἔχει τὴν ὅλην οὐσίαν, ὅταν ἡ ἐκπύρωσις ᾖ· ὁτὲ δὲ ἐπιμερὴς γίνεται αὐτὸς, ὅταν ᾖ διακόσμησις. Ἐπιμερὴς, id est: superparticularis. Hesychius: ἐπιμερὴς ἀρι-

καὶ ὁ τῶν Στωϊκῶν θεὸς, ἅτε σῶμα τυγχάνων, ὁτὲ μὲν [1]) ἡγεμονικὸν ἔχει τὴν ὅλην οὐσίαν, ὅταν ἡ ἐκπύρωσις ᾖ· ὁτὲ δὲ ἐπὶ [2]) μέρους γίνεται αὐτῆς, ὅταν ᾖ διακόσμησις. Οὐδὲ γὰρ δεδύνηνται οὗτοι τρανῶσαι τὴν φυσικὴν τοῦ θεοῦ ἔννοιαν, ὡς πάντη ἀφθάρτου, καὶ ἁπλοῦ, καὶ ἀσυνθέτου, καὶ ἀδιαιρέτου.

15. Τὸ δὲ καταβεβηκὸς εἰς ἀνθρώπους, ἐν [3]) μορφῇ θεοῦ ὑπῆρχε· καὶ διὰ φιλανθρωπίαν ἑαυτὸν (170) ἐκένωσεν, ἵνα χωρηθῆναι ὑπ' [4]) ἀνθρώπων δυνηθῇ. Οὐ δήπου δ' ἐξ [5]) ἀγαθοῦ εἰς κακὸν γέγονεν αὐτῷ μετα-

---

θμὸς οὕτω λέγεται, ὅταν ὁ μείζων τοῦ ἐλάττονος ὑπερέχῃ μέρει τινί. Deus Stoicorum est corpus, idque animal materia et forma constans, id est, mundus. Forma, seu anima mundi est ignis; materia praeter ignem omnia corpora. Ἐκπύρωσις, id est, exustio fit, cum ignis, qui per totum mundi corpus tanquam anima diffusus est, in se ipsum contrahitur, et sic valentior effectus reliqua corpora exurit et purgat. Διακόσμησις fit, cum rursus ignis in corpora illa exustione repurgata diffunditur, et mundus renovatur. Deus autem, id est, ignis totam substantiam ἡγεμονικήν, id est, principalem habere dicitur, cum in se coactus est; ἐπιμερής vero, cum toto mundi corpore confusus est, et praeter propriam substantiam igneam, reliquorum corporum substantiam assumsit, cujus ratione ipse sibi τῷ ἡγεμονικῷ comparatus hoc nomen adeptus est ducta a numeris metaphora.«

[1]) Edd. Spenc. ad marg. μήν.

[2]) Boherellus in notis: »Lego: ἐπὶ μέρους γίνεται αὖθις, ὅταν ᾖ διακόσμησις.« — Cfr. pag. 18. not. 5.

[3]) Cfr. Philipp. II, 6. 7.

[4]) Sic duo Codd. Vaticani, Anglicanus primus et Basileensis. Libri autem impressi (v. c. edd. Spenc.) ὑπ' αὐτῶν δυνηθῇ. R.

[5]) Libri excusi (v. c. edd. Spenc.) ἐξ ἀγαθῶν κτλ., sed supra num. XIV. et infra lectionem, quam hic sequimur, exhibent. R. — Jam Boherell. in notis: »Lege: ἐξ ἀγαθοῦ, ut pag. praecedente.«

τῷ καλλίστῳ καὶ ἀρίστῳ, εἰ δὴ ἐς ἀνθρώπους κάτεισι, μεταβολῆς αὐτῷ δεῖ· μεταβολῆς δὲ ἐξ ἀγαθοῦ εἰς κακὸν, καὶ ἐκ καλοῦ εἰς αἰσχρὸν, καὶ ἐξ εὐδαιμονίας εἰς κακοδαιμονίαν, καὶ ἐκ τοῦ ἀρίστου εἰς τὸ πονηρότατον. Τίς ἂν οὖν ἕλοιτο τοιαύτην μεταβολήν; Καὶ μὲν δὴ τῷ θνητῷ μὲν ἀλλάττεσθαι καὶ μεταπλάττεσθαι, φύσις·[1]) τῷ δ' ἀθανάτῳ, κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχειν. Οὐκ ἂν οὖν οὐδὲ ταύτην τὴν μεταβολὴν θεὸς δέχοιτο.« Λοιπεῖ δή μοι πρὸς ταῦτα λέγεσθαι τὰ δέοντα, διηγησαμένῳ τὴν ἐν ταῖς γραφαῖς λεγομένην κατάβασιν θεοῦ πρὸς τὰ ἀνθρώπινα· εἰς ἣν οὐ μεταβολῆς αὐτῷ δεῖ, ὡς Κέλσος ἡμᾶς οἴεται λέγειν, οὔτε τροπῆς τῆς ἐξ ἀγαθοῦ εἰς κακὸν, ἢ ἐκ καλοῦ εἰς αἰσχρὸν, ἢ ἐξ εὐδαιμονίας εἰς κακοδαιμονίαν, ἢ ἐκ τοῦ ἀρίστου εἰς τὸ πονηρότατον. Μένων γὰρ τῇ οὐσίᾳ ἄτρεπτος, συγκαταβαίνει τῇ προνοίᾳ καὶ τῇ οἰκονομίᾳ τοῖς ἀνθρωπίνοις πράγμασιν. Ἡμεῖς μὲν οὖν καὶ τὰ θεῖα γράμματα παρίσταμεν ἄτρεπτον λέγοντα τὸν θεὸν, ἔν τε τῷ· »σὺ[2]) δὲ ὁ αὐτὸς εἶ·« καὶ ἐν τῷ· »οὐκ[3]) ἠλλοίωμαι.« Οἱ δὲ τοῦ Ἐπικούρου θεοὶ,[4]) σύνθετοι ἐξ ἀτόμων τυγχάνοντες, καὶ τὸ ὅσον ἐπὶ τῇ συστάσει ἀνάλυτοι, πραγματεύονται τὰς φθοροποιοὺς ἀτόμους ἀποσείεσθαι. Ἀλλὰ[5])

---

[1]) Recte omnino Mss. (itemq. Boherell. in notis): φύσις. Libri impressi (v. c. edd. Spenc.) φύσιν. R.

[2]) Psalm. CII, 27. (CI.)

[3]) Malach. III, 6.

[4]) Cfr. Vellej. apud Ciceron. lib. I. de natura Deorum.

[5]) Cfr. Plutarch. lib. I. cap. VI. de Placitis philosophorum, coll. lib. I. contra Cels. num. 21., lib. III. num. 74. et lib. IV. num. 68. — R. in notis: »Totus hic locus sic corrigendus videtur Guieto: Ἀλλὰ καὶ ὁ τῶν Στωϊκῶν θεὸς, ἅτε σῶμα τυγχάνων, ὅτε μὲν ἡγεμονικὴν ἔχει τὴν ὅλην οὐσίαν, ὅταν ἡ ἐκπύρωσις ᾖ· ὅτε δὲ ἐπιμερὴς γίνεται αὐτὸς, ὅταν ᾖ διακόσμησις. Ἐπιμερής, id est: superparticularis. Hesychius: ἐπιμερὴς ἀρι-

καὶ ὁ τῶν Στωϊκῶν θεὸς, ἅτε σῶμα τυγχάνων, ὁτὲ μὲν [1]) ἡγεμονικὸν ἔχει τὴν ὅλην οὐσίαν, ὅταν ἡ ἐκπύρωσις ᾖ· ὁτὲ δὲ ἐπὶ [2]) μέρους γίνεται αὐτῆς, ὅταν ᾖ διακόσμησις. Οὐδὲ γὰρ δεδύνηνται οὗτοι τρανῶσαι τὴν φυσικὴν τοῦ θεοῦ ἔννοιαν, ὡς πάντη ἀφθάρτου, καὶ ἁπλοῦ, καὶ ἀσυνθέτου, καὶ ἀδιαιρέτου.

15. Τὸ δὲ καταβεβηκὸς εἰς ἀνθρώπους, ἐν [3]) μορφῇ θεοῦ ὑπῆρχε· καὶ διὰ φιλανθρωπίαν ἑαυτὸν (170) ἐκένωσεν, ἵνα χωρηθῆναι ὑπ' [4]) ἀνθρώπων δυνηθῇ. Οὐ δήπου δ' ἐξ [5]) ἀγαθοῦ εἰς κακὸν γέγονεν αὐτῷ μεια-

---

θμὸς οὕτω λέγεται, ὅταν ὁ μείζων τοῦ ἐλάττονος ὑπερέχῃ μέρει τινί. Deus Stoicorum est corpus, idque animal materia et forma constans, id est, mundus. Forma, seu anima mundi est ignis; materia praeter ignem omnia corpora. Ἐκπύρωσις, id est, exustio fit, cum ignis, qui per totum mundi corpus tanquam anima diffusus est, in se ipsum contrahitur, et sic valentior effectus reliqua corpora exurit et purgat. Διακόσμησις fit, cum rursus ignis in corpora illa exustione repurgata diffunditur, et mundus renovatur. Deus autem, id est, ignis totam substantiam ἡγεμονικήν, id est, principalem habere dicitur, cum in se coactus est; ἐπιμερής vero, cum toto mundi corpore confusus est, et praeter propriam substantiam igneam, reliquorum corporum substantiam assumsit, cujus ratione ipse sibi τῷ ἡγεμονικῷ comparatus hoc nomen adeptus est ducta a numeris metaphora.«

[1]) Edd. Spenc. ad marg. μήν.

[2]) Boherellus in notis: »Lego: ἐπὶ μέρους γίνεται αὖθις, ὅταν ᾖ διακόσμησις.« — Cfr. pag. 18. not. 5.

[3]) Cfr. Philipp. II, 6. 7.

[4]) Sic duo Codd. Vaticani, Anglicanus primus et Basileensis. Libri autem impressi (v. c. edd. Spenc.) ὑπ' αὐτῶν δυνηθῇ. R.

[5]) Libri excusi (v. c. edd. Spenc.) ἐξ ἀγαθῶν κτλ.. sed supra num. XIV. et infra lectionem, quam hic sequimur, exhibent. R. — Jam Boherell. in notis: »Lege: ἐξ ἀγαθοῦ, ut pag. praecedente.«

βολή· »ἁμαρτίαν[1]) γὰρ οὐκ ἐποίησεν·« οὐδ' ἐκ καλοῦ εἰς αἰσχρόν· »οὐ[2]) γὰρ ἔγνω ἁμαρτίαν·« οὐδὲ ἐξ εὐδαιμονίας ἦλθεν εἰς κακοδαιμονίαν· ἀλλ' ἑαυτὸν μὲν ἐταπείνωσεν, οὐδὲν δ' ἧττον μακάριος ἦν, καὶ ὅτε συμφερόντως τῷ γένει ἡμῶν ἑαυτὸν ἐταπείνου. Ἀλλ' οὐδὲ μεταβολή τις αὐτῷ γέγονεν ἐκ τοῦ ἀρίστου εἰς τὸ πονηρότατον· ποῦ γὰρ πονηρότατον τὸ χρησιὸν καὶ φιλάνθρωπον; Ἢ ὥρα[3]) λέγειν, καὶ τὸν ἰατρὸν ὁρῶντα δεινὰ, καὶ θιγγάνοντα ἀηδῶν, ἵνα τοὺς κάμνοντας ἰάσηται, ἐξ[4]) ἀγαθοῦ εἰς κακὸν, ἢ ἐκ καλοῦ εἰς αἰσχρὸν, ἢ ἐξ εὐδαιμονίας εἰς κακοδαιμονίαν ἔρχεσθαι; Καίτοι γε ὁ ἰατρὸς ὁρῶν τὰ δεινὰ, καὶ θιγγάνων τῶν ἀηδῶν, οὐ πάντως ἐκφεύγει τὸ τοῖς αὐτοῖς δύνασθαι περιπεσεῖν. Ὁ δὲ τραύματα τῶν ψυχῶν ἡμῶν θεραπεύων διὰ τοῦ ἐν αὐτῷ λόγου θεοῦ, αὐτὸς πάσης κακίας ἀπαράδεκτος ἦν. Εἰ δὲ καὶ σῶμα θνητὸν καὶ ψυχὴν ἀνθρωπίνην ἀναλαβὼν ὁ ἀθάνατος θεὸς λόγος, δοκεῖ τῷ Κέλσῳ ἀλλάττεσθαι καὶ μεταπλάττεσθαι· μανθανέτω, ὅτι ὁ λόγος τῇ οὐσίᾳ μένων λόγος, οὐδὲν μὲν πάσχει ὧν πάσχει τὸ σῶμα, ἢ ἡ ψυχή· συγκαταβαίνων δ' ἔσθ' ὅτε τῷ μὴ δυναμένῳ αὐτοῦ τὰς μαρμαρυγὰς καὶ τὴν λαμπρότητα τῆς θειότητος βλέπειν, οἱονεὶ σὰρξ γίνεται, σωματικῶς λαλούμενος, ἕως ὁ τοιοῦτον αὐτὸν παραδεξάμενος, κατὰ βραχὺ ὑπὸ τοῦ λόγου μετεωριζόμενος, δυνηθῇ αὐτοῦ καὶ τὴν, (ἵν' οὕτως ὀνομάσω,) προηγουμένην μορφὴν θεάσασθαι.

---

[1]) Cfr. I Petr. II, 22.

[2]) Cfr. II Cor. V, 21.

[3]) Spencer. in textu: ὅρα., ad marg. vero: ὥρα. — Boherell. in notis: »Bene ad oram: ὥρα. Vide lib. I. contra Cels. num. 64. Dele autem interrogandi notam post voc. ἔρχεσθαι.

[4]) Cfr. Edd. Spenc. et Ruaei hoc loco, cfr. pag. 19. not. 5. »ἐξ ἀγαθοῦ.«

16. Εἰσὶ γὰρ διάφοροι [1]) οἱονεὶ τοῦ λόγου μορφαὶ, καθὼς ἑκάστῳ τῶν εἰς ἐπιστήμην ἀγομένων φαίνεται ὁ λόγος, ἀνάλογον τῇ ἕξει τοῦ εἰσαγομένου, ἢ ἐπ᾽ ὀλίγον προκόπτοντος, ἢ ἐπὶ πλεῖον, ἢ καὶ ἐγγὺς ἤδη γινομένου τῆς ἀρετῆς, ἢ καὶ ἐν ἀρετῇ γεγενημένου. Ὅθεν οὐχ, ὡς ὁ Κέλσος καὶ οἱ παραπλήσιοι αὐτῷ βούλονται, μετεμορφώθη [2]) ὁ θεὸς ἡμῶν, καὶ εἰς τὸ ὑψηλὸν ὄρος ἀναβὰς ἄλλην ἔδειξε τὴν ἑαυτοῦ μορφὴν, καὶ πολλῷ κρείττονα ἧς οἱ κάτω μένοντες, καὶ μὴ δυνάμενοι αὐτῷ εἰς ὕψος ἀκολουθεῖν, ἐθεώρουν. Οὐ γὰρ εἶχον οἱ κάτω ὀφθαλμοὺς δυναμένους βλέπειν τὴν τοῦ λόγου ἐπὶ τὸ ἔνδοξον καὶ θειότερον μεταμόρφωσιν· ἀλλὰ μύγις αὐτὸν ἐδύναντο χωρῆσαι τοιοῦτον, ὥστε λέγεσθαι ἂν περὶ αὐτοῦ ὑπὸ τῶν μὴ δυναμένων τὸ κρεῖττον αὐτοῦ βλέπειν τό· »εἴδομεν [3]) αὐτὸν, καὶ οὐκ εἶχεν εἶδος, οὐδὲ κάλλος· ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον, ἐκλεῖπον παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων.« Καὶ ταῦτα δὲ πρὸς τὴν Κέλσου ὑπόληψιν, μὴ νοήσαντος τὰς ὡς ἐν ἱστορίαις λεγομένας μεταβολὰς, ἢ μεταμορφώσεις τοῦ Ἰησοῦ, καὶ τὸ θνητὸν, ἢ ἀθάνατον αὐτοῦ, λελέχθω.

17. Ἆρα δὲ οὐ πολλῷ (171) ταῦτα, καὶ μάλιστα ὅτε ὃν δεῖ τρόπον νοεῖται, σεμνότερα φανεῖται Διονύσου ὑπὸ τῶν Τιτάνων ἀπατωμένου, καὶ ἐκπίπτοντος ἀπὸ τοῦ Διὸς θρόνου, καὶ σπαρασσομένου ὑπ᾽ αὐτῶν, καὶ μετὰ ταῦτα πάλιν συντιθεμένου, καὶ οἱονεὶ ἀναβιώσκοντος, καὶ ἀναβαίνοντος εἰς οὐρανόν; Ἢ Ἕλλησι μὲν ἔξεστι τὰ τοιαῦτα εἰς τὸν περὶ ψυχῆς ἀνάγειν λόγον, καὶ τροπολογεῖν· ἡμῖν δ᾽ ἀποκέκλεισται θύρα ἀκολούθου διηγήσεως, καὶ πανταχοῦ συνᾳδούσης καὶ συμφωνούσης ταῖς ἀπὸ τοῦ θείου πνεύματος γραφαῖς, γενομένου ἐν καθαραῖς ψυχαῖς; Οὐδαμῶς οὖν ὁ Κέλσος

---

[1]) Cfr. lib. II. contra Cels. num. 64.
[2]) Cfr. Matth. XVII, 2.
[3]) Cfr. Jesai. LIII, 2. 3.

οἶδε τὸ βούλημα τῶν ἡμετέρων γραμμάτων, διόπερ τὴν ἑαυτοῦ ἐκδοχὴν, καὶ οὐχὶ τὴν τῶν γραφῶν διαβάλλει. Εἰ δὲ ἦν ἐννοήσας, τί ἀκολουθεῖ ψυχῇ ἐν αἰωνίῳ ἐσομένῃ ζωῇ, καὶ τί χρὴ φρονεῖν περὶ τῆς οὐσίας αὐτῆς, καὶ περὶ τῶν ἀρχῶν αὐτῆς· οὐκ ἂν οὕτω διέσυρε τὸν ἀθάνατον εἰς θνητὸν ἐρχόμενον σῶμα· οὐ κατὰ τὴν Πλάτωνος [1]) μετενσωμάτωσιν, ἀλλὰ κατ' ἄλλην τινὰ ὑψηλοτέραν θεωρίαν. Εἶδε δ' ἂν καὶ μίαν ἐξαίρετον ἀπὸ πολλῆς φιλανθρωπίας κατάβασιν, [2]) ὑπὲρ τοῦ ἐπιστρέψαι τὰ, (ὡς ἡ θεία ὠνόμασε μυστικῶς γραφὴ,) ἀπολωλότα [3]) »πρόβατα οἴκου Ἰσραὴλ,« καὶ καταβάντα ἀπὸ τῶν ὀρῶν, πρὸς ἃ ὁ ποιμὴν ἔν τισι παραβολαῖς καταβεβηκέναι λέγεται, [4]) καταλιπὼν ἐν τοῖς ὄρεσι τὰ μὴ ἐσφαλμένα.

18. Προσδιατρίβων δὲ ὁ Κέλσος οἷς οὐ νενόηκεν, αἴτιος ἡμῖν γίνεται ταυτολογίας, οὐ βουλομένοις, κἂν τῷ δοκεῖν ἀβασάνιστον τῶν ὑπ' αὐτοῦ λελεγμένων τι καταλελοιπέναι. Φησὶν οὖν ἐξῆς, ὅτι »ἤτοι ὡς ἀληθῶς μεταβάλλει ὁ θεὸς, ὥσπερ οὗτοί φασιν, εἰς σῶμα θνητὸν, καὶ προείρηται τὸ ἀδύνατον· [5]) ἢ αὐτὸς μὲν οὐ μεταβάλλει, ποιεῖ δὲ τοὺς ὁρῶντας δοκεῖν, καὶ πλανᾷ, καὶ ψεύδεται. Ἀπάτη δὲ καὶ ψεῦδος ἄλλως μὲν κακὰ, μόνως δ' ἂν ὡς ἐν φαρμάκου μοίρᾳ χρῷτό τις, ἤτοι πρὸς φίλους νοσοῦντας καὶ μεμηνότας, ἰώμενος· ἢ πρὸς ἐχθροὺς, κίνδυνον ἐκφυγεῖν προμηθούμενος. Οὔτε δὲ νοσῶν ἢ μεμηνὼς οὐδεὶς θεῷ φίλος· οὔτε φοβεῖταί τινα ὁ θεὸς, ἵνα πλανήσας κίνδυνον διαφύγῃ.« Καὶ πρὸς

---

[1]) Cfr. lib. I. contra Cels. num. 32. et lib. V. num. 20.

[2]) Sic libri impressi (v. c. edd. Spenceri). At Codd. Regius, Basileensis, duo Vaticani, et Anglicanus primus: καταβαίνουσαν. R.

[3]) Cfr. Matth. XV, 24.

[4]) Cfr. Luc. XV, 4.

[5]) Edd. Spenc. ad marg. ἀδυνατοῖ.

τοῦτο λέγοιτ' ἄν, πῇ[1]) μὲν περὶ τῆς τοῦ θείου λόγου φύσεως ὄντος θεοῦ, πῇ δὲ περὶ τῆς Ἰησοῦ ψυχῆς. Περὶ μὲν οὖν τῆς τοῦ λόγου φύσεως, ὅτι ὥσπερ ἡ τῶν τροφῶν ποιότης πρὸς τὴν τοῦ νηπίου φύσιν εἰς γάλα μεταβάλλει ἐν τῇ τρεφούσῃ, ἢ ὑπὸ τοῦ ἰατροῦ κατασκευάζεται πρὸς τὸ τῆς ὑγείας χρειῶδες τῷ κάμνοντι, ἢ τῷ ἰσχυροτέρῳ ὡς δυνατωτέρῳ εὐτρεπίζεται·[2]) οὕτω τὴν τοῦ πεφυκότος τρέφειν[3]) ἀνθρωπίνην[4]) ψυχὴν λόγου δύναμιν ὁ θεὸς τοῖς ἀνθρώποις ἑκάστῳ κατ' ἀξίαν μεταβάλλει. Καί τινι μέν, (ὡς ὠνόμασεν ἡ γραφή,) λογικὸν[5]) "ἄδολον γάλα" γίνεται, τινὶ δὲ ὡς ἀσθενεστέρῳ οἱονεὶ λάχανον,[6]) τινὶ[7]) δὲ τελείῳ (172) "στερεὰ τροφή" παραδίδοται. Καὶ οὐ δήπου ψεύδεται τὴν ἑαυτοῦ φύσιν ὁ λόγος, ἑκάστῳ τρόφιμος γινόμενος, ὡς χωρεῖ αὐτὸν παραδέξασθαι· καὶ οὐ πλανᾷ, οὐδὲ ψεύδεται. Εἰ δ' ἐπὶ τῆς Ἰησοῦ ψυχῆς λαμβάνει τις τὴν μεταβολήν, αὐτῆς εἰς σῶμα ἐλθούσης· πευσόμεθα, πῶς λέγει μεταβολήν; Εἰ μὲν γὰρ τῆς οὐσίας, οὐ δίδοται, οὐ μόνον ἐπ' ἐκείνης, ἀλλ' οὐδὲ περὶ ἄλλου λογικῆς ψυχῆς. Εἰ δ' ὅτι πάσχει τι ὑπὸ τοῦ σώματος ἀνακεκραμένη αὐτῷ, καὶ ἀπὸ τοῦ τόπου εἰς ὃν ἐλήλυθε· καὶ τί ἄτοπον

---

[1]) Edd. Spenc. in textu: *ποῖ μέν*, ad marg. vero: *πῇ μέν*.

[2]) Edd. Spenc. in textu: *οὕτως εὐτρεπίζεται*, ad marg. vero: *οὑτωσὶ εὐτρεπίζεται*. Ed. Ruaei in textu: *οὑτωσὶ εὐτρεπίζεται*, in notis vero, Boherello praeeunte: »Mallem abesset: *οὑτωσί* vel *οὕτως*, ut etiam abesse potest, propter *τὸ οὕτω* modo sequens «

[3]) Verbum: *τρέφειν*, in libris antea excusis (e. c. edd. Spenc.) omissum restituit Cod. Jolianus. R.

[4]) Boherellus, haud dubie propter defectum voc. *τρέφειν*, in notis: »Lego: *ἀνθρωπίνῃ ψυχῇ*.«

[5]) Cfr. I Petr. II, 2. [6]) Cfr. Rom. XIV, 2.

[7]) Edd. Spenc. et Ruaei in textu: *τινὶ δὲ τελείως*. Jam Boherellus, quem Ruaeus sequitur, in notis: »Malim: *τινὶ δὲ τελείῳ*.« — Cfr. Hebr. V, 14.

ἁπαντᾷ τῷ λόγῳ, ἀπὸ πολλῆς φιλανθρωπίας καταβιβάζοντι σωτῆρα τῷ γένει τῶν ἀνθρώπων; ἐπεὶ μηδεὶς τῶν πρότερον θεραπεύειν ἐπαγγειλαμένων τοσοῦτον ἐδύνατο, ὅσον αὐτὴ [1]) ἐπεδείξατο δι' ὧν πεποίηκε, καὶ ἐκουσίως εἰς τὰς ἀνθρωπίνας κῆρας ὑπὲρ τοῦ γένους ἡμῶν καταβᾶσα. Ταῦτα δ' ἐπιστάμενος ὁ θεῖος λόγος, πολλὰ πολλαχοῦ λέγει τῶν γραφῶν. Ἀρκεῖ δ' ἐπὶ τοῦ παρόντος μίαν παραθέσθαι Παύλου λέξιν οὕτως ἔχουσαν· »Τοῦτο [2]) φρονείσθω ἐν ὑμῖν, [3]) ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐν μορφῇ θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών, ἐν [4]) ὁμοιώματι ἀνθρώπου γενόμενος· καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος ἐταπείνωσεν ἑαυτὸν γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. Διὸ καὶ ὁ θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα, τὸ ὑπὲρ πᾶν ὄνομα.«

19. Ἄλλοι μὲν οὖν διδότωσαν τῷ Κέλσῳ, ὅτι οὐ μεταβάλλει μὲν, ποιεῖ δὲ τοὺς ὁρῶντας δοκεῖν μεταβεβληκέναι· ἡμεῖς δὲ πειθόμενοι οὐ δόκησιν, ἀλλ' ἀλήθειαν εἶναι καὶ ἐνάργειαν, κατὰ τὴν Ἰησοῦ ἐν ἀνθρώποις ἐπιδημίαν, οὐχ ὑποκείμεθα τῇ Κέλσου κατηγορίᾳ. Ὅμως δ' ἀπολογησόμεθα, ὅτι [5]) οὐ φῂς, ὦ Κέλσε, ὡς ἐν φαρμάκου μοίρᾳ ποτὲ δίδοται χρῆσθαι τῷ πλανᾶν καὶ τῷ ψεύδεσθαι; Τί οὖν ἄτοπον, εἰ τοιοῦτόν τι [6]) ἔμελλε σώζειν, τοιοῦτόν τι γεγονέναι; Καὶ γάρ τινες τῶν λόγων τὰ τοιαδὶ ἤθη κατὰ τὸ ψεῦδος μᾶλλον λε-

[1]) Edd. Spenc. ad marg. αὐτῇ.

[2]) Cfr. Philipp. II, 5—9.

[3]) Hoeschel. et Spenc. ἡμῖν. Codd. Reg. et Basileensis: ὑμῖν. R.

[4]) Verba: ἐν ὁμοιώματι ἀνθρώπου γενόμενος, in antea editis (v. c. edd. Spenc.) omissa supplentur e Cod. Basileensi. R.

[5]) Edd. Spenc. ad marg. ὅτι οὖν φῂς.

[6]) In edd. Spenc. unci appositi leguntur voc. τι.

γόμενοι[1]) ἐπιστρέφουσιν, ὥσπερ[2]) καὶ τῶν ἰατρῶν ποτε[3]) λόγοι τοιοίδε[4]) πρὸς τοὺς κάμνοντας, ἥπερ κατὰ τὸ ἀληθές. Ἀλλὰ ταῦτα μὲν περὶ ἑτέρων ἀπολελογήσθω ἡμῖν. Καὶ γὰρ οὐκ ἄτοπόν ἐστι, τὸν ἰώμενον φίλους νοσοῦντας ἰάσασθαι τὸ φίλον τῶν ἀνθρώπων γένος τοῖς τοιοῖσδε, οἷς οὐκ ἄν τις χρήσαιτο προηγουμένως, ἀλλ' ἐκ περιστάσεως. Καὶ μεμηνὸς δὲ τὸ γένος τῶν ἀνθρώπων ἔδει θεραπευθῆναι διὰ μεθόδων, ὧν ἑώρα ὁ λόγος χρησίμων τοῖς μεμηνόσιν, ἵνα σωφρονήσωσι. Φησὶ δ', ὅτι »καὶ τὰ τοιάδε τις ποιεῖ πρὸς ἐχθροὺς, κίνδυνον ἐκφυγεῖν προμηθούμενος. Οὐ φοβεῖται δέ τινας ὁ θεὸς, ἵνα πλανήσας τοὺς ἐπιβουλεύοντας κίνδυνον διαφύγῃ.« Πάντη δὲ περισσὸν καὶ ἄλογον ἀπολογήσασθαι πρὸς τὸ ὑπ' οὐδενὸς περὶ τοῦ σωτῆρος (173) ἡμῶν λεγόμενον. Προείρηται δ' εἰς τὴν περὶ ἑτέρων ἡμῖν ἀπολογίαν πρὸς τό· »οὔτε δὲ νοσῶν ἢ μεμηνὼς οὐδεὶς[5]) φίλος τῷ θεῷ.« Ὁ γὰρ ἀπολογησάμενός φησιν οὐχ ὑπὲρ τῶν ἤδη φίλων νοσούνιων ἢ μεμηνότων τὴν τοιάνδε οἰκονομίαν γίνεσθαι, ἀλλ' ὑπὲρ τῶν διὰ νόσον τῆς ψυχῆς καὶ ἔκστασιν τοῦ κατὰ φύσιν λογισμοῦ ἔτι ἐχθρῶν· ἵνα γένωνται φίλοι τῷ θεῷ. Καὶ γὰρ σαφῶς ὑπὲρ ἁμαρτωλῶν λέγεται πάντα ἀνα-

---

[1]) Edd. Spenc. ad marg. λεγόμενα.

[2]) Guieto hic aliquid desiderari videtur. An sic, inquit, scribendum: ὥσπερ καὶ τῶν ἰατρῶν ποτε λόγοι κατὰ τοιάδε πρὸς τοὺς κάμνοντας, ἥπερ κατὰ τὸ ἀληθὲς, αὐτοὺς σώζουσι. Vel sic: ὥσπερ καὶ τῶν ἰατρῶν ποτε λόγοι τοιοίδε τοὺς κάμνοντας μᾶλλον, ἥπερ κατὰ τὸ ἀληθὲς σώζουσι. R.

[3]) In edd. Spenc. uncis appositis legitur voc. ποτε.

[4]) Cfr. pag. huj. not. 2.

[5]) Libri excusi (v. c. edd. Spenc.) in textu: οὐδεὶς θεῷ φίλος. R. — Edd. Spenc. ad marginem: οὐδεὶς τῷ θεῷ φίλος.

δεδέχθαι ὁ Ἰησοῦς, ἵν' αὐτοὺς ἀπαλλάξῃ [1]) τῆς ἁμαρτίας, καὶ ποιήσῃ δικαίους. [2])

20. Εἶτ' ἐπεὶ προσωποποιεῖ ἰδίᾳ μὲν Ἰουδαίους αἰτιολογοῦντας τὴν κατ' αὐτοὺς μέλλουσαν Χριστοῦ ἐπιδημίαν· ἰδίᾳ δὲ Χριστιανοὺς λέγοντας περὶ τῆς ἤδη γεγενημένης ἐπιδημίας εἰς τὸν βίον τῶν ἀνθρώπων τοῦ υἱοῦ τοῦ θεοῦ· φέρε, καὶ ταῦτα, ὡς οἷόν τέ ἐστι, διὰ βραχέων κατανοήσωμεν. Ἰουδαῖοι δὴ παρ' αὐτῷ λέγουσι, πληρωθέντα »τὸν βίον πάσης κακίας δεῖσθαι τοῦ καταπεμπομένου ἀπὸ θεοῦ· ἵν' οἱ μὲν ἄδικοι κολασθῶσι, τὰ δὲ πάντα καθαρθῇ, ἀνάλογον τῷ [3]) πρώτῳ συμβάντι κατακλυσμῷ.« Ἐπεὶ δὲ λέγονται καὶ Χριστιανοὶ τούτοις προστιθέναι [4]) ἕτερα, δῆλον, ὅτι καὶ τούτοις φησὶ ταῦτα λέγεσθαι. Καὶ τί ἄτοπον, ἐπὶ τῇ χύσει τῆς κακίας ἐπιδημήσειν τὸν ἀποκαθαροῦντα τὸν κόσμον, καὶ ἑκάστῳ κατ' ἀξίαν χρησόμενον; Οὐ γὰρ κατὰ τὸν θεόν ἐστι, μὴ στῆναι τὴν τῆς κακίας νομὴν, καὶ ἀνακαινῶσαι τὰ πράγματα. Ἴσασι δὲ καὶ Ἕλληνες κατακλυσμῷ ἢ πυρὶ τὴν γῆν κατὰ περιόδους καθαιρομένην, ὡς καὶ Πλάτων που οὕτω λέγει· »ὅταν [5]) δ' οἱ θεοὶ τὴν γῆν ὕδασι καθαίροντες κατακλύζωσιν· οἱ μὲν ἐν τοῖς ὄρεσι,« καὶ τὰ ἑξῆς. Λεκτέον οὖν, ὅτι ἆρ' ἐὰν μὲν ἐκεῖνοι ταῦτα φάσκωσι, σεμνά ἐστι καὶ λόγου ἄξια τὰ ἐπαγγελλόμενα· [6]) ἐὰν δὲ ἡμεῖς τάδε τινὰ ὑπὸ Ἑλλήνων ἐπαινούμενα καὶ [7]) αὐτοὶ κατασκευάζωμεν, οὐκέτι καλά ἐστι ταῦτα δόγματα; Καίτοι γε οἷς μέλει τῆς πάντων

---

[1]) Cfr Hebr. II, 15. [2]) Cfr. Matth. IX, 13.

[3]) Duo Codd. Vaticani: τῷ πρῶτον συμβάντι. R.

[4]) Codd. Regius et Basileensis (itemq. edd. Spenc.) recte: προστιθέναι ἕτερα. Alias: περιτιθέναι ἕτερα. R.

[5]) Cfr. Plato in Timaeo et lib. III. de legibus.

[6]) Boherell. in notis: »Malim: ἀπαγγελλόμενα.«

[7]) Cod. Basil. (itemq. Boherell. in Corrigendis): καὶ αὐτοὶ κατασκευάζωμεν, melius quam libri excusi (v. c. edd. Spenc.) καὶ αὐτοὶ κατασκευάζομεν. R.

τῶν γεγραμμένων διαῤῥώσεως καὶ ἀκριβείας, πειράσονται δεικνύναι οὐ μόνον τὴν ἀρχαιότητα τῶν ταῦτα γραψάντων, ἀλλὰ καὶ τὴν σεμνότητα τῶν λελεγμένων, καὶ τὸ ἀκόλουθον αὐτοῖς.

21. Οὐκ οἶδα δ' ὅπως παραπλησίως τῷ κατακλυσμῷ καθήραντι τὴν γῆν, ὡς ὁ Ἰουδαίων καὶ Χριστιανῶν βούλεται λόγος, οἴεται καὶ τὴν τοῦ πύργου κατάῤῥιψιν [1]) γεγονέναι. Ἵνα γὰρ μηδὲν αἰνίσσηται ἡ κατὰ τὸν πύργον ἱστορία κειμένη ἐν τῇ Γενέσει, [2]) ἀλλ', (ὡς οἴεται Κέλσος,) σαφὴς τυγχάνῃ· οὐ δ' οὕτω φαίνεται ἐπὶ καθαρσίῳ τῆς γῆς τοῦτο συμβεβηκέναι· εἰ μὴ ἄρα καθάρσιον τῆς γῆς οἴεται τὴν καλουμένην τῶν γλωσσῶν σύγχυσιν. [3]) Περὶ ἧς ὁ δυνάμενος εὐκαιρότερον διηγήσεται, ἐπὰν τὸ προκείμενον ᾖ [4]) παραστῆσαι καὶ τὰ τῆς κατὰ τὸν τόπον ἱστορίας τίνα ἔχοι λόγον, καὶ τὰ τῆς περὶ αὐτοῦ ἀναγωγῆς. Ἐπεὶ δ' (174) οἴεται Μωϋσέα, τὸν ἀναγράψαντα τὰ περὶ τοῦ πύργου καὶ τῆς τῶν διαλέκτων συγχύσεως, παραφθείραντα τὰ περὶ τῶν Ἀλωαδῶν ἱστορούμενα, τοιαῦτα περὶ τοῦ πύργου ἀναγεγραφέναι· λεκτέον, ὅτι τὰ μὲν περὶ [5]) τῶν Ἀλωαδῶν [6]) οὐκ οἶμαι πρὸ Ὁμήρου [7]) τινὰ εἰρηκέναι· τὰ δὲ

---

[1]) Edd. Spenc. *κατάῤῥηψιν*. Jam Boherell. vero in notis: »Lege: *κατάῤῥιψιν*.«

[2]) Cfr. Genes. XI, 1. seqq.

[3]) Cfr. Genes. XI, 4.

[4]) Edd. Spenc. in textu: *ἢ παρασιήσαι*, ad marg. vero, ut nos in textu.

[5]) Codd. Regius et Basileensis (itemq. edd. Spenc. in textu): *Ἀλωαδῶν*. Hoeschel. (itemq. edd. Spenc.) in margine: *Ἀλωέως υἱῶν*. Duo Codd. Vaticani modo: *Ἀλωνιῶν*, modo: *Ἀλωέων*, modo: *Ἀλωειδῶν*. Vide Homer. Odyss. lib. XI. vers. 305. R.

[6]) Codd. Regius et Basileensis: *περὶ τῶν Ἀλωαδῶν*. Hoeschel. in margine: *περὶ τῶν Ἀλωέως υἱῶν*. R. — Edd. Spenc. hoc loco, cfr. pag. huj. not. 5., uncis voc. *υἱῶν* appositis, in textu: *περὶ τῶν Ἀλωέως υἱῶν*.

[7]) Cfr. Homer. Odyss. lib. XI. vers. 305.

περὶ τοῦ πύργου πολλῷ πρεσβύτερα[1]) οὐ μόνον Ὁμήρου, ἀλλὰ καὶ τῆς τῶν Ἑλληνικῶν γραμμάτων εὑρέσεως[2]) ὄντα, τὸν Μωϋσέα ἀναγεγραφέναι πείθομαι. Τίνες οὖν μᾶλλον[3]) τά τινων παραφθείρουσιν; Ἆρα τὰ περὶ τοῦ πύργου οἱ περὶ Ἀλωαδῶν[4]) ἱστοροῦντες· ἢ τὰ τῶν Ἀλωαδῶν[5]) ὁ τὰ περὶ τοῦ πύργου καὶ τῆς συγχύσεως τῶν διαλέκτων γράψας; Ἀλλὰ φαίνεται τοῖς ἀδεκάστοις ἀκροαταῖς ἀρχαιότερος Μωϋσῆς ὢν Ὁμήρου. Καὶ τὰ περὶ Σοδόμων δὲ καὶ Γομόρρων ὑπὸ Μωϋσέως ἱστορούμενα ἐν τῇ Γενέσει,[6]) ὡς διὰ τὴν ἁμαρτίαν πυρὶ ἐξαφανισθέντων, παραβάλλει ὁ Κέλσος τῇ κατὰ τὸν Φαέθοντα ἱστορίᾳ· ἑνὶ σφάλματι, τῷ περὶ τοῦ μὴ τετηρηκέναι τὰ τῆς Μωϋσέως ἀρχαιότητος, ἀκολούθως πάντα ποιήσας. Οἱ γὰρ τὰ περὶ Φαέθοντος ἱστοροῦντες ἐοίκασι καὶ Ὁμήρου νεώτεροι, τοῦ πολλῷ Μωϋσέως νεωτέρου. Οὐκ ἀρνούμεθα οὖν τὸ καθάρσιον πῦρ, καὶ τὴν τοῦ κόσμου φθοράν, ἐπὶ καθαιρέσει τῆς κακίας, καὶ ἀνακαινώσει τοῦ παντός· λέγοντες παρὰ τῶν προφητῶν ἐκ τῶν ἱερῶν βιβλίων μεμαθηκέναι. Ἐπὰν μέντοι, ὡς ἐν τοῖς ἀνωτέρω εἰρήκαμεν, πολλὰ περὶ μελλόντων οἱ προφῆται λέγοντες, ἀποδεικνύωνται[7]) περὶ πολλῶν παρεληλυθότων ἠληθευκέναι, καὶ δεῖγμα διδόναι τοῦ θεῖον πνεῦμα ἐν αὐτοῖς γεγονέναι· δῆλον, ὅτι καὶ περὶ τῶν μελλόντων πιστευτέον αὐτοῖς, μᾶλλον δὲ τῷ ἐν αὐτοῖς θείῳ πνεύματι.

---

[1]) Boherell. in notis: »Lege: πρεσβύτερον, ut ad Mosen referatur.«

[2]) Edd. Spenceri: εὑρέσεως, ὄντα τὸν Μωϋσέα.

[3]) Edd. Spenc. et Ruaei: μᾶλλον τὰ τίνων.

[4]) Edd. Spenc. ad marg. Ἀλωέως υἱῶν. — Cfr. pag. 27. not. 5.

[5]) Edd. Spenc. ad marg. Ἀλωειδῶν. — Cfr pag. 27. not. 5. [6]) Cfr. Genes. XIX, 24.

[7]) Edd. Spenc. in textu: ἀποδείκνυνται, ad marg. vero: ἀποδεικνύωνται.

22. »Καὶ Χρισιανοὶ δὲ, κατὰ τὸν Κέλσον, προσιθέντες [1]) τινὰς λόγους τοῖς ὑπὸ Ἰουδαίων λεγομένοις, φασὶ, διὰ τὰς τῶν Ἰουδαίων ἁμαρτίας ἤδη πεπέμφθαι τὸν υἱὸν τοῦ θεοῦ· καὶ ὅτι Ἰουδαῖοι κολάσαντες τὸν Ἰησοῦν, καὶ χολὴν [2]) ποτίσαντες, ἐπὶ σφᾶς αὐτοὺς [3]) ἐκ θεοῦ χόλον ἐπεσπάσαντο.« Ἐλεγχέτω δὴ τὸ λεγόμενον ὡς ψεῦδος ὁ βουλόμενος, εἰ μὴ ἀνάστατον τὸ πάντων Ἰουδαίων ἔθνος γεγένηται, οὐδὲ μετὰ γενεὰν ὅλην μίαν τοῦ ταῦτα πεπονθέναι ὑπ' αὐτῶν τὸν Ἰησοῦν. Τεσσαράκοντα [4]) γὰρ ἔτη καὶ δύο, οἶμαι, ἀφ' οὗ ἐσταύρωσαν τὸν Ἰησοῦν, γεγονέναι ἐπὶ τὴν Ἱεροσολύμων καθαίρεσιν. Καὶ οὐδέ ποτέ γε ἱστόρηται, ἐξ

---

[1]) Cod. Regius (itemq. edd. Spenc. in Corrigendis) recte: προστιθέντες. Alias (v. c. in textu edd. Spenc.) προτιθέντες. R.

[2]) Cfr. Matth. XXVII, 34.

[3]) Edd. Spenceri: αὐτούς.

[4]) Clemens Alexandr. Stromat. I. Οὕτω πληροῦνται τὰ τρίακοντα ἔτη, ἕως οὗ ἔπαθεν· ἀφ' οὗ δὲ ἔπαθεν, ἕως τῆς καταστροφῆς Ἱερουσαλὴμ, γίνονται ἔτη τεσσαράκοντα δύο, μῆνες τρεῖς. »Qui locus Clementis, inquit Scaliger in Animadv. Euseb. ad ann. MMLXXXVI., non uni Eusebio, sed et Origeni imposuit; cujus haec verba sunt, ex libr. IV. in Celsum: Τεσσαράκοντα κτλ. Aliter recitat ex Phlegonte, Tractatu XXIX. in Matthaeum. Si autem oportet et de temporibus aliquid dicere, dicimus, quoniam in Chronicis Phlegontis cujusdam dicitur, — si tamen debemus et hunc quasi vera dicentem de templo suscipere —, quoniam circa quadragesimum annum a quinto decimo anno Tiberii Caesaris facta est destructio Jerusalem, et templi, quod fuit in ea. Certe a decimo quinto anno Tiberii ad excidium templi sunt anni solidi quadraginta et unus cum aliquot diebus; non quadraginta, ut Phlegon; neque quadraginta duo, ut Clemens.« Vide Scaligerum ibidem, et Petavium lib. XI. cap. 17. de doctrina temporum. Spencerus.

οὖ Ἰουδαῖοί εἰσι, τοσοῦτον αὐτοὺς χρόνον ἐκβεβλῆσθαι τῆς σεμνῆς ἁγιστείας καὶ λατρείας, κρατηθέντας ὑπὸ δυναιωτέρων· ἀλλ' εἰ καί ποτε ἔδοξαν δι' ἁμαρτίας καταλείπεσθαι, οὐδὲν ἧττον ἐπεσκοπήθησαν, καὶ ἐπανελθόντες τὰ ἴδια ἀπειλήφασιν, ἀκωλύτως ποιοῦντες τὰ νενομισμένα. Ἓν οὖν τῶν παριστάντων θεῖόν τι καὶ ἱερὸν χρῆμα γεγονέναι τὸν Ἰησοῦν ἐστι καὶ τό· Ἰουδαίοις ἐπ' αὐτῷ τοσαῦτα καὶ τοιαῦτα πολλῷ ἤδη συμβεβηκέναι χρόνῳ. Θαῤῥοῦντες δ' ἐροῦμεν, ὅτι οὐδ' [1]) ἀποκατασταθήσονται. Ἅγος (175) γὰρ ἔπραξαν τὸ πάντων ἀνοσιώτατον, τῷ σωτῆρι τοῦ γένους τῶν ἀνθρώπων ἐπιβουλεύσαντες ἐν τῇ πόλει, ἔνθα τὰ νενομισμένα σύμβολα μεγάλων μυστηρίων ἐποίουν τῷ θεῷ. Ἐχρῆν οὖν ἐκείνην τὴν πόλιν, ὅπου ταῦτα πέπονθεν Ἰησοῦς, ἄῤῥην ἀπωλωλέναι, καὶ τὸ Ἰουδαῖον ἔθνος ἀνάστατον γεγονέναι, καὶ ἐπ' ἄλλους τὴν τοῦ θεοῦ εἰς μακαριότητα κλῆσιν μεταβεβηκέναι· τοὺς Χριστιανοὺς λέγω, ἐφ' οὓς ἐλήλυθεν ἡ περὶ τῆς εἰλικρινοῦς καὶ καθαρᾶς θεοσεβείας διδασκαλία, παραλαβόντας νόμους καινοὺς, καὶ ἁρμόζοντας τῇ πανταχοῦ καθεστώσῃ πολιτείᾳ· ἐπεὶ

---

[1]) Spencer. in notis: Origenem sequitur Chrysostomus, orat. V. advers. Judaeos: *Οὕτω καὶ νῦν ποιεῖν δεῖ τοὺς Ἰουδαίους, κτλ.* Aliter sentit Justinus, in dialogo cum Tryphone, pag. 306. *Εἰπὲ δέ μοι ἀληθῶς*, inquit Trypho, *ὑμεῖς ἀνοικοδομηθῆναι τὸν τόπον Ἱερουσαλὴμ τοῦτον ὁμολογεῖτε, κτλ.* Vide ibid. pag. 245. 249. 259. et Apolog. II. pag. 87. Praeter Justinum alii magni nominis auctores hanc opinionem tuebantur, quorum catalogum apud Hieronymum invenies in Prooemio ad libr. XVIII. Commentarior. in Jesaiam. Eundem vide in Comment. ad Ezech. cap. XXXVI., et in Catalogo scriptor. ecclesiast. in Papia, Irenaeum lib. V. cap. 22. etc. Tertull. libr. de resurrectione carnis cap. 25., et libr. III. contra Marcionem cap. 23., Lactant. lib. VII. cap. 24. et Augustin. lib. XX. cap. 29. de civitate Dei.

μὴ οἱ πρότερον δοθέντες, ὡς ἐνὶ ἔθνει ὑπὸ οἰκείων καὶ ὁμοήθων βασιλευομένῳ, οἷοί τε ἦσαν πάντες νῦν ἐπιτελεῖσθαι.

23. Μετὰ ταῦτα, συνήθως ἑαυτῷ γελῶν τὸ Ἰουδαίων καὶ Χριστιανῶν γένος, πάντας »παραβέβληκε νυκτερίδων ὁρμαθῷ, ἢ μύρμηξιν ἐκ καλιᾶς προελθοῦσιν, ἢ βατράχοις περὶ τέλμα συνεδρεύουσιν, ἢ σκώληξιν ἐν βορβόρου γωνίᾳ ἐκκλησιάζουσι, καὶ πρὸς ἀλλήλους διαφερομένοις, τίνες αὐτῶν εἶεν ἁμαρτωλότεροι, καὶ φάσκουσιν, ὅτι πάντα ἡμῖν ὁ Θεὸς προδηλοῖ καὶ προκαταγγέλλει· καὶ τὸν πάντα κόσμον καὶ τὴν οὐράνιον φορὰν ἀπολιπὼν, καὶ τὴν τοσαύτην γῆν παριδὼν, ἡμῖν μόνοις ἐμπολιτεύεται,[1]) καὶ πρὸς ἡμᾶς μόνους ἐπικηρυκεύεται, καὶ πέμπων οὐ διαλείπει, καὶ ζητῶν, ὅπως ἀεὶ συνῶμεν αὐτῷ.« Καὶ ἐν τῷ ἀναπλάσματί γε ἑαυτοῦ »παραπλησίους ἡμᾶς ποιεῖ σκώληξι φάσκουσιν, ὅτι Θεός ἐστιν· εἶτα μετ' ἐκεῖνον ἡμεῖς ὑπ' αὐτοῦ γεγονότες πάντη ὅμοιοι τῷ Θεῷ· καὶ ἡμῖν πάντα ὑποβέβληται, γῆ, καὶ ὕδωρ, καὶ ἀὴρ, καὶ ἄστρα, καὶ ἡμῶν ἕνεκα πάντα, καὶ ἡμῖν δουλεύειν τέτακται.« Λέγουσι δὲ παρ' αὐτῷ οἱ σκώληκες, ἡμεῖς δηλαδὴ, ὅτι »νῦν, ἐπειδή[2]) τινες ἐν ἡμῖν πλημμελοῦσιν, ἀφίξεται Θεὸς, ἢ πέμψει τὸν υἱὸν, ἵνα καταφλέξῃ τοὺς ἀδίκους, καὶ οἱ λοιποὶ σὺν αὐτῷ ζωὴν αἰώνιον ἔχωμεν.« Καὶ ἐπιφέρει γε πᾶσιν, ὅτι »ταῦτα[3]) μᾶλλον ἀνεκτὰ, σκωλήκων καὶ βα-

---

[1]) Hoeschel. in textu (edd. Spenc. ad marg.) ἐκπολιτεύεσθαι. Codd. Regius, Basileensis, et duo Vaticani: πολιτεύεται. R.

[2]) Edd. Spenc. ἐπειδή τινες ἡμῖν. Jam Boherell. vero: »Lege: ἐπειδή τινες ἐν ἡμῖν.«

[3]) Hoeschel. et Spencer. hoc loco habent: ταῦτα ἀνεκτὰ σκωλήκων, ἢ βατράχων, ἢ Ἰουδαίων, ἢ Χριστιανῶν, κτλ.; sed lectionem sequimur, quae infra habetur sub finem num. 30. R. — Boherellus: »Deest μᾶλλον, supplendum e pag. (edd. Spenc.) 180.«

τράχων, ἢ Ἰουδαίων καὶ Χριστιανῶν, πρὸς ἀλλήλους διαφερομένων.«

24. Πρὸς ταῦτα δὴ πυνθανόμεθα τῶν ἀποδεχομένων τὰ οὕτω καθ' ἡμῶν εἰρημένα, καί φαμεν· ἆρα πάντας ἀνθρώπους ὁρμαθὸν εἶναι νυκτερίδων, ἢ μύρμηκας, ἢ βατράχους, ἢ σκώληκας, ὑπολαμβάνετε, διὰ τὴν τοῦ θεοῦ ὑπεροχήν; ἢ τοὺς μὲν ἄλλους ἀνθρώπους εἰς τὴν προκειμένην εἰκόνα μὴ παραλαμβάνετε, ἀλλὰ διὰ τὸ λογικὸν καὶ τοὺς καθεστῶτας νόμους τηρεῖτε αὐτοὺς [1]) ἀνθρώπους· Χριστιανοὺς δὲ καὶ Ἰουδαίους, διὰ τὰ μὴ ἀρέσκοντα ὑμῖν αὐτῶν δόγματα ἐξευτελίζοντες, τούτοις τοῖς ζώοις παραβεβλήκατε; Καὶ ὁπότερόν γε ἂν εἴποιτε πρὸς τὴν πεῦσιν ἡμῶν, [2]) ἀποκρινούμεθα, ἀποδεικνύναι πειρώμενοι, οὐ δέοντως λελέχθαι περὶ τῶν πάντων ἀνθρώπων, ἢ περὶ ἡμῶν τοιαῦτα. Ἔστω γὰρ ὑμᾶς πρῶτον λέγειν, ὅτι πάντες ἄνθρωποι ὡς πρὸς θεὸν τοῖς εὐτελέσι τούτοις παραβάλλονται ζώοις, (176) ἐπεὶ μηδαμῶς ἐστιν αὐτῶν ἡ μικρότης συγκριτὴ τῇ ὑπεροχῇ τοῦ θεοῦ. Ποία δὲ μικρότης; Ἀποκρίνασθέ μοι, ὦ οὗτοι. Εἰ μὲν γὰρ ἡ τῶν σωμάτων· ἀκούσατε, ὅτι τὸ ὑπερέχον καὶ τὸ ἐνδέον, ὡς πρὸς ἀλήθειαν δικάζουσαν, οὐκ ἐν σώματι κρίνεται. Οὕτω γὰρ γύπες καὶ ἐλέφαντες ἡμῶν τῶν ἀνθρώπων ἔσονται κρείττους· καὶ γὰρ μείζους καὶ ἰσχυρότεροι καὶ πολυχρονιώτεροι οὗτοι. Ἀλλ' οὐδεὶς ἂν τῶν εὖ φρονούντων λέγοι [3]) κρείττονα εἶναι, διὰ τὰ σώματα, τάδε τὰ ἄλογα τῶν λογικῶν. Πολὺ γὰρ εἰς ὑπεροχὴν ἀνάγει ὁ λόγος τὸ λογικὸν παρὰ πάντα τὰ ἄλογα. Ἀλλ' [4]) οὐδὲ τὰ σπουδαῖα

---

[1]) In edd. Spenc. uncis inclusum legitur: *αὐτούς*.

[2]) Ita Hoeschel. et Spencer. in margine, et sane rectius quam in textu: *ὑμῶν*. R.

[3]) Omnes Mss. (itemq. Boherell. in notis): *λέγοι*, melius quam libri excusi (v. c. edd. Spenc.): *λέγει*. R.

[4]) Boherell. in notis: »Subaudi e praecedentibus: *λέγοι ἄν*, aut quid simile.«

καὶ μακάρια, εἴτε, ὡς ὑμεῖς φατε, οἱ ἀγαθοὶ δαίμονες, εἴτε, ὡς ἡμῖν ἔθος ὀνομάζειν, οἱ τοῦ θεοῦ ἄγγελοι, ἢ αἱ ὁποιαιδηποτοῦν ὑπερέχουσαι τῶν ἀνθρώπων φύσεις· ἐπειδὴ [1]) τὸ ἐν αὐτοῖς λογικὸν τετελείωται, καὶ κατα πᾶσαν ἀρετὴν πεποίωται.

25. Εἰ δὲ τὴν τοῦ ἀνθρώπου μικρότητα οὐ διὰ [2]) τὸ σῶμα ἐξευτελίζετε, ἀλλὰ διὰ τὴν ψυχὴν, ὡς οὖσαν ὑποδεεστέραν τῶν λοιπῶν λογικῶν, καὶ μάλιστα σπουδαίων, καὶ διὰ τοῦθ' ὑποδεεστέραν, ἐπεί περ ἡ κακία ἐστὶν ἐν αὐτῇ· τί μᾶλλον οἱ ἐν Χριστιανοῖς φαῦλοι, καὶ οἱ ἐν Ἰουδαίοις κακῶς βιοῦντες, ὁρμαθός εἰσι νυκτερίδων, ἢ μύρμηκες, ἢ σκώληκες, ἢ βάτραχοι· ἢ οἱ ἐν τοῖς λοιποῖς ἔθνεσι μοχθηροί; ὡς κατὰ τοῦτο πάνθ' ὁντινανοῦν, μάλιστα κεχυμένῃ τῇ κακίᾳ χρώμενον, νυκτερίδα, καὶ σκώληκα, καὶ βάτραχον, καὶ μύρμηκα εἶναι, ὡς πρὸς τοὺς λοιποὺς ἀνθρώπους. Κἂν Δημοσθένης [3]) τις οὖν ὁ ῥήτωρ ᾖ, μετὰ τῆς παραπλησίας ἐκείνῳ κακίας, καὶ τῶν ἀπὸ κακίας αὐτῷ πεπραγμένων· κἂν Ἀντιφὼν, [4]) ἄλλος ῥήτωρ νομιζόμενος εἶναι, καὶ τὴν πρόνοιαν ἀναίρων ἐν τοῖς ἐπιγεγραμμένοις περὶ ἀληθείας παραπλησίως τῇ Κέλσου ἐπιγραφῇ· οὐδὲν ἧττόν εἰσιν οὗτοι σκώληκες ἐν βορβόρου γωνίᾳ τοῦ τῆς ἀμαθίας καὶ ἀγνοίας καλινδούμενοι. Καίτοι γε ὁποῖον δὴ τὸ λογικὸν οὐκ ἂν εὐλόγως σκώληκι παραβάλλοιτο,

---

[1]) Codd. Regius et Basileensis (itemq. edd. Spenc. ad marg.) ἀλλ' ἐπεὶ τὸ ἐν αὐτοῖς. R.

[2]) Cod. Regius (itemq. Boherell. in notis) optime: διὰ τὸ σῶμα ἐξευτελίζετε. Alias (v. c. in edd. Spenc.): διὰ τὸ σῶμα ἐξευτελίζεται. R.

[3]) Cfr. Plutarch. in vitis decem rhetorum, et in Demosthene, coll. A. Gell. lib. I. cap. 5. et 9.

[4]) Vixit temporibus Socratis, ut constat ex Plutarcho in vitis decem rhetorum, Xenophonte memorabilium lib. I., Platone in Menex., Philostrato, lib. I. de sophistis, Athenaeo lib. XII. cap. 3.

ἀφορμὰς ἔχον πρὸς ἀρετήν. Αὗται γὰρ αἱ πρὸς [1]) αὐτὴν ὑποτυπώσεις οὐκ ἐῶσι σκώληκι παραβάλλεσθαι τοὺς δυνάμει ἔχοντας τὴν ἀρετὴν, καὶ τὰ σπέρματα αὐτῆς πάντη ἀπολέσαι οὐ δυναμένους. [2]) Οὐκοῦν ἀναφαίνεται, ὅτι οὐδ' οἱ ἄνθρωποι καθόλου σκώληκες ἂν εἶεν ὡς πρὸς θεόν. Ὁ γὰρ λόγος, τὴν ἀρχὴν ἔχων ἀπὸ τοῦ παρὰ [3]) θεῷ λόγου, οὐκ ἐᾷ τὸ λογικὸν ζῶον πάντη ἀλλότριον νομισθῆναι θεοῦ. Οὔτε μᾶλλον οἱ ἐν Χριστιανοῖς καὶ Ἰουδαίοις φαῦλοι, καὶ ὡς πρὸς τὸ ἀληθὲς οὐ Χριστιανοὶ, οὐδὲ Ἰουδαῖοι, τῶν λοιπῶν φαύλων παραβάλλοιντο ἐν γωνίᾳ βορβόρου καλινδουμένοις σκώληξιν. Εἰ δ' ἡ τοῦ λόγου φύσις οὐδὲ τοῦτο παραδέξασθαι ἐπιτρέπει· δηλονότι [4]) οὐχ ὑβρίσομεν τὴν πρὸς ἀρετὴν κατεσκευασμένην ἀνθρωπίνην φύσιν, κἂν δι' ἄγνοιαν ἐξαμαρτάνοι, οὐδ' ἐξομοιώσομεν αὐτὴν τοῖς τοιοῖσδε ζώοις.

26. Εἰ δὲ διὰ τὰ μὴ ἀρέσκοντα Κέλσῳ Χριστιανῶν καὶ Ἰουδαίων (177) δόγματα, ἃ μηδὲ τὴν ἀρχὴν ἐπίστασθαι φαίνεται, οὗτοι μὲν σκώληκες καὶ μύρμηκες, οἱ δὲ λοιποὶ οὐ τοιοῦτοι· φέρε, ἐξετάσωμεν καὶ τὰ αὐτόθεν πᾶσι προφαινόμενα δόγματα Χριστιανῶν καὶ Ἰουδαίων τοῖς τῶν λοιπῶν ἀνθρώπων, εἰ μὴ ἀναφανεῖται τοῖς ἅπαξ παραδεχομένοις εἶναί τινας ἀνθρώπους σκώληκας καὶ μύρμηκας, ὅτι σκώληκες μὲν καὶ μύρμηκες καὶ βάτραχοι οἱ καταπεπτωκότες ἀπὸ τῆς περὶ

---

[1]) Sic omnes Mss. (itemq. edd. Spenc. ad marg.) excepto Joliano, qui cum libris impressis (v. c. edd. Spenc. in textu) habet: *πρὸς ἀρετὴν ὑποτυπώσεις.* Sed quis ferat vocem *ἀρετήν* intra unius lineae spatium ter repetitam? R.

[2]) Edd. Spenc. perperam: *δυναμένοις.*

[3]) Edd. Spenc. et Ruaei in textu: *παρὰ θεοῦ*, Boherell. vero in notis: »Malim: *παρὰ θεῷ.*«

[4]) Recte Mss. (itemq. Boherell. in notis): *δηλονότι οὐχ ὑβρίσομεν.* Alias (v. c. in edd. Spenc.) *δῆλον ὅτι οὐχ ὑβρίσωμεν.* R.

θεοῦ ὑγιοῦς ὑπολήψεως, φαντασίᾳ δ' εὐσεβείας ἤτοι ἄλογα ζῶα, ἢ ἀγάλματα σέβοντες, ἢ καὶ τὰ δημιουργήματα· δέον ἐκ τοῦ κάλλους αὐτῶν θαυμάζειν τὸν πεποιηκότα, κἀκεῖνον σέβειν· ἄνθρωποι δὲ, καὶ εἴ τι ἀνθρώπων τιμιώτερον, οἱ δυνηθέντες ἀναβῆναι ἀκολουθοῦντες τῷ λόγῳ ἀπὸ λίθων καὶ ξύλων, ἀλλὰ καὶ τῆς νομιζομένης ὕλης εἶναι τιμιωτάτης ἀργύρου καὶ χρυσοῦ· ἀναβάντες δὲ καὶ ἀπὸ τῶν ἐν κόσμῳ καλῶν ἐπὶ τὸν τὰ ὅλα ποιήσαντα, καὶ ἐκείνῳ ἑαυτοὺς πιστεύσαντες, καὶ ὡς μόνῳ διαρκεῖν δυναμένῳ ἐπὶ πάντα τὰ ὄντα, καὶ ἐφορᾷν τοὺς πάντων λογισμοὺς, καὶ ἀκούειν τῆς πάντων εὐχῆς· τὰς εὐχὰς ἐκείνῳ ἀναπέμποντες, καὶ ὡς ἐπὶ θεατοῦ αὐτοῦ τῶν γινομένων πάντα πράττοντες, καὶ ὡς ἐπὶ ἀκροατοῦ τῶν λεγομένων φυλαττόμενοι λέγειν τὸ μὴ ἀρεσκόντως ἀπαγγελλόμενον τῷ θεῷ. Εἰ μὴ ἆρα[1] ἡ[2] τηλικαύτη εὐσέβεια οὔθ' ὑπὸ πόνων, οὔθ' ὑπὸ κινδύνων θανάτου, οὔθ' ὑπὸ λογικῶν πιθανοτήτων νικωμένη, οὐδὲν βοηθεῖ τοῖς ἀνειληφόσιν αὐτὴν πρὸς τὸ μηκέτι αὐτοὺς παραβάλλεσθαι σκώληξιν, εἰ καὶ παρεβάλλοντο πρὸ τῆς τηλικαύτης εὐσεβείας; Ἆρα δὲ οἱ νικῶντες τὴν δριμυτάτην πρὸς ἀφροδίσια ὄρεξιν, πολλῶν ποιήσασαν τοὺς θυμοὺς μαλθακοὺς καὶ κηρίνους· καὶ διὰ τοῦτο νικῶντες, ἐπεί περ ἐπείσθησαν μὴ ἄλλως οἰκειωθῆναι δύνασθαι τῷ θεῷ, ἐὰν μὴ καὶ διὰ σωφροσύνης ἀναβῶσι πρὸς αὐτόν· σκωλήκων ὑμῖν δοκοῦσιν εἶναι ἀδελφοὶ, καὶ μυρμήκων συγγενεῖς, καὶ βατράχοις παραπλήσιοι; Τί δὲ, τὸ λαμπρὸν τῆς δικαιοσύνης, τηρούσης τὸ πρὸς τὸν πλησίον καὶ ὁμογενὲς κοινωνικὸν, καὶ δίκαιον, καὶ φιλάνθρωπον, καὶ χρηστὸν, οὐδὲν ἀνύει πρὸς τὸ μὴ εἶναι νυκτερίδα τὸν τοιονδί; Οἱ δὲ περὶ τὰς ἀκολασίας καλινδούμενοι, ὁποῖόί εἰσιν οἱ πολλοὶ τῶν ἀνθρώπων, καὶ οἱ ταῖς χαμαιτύ-

[1]) Edd. Spenc. ἄρα.

[2]) Edd. Spenc. ad marg. ἢ τηλικαύτη.

παις ἀδιαφόρως[1]) προσιόντες, διδάσκοντες δὲ καὶ μὴ πάντως παρὰ τὸ καθῆκον τοῦτο γίνεσθαι, οὐκ εἰσὶν ἐν βορβόρῳ σκώληκες; καὶ μάλιστα συγκρινόμενοι τοῖς διδαχθεῖσι μὴ αἴρειν τὰ μέλη[2]) τοῦ Χριστοῦ, καὶ τὸ ὑπὸ[3]) τοῦ λόγου οἰκούμενον σῶμα, καὶ ποιεῖν αὐτὰ πόρνης μέλη· μαθοῦσι δὲ ἤδη καὶ ὅτι[4]) τὸ τοῦ λογικοῦ καὶ τῷ θεῷ τῶν ὅλων ἀνακείμενον σῶμα, ναός[5]) ἐστι τοῦ προσκυνουμένου ὑπ' αὐτῶν θεοῦ, τοιοῦτον ἀπὸ τῆς καθαρᾶς περὶ τοῦ δημιουργοῦ ἐννοίας γινόμενον· οἳ[6]) καὶ φυλαττόμενοι διὰ τῆς (178) παρανόμου συνουσίας φθείρειν τὸν ναὸν τοῦ θεοῦ, ὡς εἰς θεὸν εὐσέβειαν ἀσκοῦσι τὴν σωφροσύνην.

27. Καὶ οὔπω λέγω τὰ λοιπὰ ἐν ἀνθρώποις κακά· ὧν οὐ ταχέως οὐδ' οἱ φιλοσοφεῖν δοκοῦντες καθαρεύουσι· πολλοὶ γὰρ καὶ οἱ ἐν φιλοσοφίᾳ νόθοι. Οὐδέ φημί πω, ὅτι πολλὰ μέν ἐστι τὰ τοιαῦτα παρὰ τοῖς μήτε Ἰουδαίοις, μήτε Χριστιανοῖς. Ἧττοι δὲ οὐδ' ὅλως ὑπάρχει ἐν Χριστιανοῖς· εἰ κυρίως ἐξετάζοις, τίς ὁ Χριστιανός; Ἢ εἰ καὶ εὑρεθείη, ἀλλ' οὔτι γε ἐν τοῖς συνεδρεύουσι καὶ ἐπὶ τὰς κοινὰς εὐχὰς ἐρχομένοις, καὶ μὴ ἀποκλειομένοις ἀπ' αὐτῶν· εἰ μὴ ἄρα τις σπανίως λανθάνων ἐν τοῖς πολλοῖς εὑρίσκοιτο τοιοῦτος. Οὐ σκώληκες οὖν ἐκκλησιάζοντές ἐσμεν, οἱ πρὸς Ἰουδαίους ἱστά-

---

[1]) Ita recte omnino habet Codex Basileensis, et vetus Vaticanus (itemq. Boherell. in notis). Alias (v. c. in edd. Spenc.) male: διαφόρως. R.

[2]) Cfr. I Cor. VI, 15.

[3]) Codd. Regius et Basileensis: ὑπὸ τοῦ λόγου οἰκονομούμενον σῶμα. R.

[4]) Vox ὅτι, quae in antea editis (v. c. in textu edd. Spenc.) desideratur, restituitur e Codice Joliano. R. — Edd. Spenc. ad marginem: λείπει ἴσως ὅτι.

[5]) Cfr. I Cor. III, 16.

[6]) Cod. Jolianus recte: οἳ καὶ φυλαττόμενοι. R. — Edd. Spenc. in textu: οἱ καὶ φυλαττόμενοι, ad marg. vero: »Forte: οἳ καί« κτλ.

μενοι ἀπὸ τῶν πεπιστευμένων αὐτοῖς εἶναι γραμμάτων ἱερῶν· καὶ δεικνύντες τόν τε προφητευόμενον ἐπιδεδημηκέναι, καὶ διὰ τὰ μέγιστα ἁμαρτήματα ἐκείνους ἐγκαταλελεῖφθαι, καὶ ἡμᾶς, τοὺς παραδεξαμένους τὸν λόγον, ἐλπίδας ἔχειν παρὰ θεῷ τὰς ἀρίστας, ἔκ τε τῆς εἰς αὐτὸν πίστεως, καὶ τοῦ δυναμένου ἡμᾶς οἰκειῶσαι αὐτῷ καθαροὺς[1]) ἀπὸ πάσης πονηρίας καὶ κακίας βίου. Οὐχ ἁπλῶς οὖν, εἴ τις Ἰουδαῖον ἑαυτὸν, ἢ Χριστιανὸν ἀναγορεύει, οὗτος λέγοι[2]) ἄν, ὅτι τὸν πάντα κόσμον καὶ τὴν οὐράνιον φορὰν ἡμῖν μάλιστα πεποίηκεν ὁ θεός. Ἀλλ' εἴ τις, ὡς[3]) ὁ Ἰησοῦς ἐδίδαξε, καθαρός ἐστι τῇ καρδίᾳ, καὶ πρᾶος, καὶ εἰρηνοποιὸς, καὶ προθύμως ὑπομένων τοὺς διὰ[4]) τὴν εὐσέβειαν κινδύνους· εὐλόγως ἂν ὁ τοιοῦτος θαρροίη τῷ θεῷ, συνιεὶς δὲ καὶ τὸν ἐν ταῖς προφητείαις λόγον φήσαι ἂν καὶ τό· »πάντα ταῦτα ἡμῖν τοῖς πιστεύουσιν ὁ θεὸς προδεδήλωκε καὶ κατήγγειλεν.«

28. Ἐπεὶ δὲ καὶ πεποίηκεν, οὓς ἡγεῖται σκώληκας, Χριστιανοὺς λέγοντας, ὅτι »τὴν οὐράνιον φορὰν ἀπολιπὼν ὁ θεὸς, καὶ τὴν[5]) τοσαύτην γῆν παριδὼν, ἡμῖν μόνοις ἐμπολιτεύεται, καὶ πρὸς ἡμᾶς ἐπικηρυκεύεται, καὶ πέμπων οὐ διαλείπει, καὶ ζητῶν, ὅπως ἀεὶ συνῶμεν αὐτῷ·« λεκτέον, ὅτι τὰ μὴ λεγόμενα πρὸς ἡμῶν περιτίθησιν ἡμῖν, τοῖς καὶ ἀναγινώσκουσι καὶ

---

[1]) Cfr. Tit. II, 14.

[2]) Mss. (itemq. Boherell. in notis): λέγοι. Impressi libri (v. c. edd. Spenc.) λέγει. R.

[3]) Alias (v. c. in edd. Spenc.): ὡς ὁ θεὸς ἐδίδαξε, sed Mss. ut in nostro textu. R. — Cfr. Matth. V, 8. 9. coll. 5.

[4]) Mss. (itemq. edd. Spenc. ad marg.) διὰ τὴν εὐσέβειαν κινδύνους. Libri impressi (v. c. edd. Spenc. in textu): διὰ τῆς εὐσεβείας κινδύνους. R.

[5]) Sic Mss. Alias vero (v. c. in edd. Spenc.) τὴν τοιαύτην γῆν.

γιγνώσκουσιν, ὅτι ἀγαπᾷ [1]) πάντα τὰ ὄντα ὁ θεὸς, καὶ οὐδὲν βδελύσσεται ὧν ἐποίησεν· οὐδὲ γὰρ ἂν μισῶν τι κατεσκεύασεν. Ἀνέγνωμεν δὲ καὶ τό· »φείδῃ [2]) δὲ πάντων, ὅτι σά ἐστι πάντα, φιλόψυχε. Τὸ γὰρ ἄφθαρτόν σου [3]) πνεῦμά ἐστιν ἐν πᾶσι. Διὸ καὶ τοὺς παραπίπτοντας κατ' ὀλίγον ἐλέγχεις, καὶ ἐν οἷς ἁμαρτάνουσιν ὑπομιμνήσκων νουθετεῖς.« Πῶς δὲ δυνάμεθα λέγειν »τὴν οὐράνιον φορὰν, καὶ τὸν πάντα κόσμον, ἀπολιπόντα τὸν θεὸν, καὶ τὴν τοσαύτην γῆν παριδόντα, ἡμῖν μόνοις ἐμπολιτεύεσθαι;« οἵτινες ἐν ταῖς εὐχαῖς εὕρομεν δεῖν τι λέγειν φρονοῦντας, ὅτι »τοῦ [4]) ἐλέους κυρίου πλήρης ἡ γῆ·« καί· »ἔλεος [5]) κυρίου ἐπὶ πᾶσαν σάρκα·« καὶ, ὅτι ἀγαθὸς ὢν ὁ θεὸς, »ἀνατέλλει [6]) τὸν ἥλιον αὐτοῦ [7]) ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ (179) βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους,« καὶ ἡμᾶς, ἵνα γενώμεθα αὐτοῦ υἱοὶ, ἐπὶ τὰ παραπλήσια προτρέπων, καὶ διδάσκων [8]) εἰς πάντας ἡμᾶς ἀνθρώπους, κατὰ τὸ δυνατὸν, ἐκτείνειν τὰς εὐποιΐας. Καὶ γὰρ αὐτὸς εἴρηται σωτὴρ [9]) πάντων ἀνθρώπων, μάλιστα πιστῶν· καὶ ὁ Χριστὸς αὐτοῦ, ἱλασμὸς [10]) εἶναι »περὶ τῶν ἁμαρτιῶν ἡμῶν· οὐ περὶ τῶν ἡμετέρων δὲ μόνων, ἀλλὰ καὶ περὶ ὅλου τοῦ κόσμου.« Καὶ [11]) ταῦτα μὲν οὖν πρὸς ταῦτα,

---

[1]) Cfr. Sap. Salom. XI, 24.

[2]) Cfr. Sap. Salom. XI, 26. XII, 1. 2.

[3]) In edd. Spenc. uncis inclusum legitur σου.

[4]) Psalm. XXXIII, 5.

[5]) Sap. Sirac. XVIII, 13. [6]) Cfr. Matth. V, 45.

[7]) Vox αὐτοῦ desideratur in antea editis (v. c. edd. Spenc.), sed habetur in Mss. R.

[8]) Cfr. Luc. VI, 35. [9]) Cfr. I Timoth. IV, 10.

[10]) Cfr. I Joann. II, 2.

[11]) Ed. Ruaei absque causa in notis: »Scribendum videtur: Καὶ ταῦτα μὲν οὖν πρὸς ὅσα κτλ. Libri impressi (v. c. edd. Spenc.) in margine habent: Καὶ τάχα μὲν οὖν ταῦτα ὅσα κτλ. R.

ὅσα ἀνέγραψεν ὁ Κέλσος. Ἄλλα δέ τινα ἰδιωτικὰ εἴποιεν ἂν Ἰουδαίων τινές, ἀλλ' οὔτι γε καὶ Χριστιανοί· οἱ διδαχθέντες, ὅτι »συνίστησι[1]) τὴν ἑαυτοῦ ἀγάπην εἰς ἡμᾶς ὁ θεὸς, ὅτι, ἔτι ἁμαρτωλῶν ὄντων ἡμῶν, Χριστὸς ὑπὲρ ἡμῶν ἀπέθανε.« Καίτοι γε »μόγις[2]) τις ὑπὲρ τοῦ δικαίου ἀποθανεῖται· ὑπὲρ γὰρ τοῦ ἀγαθοῦ τάχα τις καὶ τολμᾷ ἀποθανεῖν.« Νυνὶ δὲ ὑπὲρ τῶν πανταχοῦ ἁμαρτωλῶν, (ἵνα καταλίπωσι τὴν ἁμαρτίαν, καὶ πιστεύσωσι τῷ θεῷ ἑαυτούς,) ἐπιδεδημηκέναι[3]) κεκήρυκται ὁ Ἰησοῦς, πατρίῳ τινὶ τοῖς λόγοις τούτοις συνηθείᾳ καὶ Χριστὸς εἶναι λεγόμενος τοῦ θεοῦ.

29. Τάχα δέ τινων παρήκουσεν ὁ Κέλσος, ὅτι »ὁ θεός ἐστιν, εἶτα μετ' ἐκεῖνον ἡμεῖς·« οὓς ὠνόμασε σκώληκας. Καὶ ὅμοιον ποιεῖ τοῖς ὅλῃ αἱρέσει φιλοσοφίας ἐγκαλοῦσι, διά τινα λεγόμενα ὑπὸ προπετοῦς μειρακίου τριῶν ἡμερῶν φοιτήσαντος εἰς φιλόσοφον, καὶ ἐπαιρομένου κατὰ τῶν λοιπῶν, ὡς ἐλαττόνων καὶ ἀφιλοσόφων. Ἴσμεν γὰρ, ὅτι πολλά ἐστιν ἀνθρώπου τιμιώτερα· καὶ ἀνέγνωμεν, ὅτι »ὁ[4]) θεὸς ἔστη ἐν συναγωγῇ θεῶν·« θεῶν δὲ οὐ τῶν προσκυνουμένων[5]) ὑπὸ τῶν λοιπῶν· »πάντες[6]) γὰρ οἱ θεοὶ τῶν ἐθνῶν δαιμόνια.« Καὶ ἀνέγνωμεν, ὅτι ὁ θεὸς[7]) στὰς ἐν συναγωγῇ θεῶν, ἐν μέσῳ θεοὺς διακρίνει.[8]) Οἴδαμεν δὲ καὶ, ὅτι »εἷ-

---

[1]) Cfr. Rom. V, 8. [2]) Cfr. Rom. V, 7.

[3]) Post verbum: ἐπιδεδημηκέναι, libri impressi (v. c. edd. Spenc.) addunt inter uncinulos: καὶ διὰ τὰ μέγιστα ἁμαρτήματα, quae a Mss. absunt, nec agnovit interpres Gelenius. R.

[4]) Cfr. Psalm. LXXXII, 1. (LXXXI.)

[5]) Hoeschel. male in textu (edd. Spenc. ad marg.) προσκυνούντων. R.

[6]) Cfr. Psalm. XCVI, 5. (XCV.)

[7]) Cfr. Psalm. LXXXII, 1. (LXXXI.)

[8]) Hoeschel. in textu (edd. Spenc. in marg.) διακρίνων. R.

περ[1]) εἰσὶ θεοὶ λεγόμενοι, εἴτ' ἐν οὐρανῷ, εἴτε ἐπὶ γῆς· ὥσπερ εἰσὶ θεοὶ πολλοὶ, καὶ κύριοι πολλοί· ἀλλ' ἡμῖν εἷς θεὸς ὁ πατὴρ, ἐξ οὗ τὰ πάντα, καὶ ἡμεῖς εἰς αὐτόν· καὶ εἷς κύριος, Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα, καὶ ἡμεῖς δι' αὐτοῦ.« Οἴδαμεν δὲ καὶ τοὺς ἀγγέλους οὕτως[2]) εἶναι ἀνθρώπων κρείττονας, ὥστε τοὺς ἀνθρώπους τελειωθέντας, ἰσαγγέλους γίνεσθαι. »Ἐν[3]) γὰρ τῇ ἀναστάσει τῶν νεκρῶν οὔτε γαμοῦσιν, οὔτ' ἐκγαμίζονται· ἀλλά εἰσιν ὡς οἱ ἄγγελοι τῶν οὐρανῶν« οἱ δίκαιοι, καὶ γίνονται »ἰσάγγελοι.« [4]) Οἴδαμεν δ' ἐν τῇ διατάξει τῶν ὅλων εἶναί τινας τοὺς καλουμένους θρόνους,[5]) καὶ ἄλλους κυριότητας, καὶ ἄλλους ἐξουσίας, καὶ ἄλλους ἀρχάς· καὶ ὁρῶμεν, ὅτι πολὺ τούτων ἡμεῖς οἱ ἄνθρωποι ἀπολειπόμενοι ἐλπίδας ἔχομεν ἐκ τοῦ καλῶς βιοῦν, καὶ πάντα πράττειν κατὰ τὸν λόγον, ἀναβαίνειν ἐπὶ τὴν τούτων πάντων ἐξομοίωσιν. Καὶ τελευταῖον, ἐπεὶ »μήπω[6]) ἐφανερώθη τί ἐσόμεθα, οἴδαμεν[7]) ὅτι ἐὰν φανερωθῇ, ἐσόμεθα ὅμοιοι τῷ θεῷ, καὶ ὀψόμεθα αὐτὸν, καθώς ἐστιν.« Εἰ δέ τις τὸ λεγόμενον ὑπό τινων, εἴτε τῶν νοούντων, εἴτε τῶν μὴ συνιέντων, (180) ἀλλὰ παρακουσάντων λόγου ὑγιοῦς, φάσκοι, ὅτι »ὁ θεός ἐστιν, εἶτα μετ' ἐκεῖνον ἡμεῖς·« καὶ τοῦτό γ' ἂν ἑρμηνεύοιμι, τό· »ἡμεῖς·« λέγων ἀντὶ τοῦ· οἱ λογικοὶ, καὶ ἔτι μᾶλλον, οἱ σπουδαῖοι λογικοί. Καθ' ἡμᾶς γὰρ ἡ αὐτὴ ἀρετή ἐστι τῶν μακαρίων πάντων,

---

[1]) Cfr. I Cor. VIII, 5. 6.

[2]) In edd. Spenc. uncis inclusum legitur: οὕτως.

[3]) Cfr. Matth. XXII, 30.

[4]) Cfr. Luc. XX, 36.

[5]) Cfr. Coloss. I, 16.

[6]) Cfr. I Joann. III, 2.

[7]) Edd. Spenc., uncis voc. δ' appositis: οἴδαμεν δ' ὅτι κτλ.

ὥστε[1]) καὶ ἡ[2]) αὐτὴ ἀρετὴ ἀνθρώπου καὶ θεοῦ. Διόπερ γίνεσθαι τέλειοι,[3]) ὡς ὁ πατὴρ ἡμῶν ὁ οὐράνιος τέλειός ἐστι, διδασκόμεθα. Οὐδεὶς οὖν καλὸς καὶ ἀγαθὸς, σκώληξ ἐστὶν ἐννηχόμενος βορβόρῳ· καὶ οὐδεὶς εὐσεβὴς, μύρμηξ· καὶ οὐδεὶς δίκαιος, βάτραχος· καὶ οὐδεὶς τῷ λαμπρῷ φωτὶ τῆς ἀληθείας καταυγαζόμενος τὴν ψυχὴν, νυκτερίδι ἂν εὐλόγως παραβάλλοιτο.

30. Δοκεῖ δέ μοι παρακηκοέναι ὁ Κέλσος καὶ τοῦ· »ποιήσωμεν[4]) ἄνθρωπον κατ' εἰκόνα καὶ ὁμοίωσιν ἡμετέραν·« καὶ παρὰ τοῦτο πεποιηκέναι τοὺς σκώληκας λέγοντας, ὅτι ὑπὸ τοῦ θεοῦ γεγονότες, πάντη ἐσμὲν αὐτῷ ὅμοιοι. Εἰ μέντοι ἐγνώκει διαφορὰν τοῦ κατ' εἰκόνα θεοῦ γεγονέναι τὸν ἄνθρωπον, πρὸς[5]) τὸν καθ' ὁμοίωσιν· καὶ ὅτι ἀναγέγραπται εἰρηκέναι ὁ θεός· »ποιήσωμεν[6]) ἄνθρωπον κατ' εἰκόνα καὶ ὁμοίωσιν ἡμετέραν·« ἐποίησε δ' ὁ θεὸς τὸν ἄνθρωπον κατ' εἰκόνα θεοῦ, ἀλλ' οὐχὶ καὶ καθ' ὁμοίωσιν ἤδη· οὐκ ἂν ἐποίει ἡμᾶς λέγοντας, ὅτι »πάντη ὅμοιοί ἐσμεν τῷ θεῷ.« Οὐ λέγομεν δ' ὅτι ὑποβέβληται ἡμῖν καὶ τὰ ἄστρα· ἐπεὶ ἡ

---

[1]) Spencer. in notis: Tull. lib. I. de legibus: Jam vero virtus eadem in homine ac Deo est, neque ullo alio in genio praeterea. Est autem virtus nihil aliud, quam in se perfecta, et ad summum perducta natura. Est igitur homini cum Deo similitudo. Clem. Stromat. VII. Οὐ γὰρ, καθάπερ οἱ Στωϊκοὶ, ἀθέως πάνυ τὴν αὐτὴν ἀρετὴν ἀνθρώπου λέγομεν καὶ θεοῦ. Theodoret. Serm. XI. de fine et judicio: Ἐκεῖνο δέ γε αὐτῶν κομιδῇ τολμηρόν· ἀνθρώπου γάρ τοι καὶ θεοῦ τὴν αὐτὴν ἔλεγον ἀρετήν. [2]) Deest ἡ in ed. Ruaei.

[3]) Cfr. Matth. V, 48.

[4]) Sic etiam infra, cfr. pag. huj. not. 6., Mss. (itemq. Boherell. in notis.) Libri autem editi (v. c. edd. Spenc.) utrobique: ποιήσομεν. R. — Cfr. Genes. I, 26.

[5]) Boherell. non male in notis: »Lege: πρὸς τό« κτλ.

[6]) Cfr. Genes. I, 26. coll. pag. huj. not. 4.

τῶν δικαίων λεγομένη ἀνάστασις, καὶ ὑπὸ τῶν σοφῶν νοουμένη, παραβάλλεται ἡλίῳ, καὶ σελήνῃ, καὶ ἄστροις ὑπὸ τοῦ φάσκοντος· »ἄλλη [1]) δόξα ἡλίου, καὶ ἄλλη δόξα σελήνης, καὶ ἄλλη δόξα ἀστέρων· ἀστὴρ γὰρ ἀστέρος διαφέρει ἐν δόξῃ. Οὕτω καὶ ἡ ἀνάστασις τῶν νεκρῶν·« καὶ τοῦ Δανιὴλ [2]) περὶ τούτων πάλαι προφητεύσαντος. Φησὶ δ' ἡμᾶς λέγειν, ὅτι »πάντα ἡμῖν δουλεύειν τέτακται·« τάχα μὲν οὐκ ἀκούσας τῶν ἐν ἡμῖν συνετῶν τοιαῦτα λεγόντων· τάχα δὲ καὶ μὴ ἐπιστάμενος, πῶς λέλεκται [3]) πάντων εἶναι δοῦλον, τὸν ἐν ἡμῖν μείζονα. Καὶ ἐὰν μὲν Ἕλληνες λέγωσιν·

Εἶδ' [4]) ἥλιος [5]) μὲν νύξ τε δουλεύει βροτοῖς·

ἐπαινέσαντες τὸ λεγόμενον, καὶ διηγοῦνται αὐτό. Ἐπὰν [6]) δὲ τὸ τοιοῦτον ἢ μὴ λέγηται, ἢ ἄλλως λέγηται· συκοφαντεῖ ἡμᾶς ὁ Κέλσος καὶ ἐπὶ τούτοις. Ἐλέγομεν δὲ παρὰ τῷ Κέλσῳ ἡμεῖς, οἱ κατ' αὐτὸν σκώληκες, ὅτι »ἐπεί τινες ἐν ἡμῖν πλημμελοῦσιν, ἀφίξεται πρὸς ἡμᾶς ὁ θεὸς, ἢ πέμψει τὸν υἱὸν ἑαυτοῦ, ἵνα καταφλέξῃ τοὺς ἀδίκους, οἱ δὲ λοιποὶ βάτραχοι σὺν αὐτῷ βίον αἰώνιον ἔχωμεν.« Καὶ ὅρα, πῶς ὡς βωμολόχος τὴν περὶ κρίσεως θείας ἀπαγγελίαν, καὶ περὶ κολάσεως μὲν τῆς κατὰ τῶν ἀδίκων, γέρως δὲ τοῦ εἰς τοὺς δικαίους, εἰς χλεύην καὶ γέλωτα καὶ διασυρμὸν ἤνεγκεν ὁ σεμνὸς φιλόσοφος· καὶ ἐπιλέγει πᾶσι τούτοις, ἀνεκτὰ »εἶναι μᾶλλον [7]) ταῦτα ὑπὸ σκωλήκων καὶ βατράχων λεγόμενα, ἢ ὑπὸ Ἰουδαίων καὶ Χριστιανῶν πρὸς ἀλλήλους διαφερομένων ἀπαγγελλόμενα.« Ἀλλ' οὐ μιμησόμεθά

---

[1]) Cfr. 1 Cor. XV, 41. 42.

[2]) Cfr. Dan. XII, 3. [3]) Cfr. Matth. XX, 28.

[4]) Cfr. Eurip. Phoeniss. vers. 512.

[5]) Edd. Spenc. ad marg., ed. vero Ruaei in notis: »Libri editi: ἅλιος.«

[6]) Guieto scribendum videbatur: Ἐπὰν δέ τι τοιοῦτον ἢ μὲν λέγηται, ἢ ἄλλως λέγηται. R.

[7]) Cfr. libr. huj. num. 23.

γε αὐτὸν ἡμεῖς, οὐδὲ ἐροῦμεν τὰ παραπλήσια[1]) περὶ τῶν τὴν τῶν ὅλων φύσιν (181) ἐπαγγελλομένων εἰδέναι φιλοσόφων, καὶ πρὸς ἀλλήλους διαλεγομένων περὶ τοῦ, τίνα τρόπον συνέστη τὰ ὅλα, καὶ γέγονεν ὁ οὐρανὸς καὶ γῆ, καὶ τὰ ἐν αὐτοῖς πάντα· καὶ ὡς αἱ ψυχαὶ ἤτοι ἀγέννητοι[2]) οὖσαι, καὶ μὴ ὑπὸ θεοῦ κτισθεῖσαι, διακοσμοῦνται[3]) ὑπ' αὐτοῦ καὶ ἀμείβουσι σώματα· ἢ συσπαρεῖσαι τοῖς σώμασιν ἐπιδιαμένουσιν, ἢ οὐκ ἐπιδιαμένουσιν. Ἐδύνατο γάρ τις καὶ ταῦτα ἀντὶ τοῦ σεμνολογεῖν καὶ ἀποδέχεσθαι τὴν προαίρεσιν τῶν τῷ ἐξετάζειν τὴν ἀλήθειαν ἑαυτοὺς ἀνατεθεικότων, χλευάζων καὶ κακολογῶν φάσκειν, ὅτι σκώληκές εἰσιν οὗτοι ἐν γωνίᾳ τοῦ ἐν τῷ βίῳ τῶν ἀνθρώπων βορβόρου ἑαυτοὺς μὴ μετροῦντες, καὶ διὰ τοῦτο ἀποφαινόμενοι περὶ τῶν τηλικούτων, ὡς κατειληφότες· καὶ ὅτι λέγουσι διατεινόμενοι ὡς τεθεωρηκότες περὶ πραγμάτων, τῶν μὴ δυναμένων χωρὶς ἐπιπνοίας κρείττονος καὶ θειοτέρας δυνάμεως θεωρηθῆναι. »Οὐδεὶς[4]) γὰρ οἶδεν ἀνθρώπων τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ· οὕτω καὶ τὰ τοῦ θεοῦ οὐδεὶς ἔγνωκεν, εἰ μὴ τὸ πνεῦμα τοῦ θεοῦ.« Ἀλλ' οὐ μεμήναμεν, οὐδὲ τὴν τηλικαύτην ἀνθρώπων σύνεσιν, (κοινότερον δὲ λέγω σύνεσιν,) ἀσχοληθεῖσαν οὐ περὶ τὰ τῶν πολλῶν, ἀλλὰ περὶ τὴν ἐξέτασιν τῆς ἀληθείας κινήμασι σκωλήκων, ἢ

---

[1]) Edd. Spenc. παραπλήσια τῶν περὶ τήν κτλ. Jam Bohnerell. vero in notis: »Lego: παραπλήσια περὶ τῶν τήν« κτλ.

[2]) Libri editi (v. c. edd. Spenc.) ad oram: ἀγέννητοι. R.

[3]) Mss. recte: διακοσμοῦνται ὑπ αὐτοῦ. Libri editi (v. c. edd. Spenc.) διακοσμοῦνται ὑπ' αὐτῷ. R.

[4]) Sic omnes Mss. (itemq. edd. Spenc. ad marg.) excepto Joliano, qui cum libris editis (v. c. edd. Spenc.) in textu habet: Ὥσπερ γὰρ οὐδεὶς οἶδεν. R. — In textu edd. Spenc. uncis inclusum legitur: οὐδείς. Cfr. I Cor. II, 11.

ἄλλων τινῶν τοιούτων παραβάλλομεν· φιλαλήθως δὲ περί τινων μαρτυροῦμεν Ἑλλήνων φιλοσόφων, ὅτι ἐπέγνωσαν τὸν θεόν, ἐπεὶ »ὁ [1]) θεὸς αὐτοῖς ἐφανέρωσεν·« εἰ καὶ μὴ »ὡς [2]) θεὸν ἐδόξασαν ἢ ηὐχαρίστησαν· ἀλλ' ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς αὐτῶν. Καὶ φάσκοντες εἶναι σοφοὶ, ἐμωράνθησαν, καὶ [3]) ἤλλαξαν τὴν δόξαν τοῦ ἀφθάρτου θεοῦ ἐν ὁμοιώματι εἰκόνος φθαρτοῦ ἀνθρώπου, καὶ πετεινῶν, καὶ τετραπόδων, καὶ ἑρπετῶν.«

31. Μετὰ ταῦτα βουλόμενος κατασκευάζειν, ὅτι μηδὲν τῶν προειρημένων παρ' αὐτῷ ζώων διαφέρουσιν Ἰουδαῖοι καὶ Χριστιανοὶ, φησὶν, Ἰουδαίους »ἀπ' Αἰγύπτου δραπέτας γεγονέναι, μηδὲν πώποτε ἀξιόλογον πράξαντας, οὔτ' ἐν λόγῳ, οὔτ' ἐν ἀριθμῷ αὐτούς ποτε γεγενημένους.« Περὶ μὲν οὖν τοῦ μὴ δραπέτας αὐτοὺς γεγονέναι, μηδ' Αἰγυπτίους, ἀλλ' Ἑβραίους ὄντας παρῳκηκέναι ἐν τῇ Αἰγύπτῳ, ἐν τοῖς ἀνωτέρω ἡμῖν λέλεκται. Εἰ δὲ τό· »μήτ' ἐν λόγῳ, μήτ' ἐν ἀριθμῷ αὐτοὺς γεγονέναι·« κατασκευάζεσθαι νομίζει ἐκ τοῦ μὴ πάνυ τι τὴν περὶ αὐτῶν ἱστορίαν εὑρίσκεσθαι παρὰ τοῖς Ἕλλησι· φήσομεν, ὅτι [4]) εἴ τις ἐνατενίσαι τῇ ἀρχῇθεν αὐτῶν πολιτείᾳ, καὶ τῇ τῶν νόμων διατάξει· εὕροι ἄν, ὅτι γεγόνασιν ἄνθρωποι σκιὰν οὐρανίου βίου παραδεικνύντες ἐπὶ γῆς· παρ' οἷς οὐδὲν ἄλλο θεὸς νενόμισται, ἢ ὁ ἐπὶ πᾶσι, καὶ οὐδεὶς [5]) τῶν εἰκόνας ποιούν-

---

[1]) Cfr. Rom. I, 19. [2]) Cfr. Rom. I, 21—23.

[3]) Codd. Regius et Basileensis: καὶ ἠλλάξαντο. R.

[4]) Edd. Spenc. in textu quidem: ὅτι εἴ τις ἀρχῇθεν ἐνατενίσαι τῇ αὐτῶν πολιτείᾳ, ad marg. vero, uti nos in textu.

[5]) Philo libro de Gigantibus: Παρ' ὃ καὶ τὰς δοκίμους καὶ γλαφυρὰς τέχνας, ζωγραφίαν καὶ ἀνδριαντοποιΐαν ἐκ τῆς καθ' αὐτὸν πολιτείας ἐξήλασεν, ὅτι τὴν τοῦ ἀληθοῦς ψευδόμεναι φύσιν, ἀπάτας καὶ σοφίσματα δι' ὀφθαλμῶν ψυχαῖς εὐπαραγώγοις τεχνιτεύουσιν. Vide

των ἐπολιτεύετο. Οὔτε γὰρ ζωγράφος, οὔτ' ἀγαλματοποιὸς ἐν τῇ πολιτείᾳ αὐτῶν ἦν, ἐκβάλλοντος πάντας τοὺς τοιούτους ἀπ' αὐτῆς τοῦ νόμου· ἵνα μηδεμία (182) πρόφασις ᾖ τῆς τῶν ἀγαλμάτων κατασκευῆς τοὺς ἀνοήτους τῶν ἀνθρώπων ἐπισπωμένης, καὶ καθελκούσης ἀπὸ τοῦ θεοῦ εἰς γῆν τοὺς ὀφθαλμοὺς τῆς ψυχῆς. Ἦν οὖν παρ' αὐτοῖς νόμος καὶ τοιοῦτος· »μὴ [1]) ἀνομήσητε, καὶ ποιήσητε ὑμῖν ἑαυτοῖς γλυπτὸν ὁμοίωμα, πᾶσαν εἰκόνα, ὁμοίωμα ἀρσενικοῦ ἢ θηλυκοῦ· ὁμοίωμα παντὸς κτήνους τῶν ὄντων ἐπὶ τῆς γῆς· ὁμοίωμα παντὸς ὀρνέου πτερωτοῦ, ὃ πέταται ὑπὸ τὸν οὐρανόν· ὁμοίωμα παντὸς ἑρπετοῦ, ὃ ἕρπει ἐπὶ τῆς γῆς· ὁμοίωμα παντὸς ἰχθύος, ὅσα ἐστὶν ἐν τοῖς ὕδασιν ὑποκάτω τῆς γῆς.« Καὶ ἐβούλετό γε ὁ νόμος τῇ περὶ ἑκάστου ἀληθείᾳ ὁμιλοῦντας αὐτοὺς, μὴ ἀναπλάσσειν ἕτερα παρὰ τὴν ἀλήθειαν, ψευδόμενα τὸ ἀληθῶς ἀρσενικὸν, ἢ τὸ ὄντως θηλυκὸν, ἢ τὴν κτηνῶν φύσιν, ἢ τὸ ὀρνέων, ἢ τὸ ἑρπετῶν γένος, ἢ τὸ ἰχθύων. Σεμνὸν δὲ καὶ μεγαλοφυὲς παρ' αὐτοῖς καὶ τό· »μὴ [2]) ἀναβλέψας εἰς τὸν οὐρανὸν, καὶ ἰδὼν τὸν ἥλιον καὶ τὴν σελήνην, καὶ τοὺς ἀστέρας, πάντα [3]) τὸν κόσμον τοῦ οὐρανοῦ, πλανηθεὶς προσκυνήσῃς αὐτοῖς, καὶ λατρεύσῃς αὐτοῖς.« Οἷα δὲ πολίτεια [4]) ἦν ὅλου ἔθνους, παρ' ᾧ οὐδὲ φαίνεσθαι θηλυδρίαν οἷόν τ' ἦν; Θαυμαστὸν δὲ καὶ τὸ [5]) τὰ τῶν νέων ὑπεκκαύματα, τὰς ἑταίρας, ἀνατρεῖσθαι ἀπὸ τῆς πολιτείας αὐτῶν. Ἦν δὲ καὶ δικαστήρια [6]) τῶν δικαι-

---

Hecataeum apud Josephum lib. I. in Appionem, Josephum libro II. contra Appionem, et Tacitum libr. V. histor. Ruaeus.

[1]) Cfr. Deut. IV, 16—18. [2]) Cfr. Deut. IV, 19.

[3]) Edd. Spenc., uncis voc. *καί* appositis: *καὶ πάντα κτλ.* [4]) Cfr. Deut. XXIII, 1. coll. 17.

[5]) In edd. Spenc. uncis inclusum legitur: *τό.* — Cfr. Exod. XXI, 6. XXII, 8.

[6]) Cfr. Exod. XVIII, 21. seqq. coll. Deut. I, 15.

φαμὲν, ὅτι ὡς γένος[1]) ἐκλεκτὸν καὶ βασίλειον ἱεράτευμα ἀναχωροῦντες, καὶ ἐκκλίνοντες τὴν πρὸς τοὺς πολλοὺς ἐπιμιξίαν, ἵνα μὴ διαφθαρεῖεν τὰ ἤθη, ἐφρουροῦντο ὑπὸ τῆς θείας δυνάμεως· οὔτ' ἐπιθυμοῦντες, ὡς οἱ πολλοὶ τῶν ἀνθρώπων, προσλαβεῖν ἑαυτοῖς ἄλλας βασιλείας, οὔτε καταλειπόμενοι, ὡς διὰ τὴν ὀλιγότητα εὐεπιβουλεύτους αὐτοὺς γενέσθαι, καὶ ὡς[2]) ἐπὶ τῇ ὀλιγότητι ἄρδην ἀπολέσθαι· καὶ τοῦτ' ἐγίνετο, ὅσον ἔτι ἦσαν ἄξιοι τῆς ἀπὸ θεοῦ φρουρᾶς. Ὅτε δ' ἐχρῆν αὐτοὺς, ὡς ὅλον ἔθνος ἁμαρτάνον, διὰ πόνων ἐπιστρέφεσθαι πρὸς τὸν θεὸν αὐτῶν· ὁτὲ μὲν ἐπὶ πλεῖον, ὁτὲ δ' ἐπ' ἔλαττον ἐγκατελείποντο· ἕως ἐπὶ Ῥωμαίων τὴν μεγίστην ποιήσαντες ἁμαρτίαν ἐν τῷ ἀποκτεῖναι τὸν Ἰησοῦν, τέλειον ἐγκατελείφθησαν.

33, Ἑξῆς δὲ τούτοις ὁ Κέλσος ἐπιτρέχων τὰ[3]) ἀπὸ τῆς πρώτης βίβλου Μωϋσέως, ἥτις ἐπιγέγραπται Γένεσις, φησὶν, ὡς »ἄρα ἐπεχείρησαν γενεαλογεῖν αὐτοὺς ἀπὸ[4]) πρώτης σπορᾶς γοήτων καὶ πλάνων ἀνθρώπων, ἀμυδρὰς καὶ ἀμφιβόλους φωνὰς, ἐν σκότῳ που κρυφίους, ἐπιμαρτυρόμενοι, καὶ τοῖς ἀμαθέσι καὶ ἀνοήτοις παρεξηγούμενοι, καὶ ταῦτα μηδὲ πώποτ' ἐν πολλῷ τῷ πρόσθεν χρόνῳ τοῦ τοιοῦδε μηδ' ἀμφισβητηθέντος.« Πάνυ δ' ἀσαφῶς ἐν τούτοις δοκεῖ[5]) μοι εἰρηκέναι, ὅπερ ἐβούλετο. Εἰκὸς δὲ καὶ τὴν κατὰ τὸν τόπον ἀσάφειαν ἐπιτετηδευκέναι αὐτὸν, ἐπεί περ ἑώρα ἰσχυρὸν τὸν λόγον τὸν κατασκευάζοντα ἀπὸ τοιωνδὶ προγόνων εἶναι

---

[1]) Cfr. Exod. IX, 6. coll. I Petr. II, 9. et Deut. IV, 20.

[2]) Libri editi (v. c. edd. Spenc.) ad oram: ὅσον ἐπὶ τῇ κτλ.

[3]) Libri editi (v. c. edd. Spenc.) in textu: τὴν ἀπὸ τῆς κτλ. R. — Edd. Spenc. ad marg. τὰ ἀπὸ τῆς κτλ.

[4]) Libri editi (v. c. edd. Spenc.) in margine: ἀπὸ πρώτης φορᾶς. Male. R.

[5]) Edd. Spenc. ad marg. μοὶ δοκεῖ.

τὸ Ἰουδαίων[1]) ἔθνος. Πάλιν τ' αὖ ἐβουλήθη μὴ δοκεῖν ἀγνοεῖν πρᾶγμα περὶ Ἰουδαίων καὶ[2]) τοῦ γένους αὐτῶν οὐκ εὐκαταφρόνητον. Σαφὲς[3]) δή, ὅτι καὶ γενεαλογοῦνται Ἰουδαῖοι ἀπὸ τῶν τριῶν πατέρων τοῦ Ἀβραὰμ, καὶ τοῦ Ἰσαὰκ, καὶ τοῦ Ἰακώβ. Ὧν τοσοῦτον δύναται τὰ ὀνόματα[4]) συναπτόμενα τῇ τοῦ θεοῦ προσηγορίᾳ· ὡς οὐ μόνον τοὺς ἀπὸ τοῦ ἔθνους χρῆσθαι ἐν ταῖς πρὸς θεὸν εὐχαῖς, καὶ ἐν τῷ κατεπᾴδειν (184) δαίμονας, τῷ· »ὁ θεὸς Ἀβραὰμ, καὶ ὁ θεὸς Ἰσαὰκ, καὶ ὁ θεὸς Ἰακώβ·« ἀλλὰ γὰρ σχεδὸν καὶ πάντας τοὺς τὰ τῶν ἐπῳδῶν καὶ μαγειῶν πραγματευομένους. Εὑρίσκεται γὰρ ἐν τοῖς μαγικοῖς συγγράμμασι πολλαχοῦ ἡ τοιαύτη τοῦ θεοῦ ἐπίκλησις, καὶ παράληψις τοῦ θεοῦ ὀνόματος, ὡς οἰκείου τοῖς ἀνδράσιν τούτοις εἰς τὰ κατὰ τῶν δαιμόνων. Ταῦτ' οὖν δοκεῖ μοι, (ὑπὸ Ἰουδαίων καὶ Χριστιανῶν προσαγόμενα εἰς ἀπόδειξιν τοῦ ἱερούς τινας ἄνδρας γεγονέναι τὸν Ἀβραὰμ, καὶ τὸν Ἰσαὰκ, καὶ τὸν Ἰακὼβ, τοὺς πατέρας τοῦ Ἰουδαίων ἔθνους,) μὴ πάντη μὲν ἠγνοηκέναι ὁ Κέλσος, οὐ μὴν σαφῶς ἐκτεθεῖσθαι, ἐπεὶ μὴ ἐδύνατο ἀπαντῆσαι πρὸς τὸν λόγον.

34. Πυνθανόμεθα γὰρ ἁπάντων τῶν χρωμένων ταῖς τοιαύταις τοῦ θεοῦ κατακλήσεσιν,[5]) εἴπατε ἡμῖν, ὦ οὗτοι, τίς ὁ Ἀβραὰμ, καὶ πηλίκος ὁ Ἰσαὰκ, καὶ ποίας δυνάμεως γέγονεν ὁ Ἰακὼβ, ὡς τὴν »θεὸς« προς-

---

[1]) Cod. Regius: *Ἰουδαίων*. Libri editi (v. c. edd. Spenc.) *Ἰουδαῖον*. R.

[2]) Sic omnes Mss. (itemq. edd. Spenc. ad marg.) Hoeschel. vero (itemq. edd. Spenc.) in textu: *καὶ τὸ γένος αὐτῶν κτλ.* R.

[3]) Sic omnes Mss. (itemq. edd. Spenc. in textu). Hoeschel. vero in textu: *Σαφῶς δή κτλ.* R. — Edd. Spenc. ad marg. *Σαφῶς δ' ὅτι κτλ.*

[4]) Cfr. lib. I. num. 22.

[5]) Hoeschel. in textu (edd. Spenc. ad marg.) *ἐπικλήσεσιν*. Spencer. (in textu): *κατακαλήσεσι*, sed Mss. *κατακλήσεσιν*. R.

ηγορίαν ἁρμοζομένην αὐτῶν τῷ ὀνόματι τηλικάσδε ποιεῖν δυνάμεις; Καὶ παρὰ τίνων μεμαθήκατε, ἢ δύνασθε μαθεῖν τὰ περὶ τῶν ἀνδρῶν τούτων; Τίς δὲ καὶ ἐπραγματεύσατο ἀγαγράψαι τὴν περὶ αὐτοὺς ἱστορίαν, εἴτε καὶ αὐτόθεν σεμνύνουσαν ἐν ἀπορρήτοις τοὺς ἄνδρας, εἴτε καὶ δι' ὑπονοιῶν αἰνισσομένην τινὰ μεγάλα καὶ θαυμάσια τοῖς θεωρῆσαι αὐτὰ δυναμένοις; Εἶτ' ἐπὰν πυθομένων ἡμῶν[1]) μηδεὶς ἔχοι παραστῆσαι ἀφ' οἵας δήποτε ἱστορίας εἴτε[2]) ἑλληνικῆς, εἴτε καὶ βαρβαρικῆς, ἢ οὐχὶ ἱστορίας, ἀλλά τινος μυστικῆς ἀναγραφῆς τὰ περὶ τῶν ἀνδρῶν τούτων· ἡμεῖς προσοίσομεν τὴν ἐπιγεγραμμένην Γένεσιν, περιέχουσαν τὰς πράξεις τῶν ἀνδρῶν τούτων, καὶ τοὺς τοῦ θεοῦ χρησμοὺς πρὸς αὐτούς, ἐροῦμέν τε· ὅτι[3]) μή ποτε τὸ καὶ ὑφ'[4]) ὑμῶν παραλαμβάνεσθαι τὰ ὀνόματα τῶν τριῶν τούτων γεναρχῶν τοῦ ἔθνους, τῇ ἐναργείᾳ καταλαμβανόντων, οὐκ εὐκαταφρόνητα ἀνύεσθαι ἐκ τῆς κατεπικλήσεως αὐτῶν, παρίστησι τὸ θεῖον τῶν ἀνδρῶν; οὓς οὐδαμόθεν ἢ ἀπὸ τῶν ἱερῶν παρὰ Ἰουδαίοις βιβλίων παραλαμβάνομεν.[5])

---

[1]) Libri antea editi: ἡμῶν. At Mss. ὑμῶν. R. — Edd. Spenc. in textu: ὑμῶν, ad marg. vero: ἡμῶν.

[2]) Mss. restituunt haec, quae in editis (v. c. edd. Spenc.) omissa sunt verba: εἴτε ἑλληνικῆς, εἴτε καὶ βαρβαρικῆς, ἢ οὐχὶ ἱστορίας. R.

[3]) Guietus ex conjectura legebat: ὅτι μήποτε τὸ καὶ ὑφ' ὑμῶν παραλαμβάνεσθαι τὰ ὀνόματα τῶν τριῶν τούτων γεναρχῶν τοῦ ἔθνους, καὶ οὐκ εὐκαταφρόνητα ἀνύεσθαι ἐκ τῆς κατεπικλήσεως αὐτῶν, παρίστησι τὸ θεῖον τῶν ἀνδρῶν, κτλ. Sicque expungebat verba: τῇ ἐναργείᾳ καταλαμβανόντων, et postea pro voc. παραλαμβάνομεν, legebat: παραλαμβάνετε. Sed vetus lectio ferri potest, nec ab ea temere recedendum videtur. R.

[4]) Edd. Spenc. ὑφ' ἡμῶν. Jam Boherell. vero in notis: »Lego: ὑφ' ὑμῶν.« — Cfr. pag. huj. not. 3.

[5]) Cfr. pag. huj. not. 3.

Ἀλλὰ γὰρ καὶ ὁ θεὸς [1]) τοῦ Ἰσραὴλ, καὶ ὁ θεὸς [2]) τῶν Ἑβραίων, καὶ ὁ θεὸς ὁ καταποντώσας [3]) ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ τὸν Αἰγυπτίων βασιλέα, καὶ τοὺς Αἰγυπτίους, πολλάκις ὀνομάζεται παραλαμβανόμενος κατὰ δαιμόνων, ἤ τινων πονηρῶν δυνάμεων. Μανθάνομεν δὲ τὴν περὶ τὰ ὀνομαζόμενα ἱστορίαν, καὶ τὴν τῶν ὀνομάτων ἑρμηνείαν, ἀπὸ Ἑβραίων τῶν τοῖς πατρίοις γράμμασι, καὶ τῇ πατρίῳ διαλέκτῳ ταῦτα σεμνυνόντων καὶ διηγουμένων· Πῶς οὖν Ἰουδαῖοι ταῦτ' [4]) ἐπιχειρήσαντες ἑαυτοὺς γενεαλογεῖν ἀπὸ [5]) πρώτης σπορᾶς τούτων, οὓς γόητας καὶ πλανήτας ἀνθρώπους ὑπείληφεν εἶναι ὁ Κέλσος, ἀναισχύντως ἐπιχειροῦσιν ἑαυτοὺς καὶ τὴν [6]) αὐτῶν ἀρχὴν ἐπὶ τούτους ἀνάγειν; Ὧν τὰ ὀνόματα Ἑβραϊκὰ τυγχάνοντα μαρτυρεῖ Ἑβραίοις, τὰ ἱερὰ αὐτῶν βιβλία ἐν Ἑβραίων ἔχουσι διαλέκτῳ καὶ γράμμασι, [7]) ὅτι οἰκεῖόν ἐστι τὸ ἔθνος αὐτῶν τοῖς (185) ἀνδράσι τούτοις. Καὶ γὰρ μέχρι τοῦ δεῦρο τὰ Ἰουδαϊκὰ ὀνόματα, τῆς Ἑβραίων ἐχόμενα διαλέκτου, ἤτοι ἀπὸ τῶν γραμμάτων αὐτῶν ἐλήφθη, ἢ καὶ ἁπαξαπλῶς ἀπὸ τῶν σημαινομένων ὑπὸ τῆς Ἑβραίων φωνῆς.

35. Καὶ ὅρα ὁ ἐντυγχάνων τῇ Κέλσου γραφῇ, εἰ μὴ ταῦτ' αἰνίττεται τό· »καὶ ἐπεχείρησαν γενεαλογῆσαι αὑτοὺς ἀπὸ [8]) πρώτης σπορᾶς γοήτων καὶ πλάνων ἀν-

---

[1]) Cfr. Exod. V, 1. [2]) Cfr. Exod. III, 18.

[3]) Cfr. Exod. XV, 4.

[4]) In edd. Spenc. uncis inclusum legitur: ταῦτ'.

[5]) Edd. Spenc. ὑπὸ πρώτης κτλ. Jam Boherell. vero in notis: »Lege: ἀπὸ πρώτης κτλ., ut libri huj. num. 33. et 35.«

[6]) Edd. Spenc. in textu: τὴν αὐτῶν ἀρχήν, ad marg. vero: τὴν ἀρχὴν αὐτῶν.

[7]) Ed. Ruaei, Boherello duce: »Scribendum videtur: καὶ γράμμασι.«

[8]) Edd. Spenc. et Ruaei hoc loco, cfr. pag. huj. not. 5. ἀπὸ πρώτης κτλ.

θρώπων, ἀμυδρὰς καὶ ἀμφιβόλους φωνὰς, ἐν σκότῳ που κρυφίους, ἐπιμαρτυρόμενοι.« Κρύφια [1]) γὰρ, καὶ οὐκ ἐν φωτὶ καὶ γνώσει πολλῶν ἐστι τὰ ὀνόματα ταῦτα, καθ' ἡμᾶς μὲν οὐκ ἀμφίβολα, κἂν ὑπὸ τῶν ἀλλοτρίων τῆς ἡμετέρας θεοσεβείας παραλαμβάνηται· κατὰ δὲ Κέλσον, οὐ [2]) παριστάντα τὸ τῶν φωνῶν ἀμφίβολον, οὐκ οἶδ' ὅπως παρέρριπται. Καίτοι γε ἐχρῆν αὐτὸν, εἴπερ εὐγνωμόνως ἀνατρέπειν ἐβούλετο ἣν ᾠήθη ἀναισχυντότατα παρειληφθαι γενεαλογίαν, Ἰουδαίοις αὐχοῦσι τὸν Ἀβραὰμ, καὶ τοὺς [3]) ἀπ' αὐτοῦ, ὅλα ἐκθέσθαι τὰ κατὰ τὸν τόπον· καὶ πρότερον συναγορεῦσαι ἢ ἐνόμιζε πιθανότητι, καὶ μετὰ τοῦτο γενναίως ἀνατρέψαι τῇ φαινομένῃ αὐτῷ ἀληθείᾳ, καὶ τοῖς ὑπὲρ αὐτῆς λογίοις, τὰ κατὰ τὸν τόπον. Ἀλλ' οὔτε Κέλσος, οὔτ' ἄλλος τις δυνήσεται, τὰ περὶ φύσεως ὀνομάτων εἰς δυνάμεις παραλαμβανομένων διαλαμβάνων, τὸν ἀκριβῆ περὶ τούτων παραστῆσαι λόγον· καὶ ἐλέγξαι, ὡς εὐκαταφρόνητοι γεγόνασιν ἄνθρωποι, ὧν καὶ αἱ ὀνομασίαι μόνον, οὐ παρὰ τοῖς οἰκείοις μόνοις, ἀλλὰ καὶ παρὰ τοῖς ἀλλοτρίοις δύνανται. [4]) Ἔδει δ' αὐτὸν παραθέσθαι, πῶς ἡμεῖς μὲν τοῖς ἀμαθέσι καὶ ἀνοήτοις παρεξηγούμενοι τὰ περὶ τῶν ὀνομάτων τούτων, ἀπατῶμεν, (ὡς οἴεται,) τοὺς ἀκούοντας· αὐτὸς δὲ, ὁ αὐχῶν εἶναι μὴ ἀμαθὴς, μηδὲ ἀνόητος, τὴν ἀληθῆ λέγει περὶ τούτων ἑρμηνείαν. Παρέρριψε δ' ἐν τοῖς κατὰ τὰ ὀνόματα ταῦτα, ἀφ' ὧν γενεαλογοῦνται Ἰουδαῖοι, ὅτι »οὐδὲ πώποτ' ἐν πολλῷ τῷ πρόσθεν χρόνῳ ἀμφισβήτησις γεγένηται περὶ τῶν

---

[1]) Edd. Spenceri: *Κρύφια γάρ ἐστι, καὶ οὐκ ἐν φωτὶ καὶ γνώσει πολλῶν, τὰ ὀνόματα ταῦτα, καθ' ἡμᾶς μὲν οὐκ ἀμφίβολα, κἂν — θεοσεβείας παραλαμβάνηται.*

[2]) Libri editi (v. c. edd. Spenc.) ad oram: *ὡς παριστάντα.* R.

[3]) Edd. Spenc. ad marg. *τοῖς ἀπ' αὐτοῦ.*

[4]) Edd. Spenc. ad marginem: *λείπει ἴσως· πλεῖστον*

τοιῶνδε ὀνομάτων· ἀλλὰ νῦν Ἰουδαῖοι πρὸς ἑτέρους τινὰς, οὓς οὐκ ὠνόμασε, περὶ τούτων ἀμφισβητοῦσι.« Δεικνύτω γὰρ ὁ βουλόμενος, τίνες οἱ ἐπιδικαζόμενοι, καὶ κἂν πιθανότητι χρώμενοι, κατὰ Ἰουδαίων, πρὸς τὸ μὴ ὑγιῶς μὲν Ἰουδαίους καὶ Χριστιανοὺς τὰ περὶ τούτων ἀπαγγέλλειν, καθ' ὧν κεῖται τὰ ὀνόματα· ἑτέρους δ' εἶναι τοὺς σοφώτατα καὶ ἀληθέστατα περὶ τούτων διειληφότας. Ἀλλὰ πεπείσμεθα, ὅτι οὐ δυνήσονται τὸ [1]) τοιοῦτόν τινες ποιῆσαι, ἐναργοῦς ὄντος τοῦ τὰ ὀνόματα ἀπὸ τῆς Ἑβραίων ἑλληφθαι διαλέκτου, παρὰ [2]) μόνοις Ἰουδαίοις εὑρισκομένης.

36. Μετὰ ταῦτα ὁ Κέλσος ἐκτιθέμενος τὰ ἀπὸ τῆς ἔξω τοῦ θείου λόγου ἱστορίας, τὰ περὶ τῶν ἐπιδικασαμένων ἀνθρώπων τῆς ἀρχαιότητος, οἷον Ἀθηναίων, καὶ Αἰγυπτίων, καὶ Ἀρκάδων, καὶ Φρυγῶν, καὶ γηγενεῖς (186) τινας παρὰ σφίσι γεγονέναι λεγόντων, καὶ τεκμήρια τούτων παρεχομένων ἑκάστων, φησὶν, ὡς »ἆρα Ἰουδαῖοι ἐν γωνίᾳ που τῆς Παλαιστίνης συγκύψαντες, παντελῶς ἀπαίδευτοι, καὶ οὐ προακηκοότες πάλαι ταῦτα Ἡσιόδῳ καὶ ἄλλοις μυρίοις ἀνδράσιν ἐνθέοις ὑμνημένα, συνέθεσαν ἀπιθανώτατα καὶ ἀμουσότατα, ἄνθρωπόν τινα, ὑπὸ χειρῶν θεοῦ πλασσόμενόν τε καὶ ἐμφυσώμενον, [3]) καὶ γύναιον ἐκ τῆς πλευρᾶς· καὶ παραγγέλματα τοῦ θεοῦ, καὶ ὅφιν τούτοις [4]) ἀντιπράσ-

---

[1]) Edd. Spenc. ad marginem: τὸ τοιοῦτον ποιῆσαί τινες.

[2]) Falsum. Hebraeorum enim lingua Syrorum est dialectus, et proinde Syriaca dici potest. Quare nomina ista Abraam, Isaac, Jacob sunt pura puta Syriaca. Quod Origenem ignorasse mirum videtur. R.

[3]) Hoeschel. in textu (edd. Spenc. ad marg.) ἐμφυσσώμενον. Sed Mss. (itemq. edd. Spenc. ad marg.) ut in nostro textu. R.

[4]) Hoeschel. (itemq. edd. Spenc.) in textu: τούτοις ἀντιπροστάσσοντα. Sed Mss. (itemq. edd. Spenc. ad marg.) ut in nostro textu. R.

σοντα· καὶ περιγενόμενον τῶν θεοῦ προσταγμάτων τὸν ὄφιν· μῦθόν τινα ὡς γραυσὶ διηγούμενοι·[1]) καὶ ποιοῦντες ἀνοσιώτατα τὸν θεὸν εὐθὺς ἀπ' ἀρχῆς ἀσθενοῦντα, καὶ μηδ' ἕνα ἄνθρωπον, ὃν αὐτὸς ἔπλασε, πεῖσαι δυνάμενον.« Διὰ τούτων δὴ ὁ πολυΐστωρ καὶ πολυμαθὴς, καὶ Ἰουδαίοις καὶ Χριστιανοῖς ἀμαθίαν ἐγκαλῶν καὶ ἀπαιδευσίαν, Κέλσος σαφῶς παρίστησι, τίνα τρόπον ἀκριβῶς ἤδει τοὺς ἑκάστου συγγραφέως χρόνους, Ἕλληνος καὶ βαρβάρου· ὅς γε οἴεται Ἡσίοδον, καὶ ἄλλους μυρίους, οὓς ὀνομάζει ἄνδρας ἐνθέους, πρεσβυτέρους εἶναι Μωϋσέως καὶ τῶν τούτου γραμμάτων· Μωϋσέως, τοῦ ἀποδεικνυμένου πολλῷ τῶν Ἰλιακῶν πρεσβυτέρου. Οὐκ Ἰουδαῖοι οὖν συνέθεσαν ἀπιθανώτατα καὶ ἀμουσότατα τὰ περὶ τὸν γηγενῆ ἄνθρωπον, ἀλλ' οἱ κατὰ Κέλσον ἄνδρες ἔνθεοι, Ἡσίοδος καὶ οἱ ἄλλοι αὐτοῦ μυρίοι, τοὺς πολλῷ πρεσβυτέρους καὶ σεμνοτάτους ἐν τῇ Παλαιστίνῃ λόγους μήτε μαθόντες, μήτ' ἀκηκοότες, τοιαύτας ἔγραψαν ἱστορίας περὶ τῶν ἀρχαίων, ὁποίας[2]) καὶ θεογονίας· γένεσιν, τὸ ὅσον ἐφ' ἑαυτοῖς, περιτιθέντες θεοῖς, καὶ ἄλλα μυρία. Οὓς εὐλόγως ἐκβάλλει[3]) τῆς ἑαυτοῦ πολιτείας Πλάτων, ὡς ἐπι-

---

[1]) Hoeschel. (itemq. edd. Spenc.) in textu: *διηγούμενον*. Sed Mss. (itemq. edd. Spenc. ad marg.) ut in nostro textu. R.

[2]) Guieto suspecta sunt et aliena videntur verba: *ὁποίας καὶ θεογονίας*. Scribendum forte: *Ἡσίας καὶ θεογονίας*. Sed ista fortasse sunt glossemata τοῦ· *τοιαύτας ἔγραψαν ἱστορίας περὶ τῶν ἀρχαίων*. R.

[3]) Plato libr. II. de republica pag. 379.: *Οὐκ ἄρα, ἦν δ' ἐγὼ, ἀποδεκτέον οὔτε Ὁμήρου, οὔτ' ἄλλου ποιητοῦ ταύτην τὴν ἁμαρτίαν περὶ τοὺς θεοὺς ἀνοήτως ἁμαρτάνοντος, κτλ.* Et libr. III. pag. 389. *Οὐκοῦν Ὁμήρου οὐδὲ τὰ τοιαῦτα ἀποδεξόμεθα περὶ θεῶν·*

Ἄσβεστος δ' ἄρ' ἐνῶρτο γέλως μακάρεσσι θεοῖσιν,
Ὡς ἴδον Ἥφαιστον διὰ δώματα ποιπνύοντα.

τρίβοντας τοὺς νέους, τὸν Ὅμηρον, καὶ τοὺς τοιαῦτα γράφοντας ποιήματα. Ἀλλὰ Πλάτων μὲν δῆλός ἐστι μὴ [1]) φρονήσας ἐνθέους γεγονέναι ἄνδρας, τοὺς τοιαῦτα ποιήματα καταλελοιπότας. Ὁ δὲ κρίνειν μᾶλλον Πλάτωνος δυνάμενος, ὁ Ἐπικούρειος Κέλσος, (εἴ γε οὗτός [2]) ἐστι καὶ ὁ κατὰ Χριστιανῶν ἄλλα δύο βιβλία συντάξας,) τάχα ἡμῖν φιλονεικῶν, οὓς μὴ ἐφρόνει ἐνθέους, ἐνθέους ὠνόμασεν.

37. Ἐγκαλεῖ δ' »ἡμῖν ὡς ὑπὸ χειρῶν θεοῦ πλασθέντα εἰσάγουσιν ἄνθρωπον·« τοῦ [3]) μὲν τῆς Γενέσεως βιβλίου οὔτ' ἐπὶ τῆς ποιήσεως τοῦ ἀνθρώπου, οὔτ' ἐπὶ τῆς πλάσεως, χεῖρας παραλαβόντος [4]) θεοῦ·

Vide libr. X. pag. 605. Theodoret. Serm. II. de Principio: Τί γὰρ τῆς Ὁμήρου ποιήσεως ἥδιον; Τί δὲ τῆς εὐεπείας ἐκείνης γλυκύτερον; Ἀλλ' ὅμως τοῦτον, τῶν φιλοσόφων ὁ ἄριστος· — ἐπέγνωτε δὲ δήπου τὸν Ἀρίστωνος, ὡς ἠγοῦμαι· — μύρῳ γε ἀλείψας, καθάπερ αἱ γυναῖκες τὰς χελιδόνας, ἐκ τῆς ὑπ' αὐτοῦ ξυντεθείσης ἀπέπεμψε πόλεως, ἀκολασίας καλέσας καὶ δυσσεβείας διδάσκαλον. Βλασφημεῖν γὰρ, φησὶν, ἐκπαιδεύει τοὺς νέους, καὶ πονηρὰς αὐτοῖς περὶ τῶν θεῶν ἐκτίθησι δόξας, καὶ ἀπαλοῖς ἔτι οὖσι μαθήματα πονηρὰ καὶ διεφθαρμένα ἐνίησι. Spencerus.

[1]) Verumtamen Plat. Jo pag. 533. Πάντες γὰρ οἵ τε τῶν ἐπῶν ποιηταὶ οἱ ἀγαθοὶ, οὐκ ἐκ τέχνης, ἀλλ' ἔνθεοι ὄντες, καὶ κατεχόμενοι, πάντα ταῦτα τὰ καλὰ λέγουσι ποιήματα. Vide pag. 534. et lib. III. de legibus pag. 682. Spencerus.

[2]) Hoeschel. in textu (edd. Spenc. ad marg.) ἄλλος ἐστί. R.

[3]) Edd. Spenc., uncis voc. οὖν appositis: τοῦ μὲν οὖν τῆς κτλ.

[4]) Libri antea editi (v. c. edd. Spenc.) παραλαβούσης, sed Codd. Reg. et Basileensis: παραλαβόντος. R.

τοῦ δὲ Ἰὼβ καὶ τοῦ Δαυὶδ [1]) εἰπόντων [2]) τό· »αἱ [3]) χεῖρές σου ἐποίησάν με, καὶ ἔπλασάν με·« περὶ ὧν πολὺς ὁ λόγος εἰς τὸ παραστῆσαι τὰ νενομημένα τοῖς ταῦτα εἰρηκόσιν, οὐ μόνον περὶ διαφορᾶς ποιήσεως καὶ πλάσεως, ἀλλὰ καὶ περὶ χειρῶν θεοῦ. Ἃς οἱ μὴ νοήσαντες καὶ τὰς τοιαύτας ἀπὸ τῶν θείων γραφῶν φωνὰς, οἴονται ἡμᾶς τοιοῦτον σχῆμα περιτιθέναι τῷ ἐπὶ πᾶσι θεῷ, ὁποῖόν ἐστι τὸ ἀνθρώπινον· καθ' οὓς καὶ πτέρυγας (187) ἀκόλουθον νομίζειν ἡμᾶς εἶναι ἐν τῷ σώματι τοῦ θεοῦ, ἐπεὶ καὶ ταῦτα λέγουσιν αἱ κατὰ τὸ ῥητὸν περὶ τοῦ θεοῦ ἡμῶν γραφαί. [4]) Ταῦτα δὲ νῦν ἑρμηνεύειν οὐκ ἀπαιτεῖ ἡ προκειμένη πραγματεία· προηγουμένως γὰρ ἐν τοῖς εἰς τὴν Γένεσιν ἐξηγητικοῖς ταῦθ' ἡμῖν, κατὰ τὸ δυνατὸν, ἐξήτασται. Εἶθ' ὅρα κακοήθειαν τοῦ Κέλσου ἐν τοῖς ἑξῆς. Τῆς γὰρ γραφῆς ἡμῶν λεγούσης ἐπὶ τῆς τοῦ ἀνθρώπου πλάσεως· »καὶ [5]) ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν.« Ὁ δὲ κακοήθως διασύρειν βουλόμενος τό· »ἐνεφύσησεν [6]) εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς·« [7]) (ὅπερ οὐδὲ νενόηκε, τίνα τρόπον λέλεκται·) ἀνέγραψεν, ὅτι »συνέθεσαν ἄνθρωπον ὑπὸ χειρῶν θεοῦ πλασσόμενον [8]) καὶ ἐμφυ-

---

[1]) Edd. Spenc. *Δαβίδ*.

[2]) Alias (v. c. in textu edd. Spenc.) *εἰπόντος*. R. — Edd. vero Spenc. ad marginem: *εἰπόντων*.

[3]) Cfr. Job. X, 8. coll. Psalm. CXIX, 73. (CXVIII.)

[4]) Cfr. Psalm. XVII, 8. (XVI.) coll. XXXVI, 7. (XXXV.) LVII, 1. (LVI.) LXI, 4. (LX.) et LXIII, 7. (LXII.)

[5]) Genes. II, 7. [6]) Genes. II, 7.

[7]) Vocem: *ζωῆς*, quae desideratur in antea editis (v. c. edd. Spenc.), restituit Cod. Regius. R.

[8]) Edd. Spenc. et Ruaei in textu: *πλασσόμενον· ἵνα τὸ ἐμφυσωμενον κτλ.* Boherell. vero rectius, ut videtur, in notis: »Ex iis, quae praecedunt, et sequuntur, adde voc. *πλασσόμενον*, verba: *καὶ ἐμφυσώμενον*.«

σώμενον·« ἵνα τὸ ἐμφυσώμενον παραπλησίως τις νομίσας λελέχθαι τοῖς ἐμφυσωμένοις ἀσκοῖς, γελάσῃ τό· »ἐνεφύσησεν[1]) εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς·« τροπικῶς εἰρημένον, καὶ δεόμενον διηγήσεως, παριστάσης μεταδεδωκέναι τὸν θεὸν τοῦ ἀφθάρτου πνεύματος τῷ ἀνθρώπῳ· καθὸ λέλεκται τό· »τὸ[2]) δὲ ἄφθαρτόν σου πνεῦμά ἐστιν ἐν πᾶσιν.«

38. *Εἶτ' ἐπεὶ προκείμενον*[3]) ἦν αὐτῷ κακηγορεῖν τὰ γεγραμμένα, διεχλεύασε καὶ τό· »ἐπέβαλεν[4]) ὁ θεὸς ἔκστασιν ἐπὶ τὸν Ἀδάμ, καὶ ὕπνωσε. Καὶ ἔλαβε μίαν τῶν πλευρῶν αὐτοῦ, καὶ ἀνεπλήρωσε σάρκα ἀντ' αὐτῆς· καὶ ᾠκοδόμησε τὴν πλευρὰν, ἣν ἔλαβεν ἀπὸ τοῦ Ἀδάμ, εἰς γυναῖκα,« καὶ τὰ ἑξῆς· οὐδὲ τὴν λέξιν ἐκθέμενος, δυναμένην ἐπιστῆσαι τὸν ἀκούοντα, ὅτι μετὰ τροπολογίας εἴρηται. Καὶ οὐκ ἠθέλησέ γε προσποιήσασθαι, ἀλληγορεῖσθαι τὰ τοιαῦτα· καίτοι γε ἐν τοῖς ἑξῆς λέγων, ὅτι »οἱ ἐπιεικέστεροι Ἰουδαίων τε καὶ Χριστιανῶν ἐπὶ τούτοις αἰσχυνόμενοι, πειρῶνταί πως ἀλληγορεῖν αὐτά.« Ἔστι δ' εἰπεῖν πρὸς αὐτόν· ἆρα τὰ μὲν τῷ ἐνθέῳ σου Ἡσιόδῳ εἰρημένα ἐν μύθου σχήματι περὶ[5]) τῆς γυναικὸς ἀλληγορεῖται· ὡς ἄρα δέδοται αὕτη τοῖς ἀνθρώποις ὑπὸ Διὸς κακὸν, καὶ ἀντὶ τοῦ πυρός· ἡ δ' ἀπὸ τῆς πλευρᾶς τοῦ μετ' ἔκστασιν κοιμηθέντος ληφθεῖσα γυνὴ, καὶ οἰκοδομηθεῖσα ὑπὸ τοῦ θεοῦ, χωρὶς παντὸς λόγου καί τινος ἐπικρύψεως λελέχθαι σοι φαίνεται; Ἀλλ' οὐκ εὔγνωμον, ἐκεῖνα μὲν μὴ γελᾶν, ὡς μῦθον· ἀλλὰ θαυμάζειν ὡς ἐν μύθῳ φιλοσοφούμενα· ταῦτα δὲ μόνῃ τῇ λέξει τὴν διάνοιαν ἐναπερείσαντα[6])

---

[1]) Gen. II, 7. [2]) Sap. Salomon. XII, 1.

[3]) Sic recte Mss. (itemq. Boherell. in notis.) Alias (v. c. in edd. Spenc.) male: *προσκείμενον*. R.

[4]) Cfr. Genes. II, 21. 22.

[5]) Cfr. Hesiod. Theogon. vers. 364. coll. 264. et lib. operum ac dierum vers. 57.

[6]) Edd. Spenc. ad marg. *ἐναπερίσαντα*.

μυχθίζειν, καὶ μηδενὸς λόγου νομίζειν ἔσεσθαι. Εἰ γὰρ ψιλῆς ἕνεκεν λέξεως χρὴ κατηγορεῖν τῶν ἐν [1]) ὑπονοίαις λελεγμένων· ὅρα, εἰ μὴ τὰ Ἡσιόδου μᾶλλον γέλωτα μέλλει ὄφλειν ἀνδρὸς, (ὡς φῄς,) ἐνθέου τοιαῦτα [2]) γράψαντος·

Τὸν δὲ χολωσάμενος προσέφη νεφεληγερέτα Ζεύς·
Ἰαπετιονίδη, πάντων πέρι μήδεα εἰδώς,
Χαίρεις [3]) πῦρ κλέψας, καὶ ἐμὰς φρένας ἠπεροπεύσας,
(188) Σοί τ' αὐτῷ μέγα πῆμα καὶ ἀνδράσιν ἐσσομένοισι·
Τοῖς δ' ἐγὼ ἀντὶ πυρὸς δώσω κακόν, ᾧ κεν ἅπαντες
Τέρπωνται κατὰ θυμὸν, ἑὸν κακὸν ἀμφαγαπῶντες.
Ὣς ἔφατ'· ἐκ δ' ἐγέλασσε [4]) πατὴρ ἀνδρῶν τε θεῶν τε.
Ἥφαιστον δ' ἐκέλευσε περικλυτὸν, ὅττι τάχιστα
Γαῖαν ὕδει φύρειν, ἐν δ' ἀνθρώπου θέμεν αὐδὴν
Καὶ σθένος, ἀθανάταις [5]) δὲ θεαῖς εἰς ὦπα ἔοικειν
Παρθενικαῖς [6]) καλὸν εἶδος, ἐπήρατον· αὐτὰρ Ἀθήνην
Ἔργα διδασκῆσαι, [7]) πολυδαίδαλον ἱστὸν ὑφαίνειν·

---

[1]) Edd. Spenc. ἐν ὑπονοίας. Jam Boherell. vero in notis: »Lege vel: ἐν ὑπονοίᾳ, ut pag. (edd. Spenc.) 189. lin. 7., pag. 193. lin. 13., pag. 221. lin. 28. et pag. 335. lin. 4. ante finem, vel: ἐν ὑπονοίαις, ut pag. 422. lin. 4. At pag. 196. lin. 10. habes: δι' ὑπονοίας, et pag. 197. lin. 45. δι' ὑπονοιῶν.«

[2]) Vide Hesiod. lib. operum ac dierum vers. 53—82.

[3]) Hoeschel. et Spenc. in margine: χαίρεις, sicque Codd. Regius, Basileensis et Anglicanus primus. Alii Codd. (itemq. edd. Spenc. in textu) Χαίροις. R.

[4]) Sic libri editi Hesiodi. Origenes: ἐτέλεσσε. R. — Edd. Spenc. in textu: ἐτέλεσσε.

[5]) Sic libri editi Hesiodi. Origenes (sicque edd. Spenc. in textu): ἀθανάτοις δὲ θεοῖς. R. — Ed. Aldina: ἀθανάτης δὲ θεῆς.

[6]) Sic libri editi Hesiodi. Origenes (sicque edd. Spenc. et Goettling. in textu): Παρθενικῆς. R.

[7]) Sic libri editi Hesiodi. Origenes (sicque edd. Spenc. in textu): διδασκέμεναι. R.

Καὶ χάριν ἀμφιχέαι κεφαλῇ χρυσῆν [1]) Ἀφροδίτην,
Καὶ πόθον ἀργαλέον, καὶ γυιοκόρους μελεδῶνας·
Ἐν δὲ θέμεν κύνεόν τε νόον καὶ ἐπίκλοπον ἦθος
Ἑρμείην [2]) ἤνωγε, διάκτορον Ἀργειφόντην.
Ὣς ἔφαθ'· οἱ δ' ἐπίθοντο Διὶ Κρονίωνι ἄνακτι.
(Αὐτίκα [3]) δ' ἐκ γαίης πλάσσε κλυτὸς Ἀμφιγυήεις
Παρθένῳ [4]) αἰδοίῃ ἴκελον, Κρονίδεω διὰ βουλάς·
Ζῶσε δὲ καὶ κόσμησε θεὰ γλαυκῶπις Ἀθήνη.)
Ἀμφὶ δέ οἱ Χάριτές τε θεαὶ καὶ πότνια Πειθὼ
Ὅρμους χρυσείους ἔθεσαν χροΐ· ἀμφὶ δὲ τήν [5]) γε
Ὧραι καλλίκομοι [6]) στέφον ἄνθεσιν εἰαρινοῖσιν·
Πάντα δέ οἱ χροῒ κόσμον ἐφήρμοσε Παλλὰς Ἀθήνη·
Ἐν δ' ἄρα οἱ στήθεσσι διάκτορος Ἀργειφόντης
Ψεύδεά θ' αἱμυλίους τε λόγους καὶ ἐπίκλοπον ἦθος
Τεῦξε, Διὸς βουλῇσι βαρυκτύπου· ἐν δ' ἄρα φωνὴν
Θῆκε θεῶν κήρυξ· ὀνόμηνε δὲ τήνδε γυναῖκα
Πανδώρην· ὅτι πάντες Ὀλύμπια δώματ' ἔχοντες
Δῶρον ἐδώρησαν, [7]) πῆμ' ἀνδράσιν ἀλφηστῇσι.

Γελοῖον δ' αὐτόθεν καὶ τὸ περὶ τοῦ πίθου λεγόμενον, ὅτι
Πρὶν [8]) μὲν γὰρ ζώεσκον ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων
Νόσφιν ἄτερ τε κακῶν, καὶ ἄτερ χαλεποῖο πόνοιο,

---

[1]) Ed. Goettlingii: *χρυσέην*.

[2]) Ed. Goettlingii: *Ἑρμείαν*.

[3]) Tres hi versus uncis inclusi non reperiuntur in Codd. nostris Origenis manu exaratis. R.

[4]) Cfr. de hoc versu et sequenti Theogon. versus 572. et 573.

[5]) Sic libri editi Hesiodi. Origenes (sicque edd. Spenc. in textu): *τήνδε*. R.

[6]) Sic libri editi Hesiodi. Origenes (sicque edd. Spenc. in textu): *καλλιπλόκαμοι*. R.

[7]) Sic libri editi Hesiodi. Origenes (sicque edd. Spenc. in textu): *ἐδωρήσαντο*. R.

[8]) Cfr. Hesiod. operum ac dierum versus 90—98.

Νούσων τ' ἀργαλέων, αἵ τ' ἀνδράσι γῆρας[1]) *ἔδωκαν.*[2])
Ἀλλὰ γυνὴ χείρεσσι πίθου μέγα πῶμ' ἀφελοῦσα
Ἐσκέδασ'· ἀνθρώποισι δ' ἐμήσατο κήδεα λυγρά.
Μούνη δ' αὐτόθι Ἐλπὶς ἐν ἀῤῥήκτοισι δόμοισιν
(189) *Ἔνδον ἔμιμνε, πίθου ὑπὸ χείλεσιν, οὐδὲ θύραζε*
Ἐξέπτη· πρόσθεν γὰρ ἐπέμβαλε πῶμα πίθοιο.

Πρὸς δὲ τὸν ταῦτα σεμνῶς ἀλληγοροῦντα, εἴτ' ἐπιτυγχάνοντα ἐν τῇ ἀλληγορίᾳ, εἴτε καὶ μὴ, ἐροῦμεν· ἆρα μόνοις Ἕλλησιν ἐν ὑπονοίᾳ ἔξεστι φιλοσοφεῖν; Ἀλλὰ καὶ Αἰγυπτίοις, καὶ ὅσοι τῶν βαρβάρων σεμνύνονται ἐπὶ μυστηρίοις καὶ ἀληθείᾳ; Μόνοι δὲ Ἰουδαῖοι ἔδοξάν σοι, καὶ ὁ τούτων νομοθέτης, καὶ οἱ συγγραφεῖς, πάντων ἀνθρώπων εἶναι ἀνοητότατοι; Καὶ μόνον τοῦτο[3]) *τὸ ἔθνος οὐδεμιᾶς δυνάμεως θεοῦ μετειληφέναι, τὸ οὕτω μεγαλοφυέστατα δεδιδαγμένον ἀναβαίνειν ἐπὶ τὴν ἀγένητον τοῦ θεοῦ φύσιν, κἀκείνῳ μόνῳ ἐνορᾷν, καὶ τὰς ἀπ' αὐτοῦ μόνου ἐλπίδας προσδοκᾷν;*

39. *Ἐπεὶ δὲ καὶ τὰ περὶ τὸν ὄφιν, ὡς ἀντιπράσσοντα τοῖς τοῦ θεοῦ πρὸς τὸν ἄνθρωπον παραγγέλμασιν, ὁ Κέλσος κωμῳδεῖ, μῦθόν τινα παραπλήσιον τοῖς παραδιδομένοις ταῖς γραυσὶν ὑπολαβὼν εἶναι τὸν λόγον· καὶ ἑκὼν οὔτε τὸν θεοῦ παράδεισον ὠνόμασεν, οὐδ' ὡς πεφυτευκέναι λέγεται*[4]) *ὁ θεὸς ἐν Ἐδὲμ κατ' ἀνατολάς· καὶ μετὰ τοῦτο ἐξανατειαλκέναι ἐκ τῆς γῆς πᾶν ξύλον ὡραῖον εἰς ὅρασιν, καὶ καλὸν εἰς βρῶσιν, καὶ τὸ ξύλον τῆς ζωῆς ἐν*[5]) *μέσῳ τῷ παραδείσῳ, καὶ*

---

[1]) Sic libri editi Hesiodi. Origenes (sicque edd. Spenc. et Goettling. in textu): *κῆρας*. R.

[2]) In ed. Goettling. versus sequitur hicce, uncis inclusus: *Αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκουσι.*

[3]) Desideratur *τοῦτο* in antea editis (v. c. edd. Spenc.), sed suppletur e Mss. R.

[4]) Cfr. Genes. II, 8.

[5]) Sic Mss. Alias vero (v. c. in edd. Spenc.) *ἐν μέσῳ τοῦ παραδείσου*. R.

τὸ γνωστὸν καλοῦ καὶ πονηροῦ ξύλον, καὶ τὰ ἐπὶ τούτοις εἰρημένα, δυνάμενα αὐτόθεν κινῆσαι τὸν εὐμενῶς ἐντυγχάνοντα, ὅτι πάντα ταῦτα οὐκ ἀσέμνως τροπολογεῖται· φέρε, ἀντιπαραθῶμεν ἐκ τοῦ Συμποσίου Πλάτωνος τὰ εἰρημένα περὶ τοῦ Ἔρωτος τῷ Σωκράτει, καὶ ὡς σεμνότερα πάντων τῶν ἐν τῷ Συμποσίῳ εἰπόντων περὶ αὐτοῦ τῷ Σωκράτει περιτεθέντα.[1]) Οὕτω δ' ἔχει ἡ Πλάτωνος λέξις· »ὅτ'[2]) ἐγένετο ἡ Ἀφροδίτη, εἰστιῶντο οἵ θεοὶ, οἵ τε ἄλλοι, καὶ ὁ τῆς Μήτιδος υἱὸς Πόρος.[3]) Ἐπειδὴ δὲ ἐδείπνησαν, προσαιτήσουσα,[4]) οἷον δὴ εὐωχίας οὔσης, ἀφίκετο ἡ Πενία, καὶ ἦν περὶ τὰς θύρας. Ὁ οὖν Πόρος μεθυσθεὶς τοῦ νέκταρος, (οἶνος γὰρ οὔπω ἦν,) εἰς τὸν τοῦ Διὸς κῆπον εἰσελθὼν βεβαρημένος εὗδεν.[5]) Ἡ οὖν Πενία ἐπιβουλεύουσα, διὰ τὴν αὐτῆς ἀπορίαν, παιδίον ποιήσασθαι ἐκ τοῦ Πόρου, κατακλίνεταί τε παρ' αὐτῷ, καὶ ἐκύησε τὸν Ἔρωτα. Διὸ δὴ καὶ τῆς Ἀφροδίτης ἀκόλουθος[6]) θεράπων γέγονεν[7]) ὁ[8]) Ἔρως, γεννηθεὶς ἐν[9]) τοῖς ἐκείνης γενεθλίοις· καὶ

---

[1]) Ita Codd. Reg. et Basil. melius quam libri editi (v. c. edd. Spenc.) *περιτιθέντα*. R.

[2]) Cfr. Platon. Sympos. pag. 203.

[3]) Quidam Mss. prima manu habent: *Πῶρος*, secunda vero: *Πόρος*. R. — Edd. Spenc. in textu constanter: *Πῶρος*.

[4]) Cod. Anglicanus secundus recte: *προσαιτήσουσα*, sicque apud Platonem in Joann. Serrani editione (itemq. in ed. Bekkeri) legitur, pro quo libri editi Origenis (v. c. edd. Spenc.) hoc loco habent: *προσαῖτις οὖσα*. R.

[5]) Ed. Bekkeri: *ηὗδεν*.

[6]) Edd. Spenc., uncis voc. *καί* appositis: *ἀκόλουθος καὶ θεράπων*.

[7]) Hoeschel. in textu (edd. Spenc. ad marg.) *εἴδετο*. R.

[8]) In edd. Spenc. uncis inclusa leguntur verba: *ὁ Ἔρως*.

[9]) Hoeschel. in textu (edd. Spenc. ad marg.) *ἐν τοῖς ἐκείνων γενεθλίοις*. R.

ἅμα φύσει ἐραστὴς ὢν περὶ τὸ καλὸν, καὶ τῆς Ἀφροδίτης καλῆς οὔσης. Ἅτε οὖν Πόρου καὶ Πενίας υἱὸς ὢν ὁ Ἔρως ἐν τοιαύτῃ τύχῃ καθέστηκε. Πρῶτον μὲν πένης ἀεί ἐστι, καὶ πολλοῦ δεῖ ἁπαλός τε καὶ καλὸς, οἷον οἱ πολλοὶ οἴονται, ἀλλὰ σκληρὸς καὶ αὐχμηρὸς καὶ ἀνυπόδητος καὶ ἄοικος, χαμαιπετὴς ἀεὶ ὢν, καὶ ἄστρωτος, ἐπὶ θύραις καὶ ἐν ὁδοῖς ὑπαίθριος κοιμώμενος· τὴν τῆς μητρὸς φύσιν ἔχων, ἀεὶ ἐνδείᾳ ξύνοικος. Κατὰ δ' αὖ τὸν πατέρα ἐπίβουλός ἐστι τοῖς (190) καλοῖς, καὶ τοῖς ἀγαθοῖς, ἀνδρεῖος ὢν, καὶ ἴτης, καὶ σύντονος· θηρευτὴς δεινὸς, ἀεὶ [1]) προσπλέκων μηχανάς· καὶ φρονήσεως ἐπιθυμητὴς καὶ πόριμος· φιλοσοφῶν διὰ παντὸς τοῦ βίου· δεινὸς γόης, καὶ φαρμακεὺς, καὶ σοφιστής· καὶ οὔτε ὡς ἀθάνατος πέφυκεν, οὔτε ὡς θνητός· ἀλλὰ τοτὲ μὲν τῆς αὐτῆς ἡμέρας θάλλει [2]) τε καὶ ζῇ, ὅταν εὐπορήσῃ· τοτὲ [3]) δ' ἀποθνήσκει πάλιν, πάλιν δ' ἀναβιώσκεται διὰ τὴν τοῦ πατρὸς φύσιν. Τὸ δὲ ποριζόμενον ἀεὶ ὑπεκρεῖ· ὥστε οὔτ' ἀπορεῖ Ἔρως ποτὲ, οὔτε πλουτεῖ. Σοφίας [4]) δ' αὖ καὶ ἀμαθίας ἐν μέσῳ ἐστίν.« Ἆρα γὰρ οἱ ἐντυγχάνοντες τούτοις, ἐὰν μὲν τὴν κακοήθειαν τοῦ Κέλσου μιμῶνται, ὅπερ Χριστιανῶν ἀπείη, καταγελάσονται [5]) τοῦ μύθου, καὶ ἐν χλεύῃ θήσονται τὸν τηλικοῦτον Πλάτωνα· ἐὰν δὲ τὰ ἐν μύθου σχήματι λεγόμενα φιλοσόφως ἐξετάζοντες, δυνηθῶσιν εὑρεῖν τὸ

---

[1]) Ed. Bekkeri: ἀεί τινας πλέκων μηχανάς.

[2]) Ed. Bekkeri: θάλλει καὶ ζῇ.

[3]) Ed. Bekkeri: τοτὲ δὲ ἀποθνήσκει, πάλιν δὲ ἀναβιώσκεται διὰ τήν κτλ.

[4]) Platonis libri editi: Σοφίας τ' αὖ κτλ. R. — Ed. Goettlingii: Σοφίας τε αὖ κτλ. — In seqq. τήν desideratur in edd. Spenc. ante voc. κακοήθειαν.

[5]) Mss. (itemq. edd. Spenc. ad marg.) καταγελάσονται τοῦ μύθου. Libri editi (v. c. edd. Spenc. in textu): καταγελάσονται τὸν μῦθον. R.

βούλημα τοῦ Πλάτωνος, τίνα[1]) τρόπον δεδύνηται τὰ μεγάλα ἑαυτῷ φαινόμενα δόγματα κρύψαι μὲν διὰ τοὺς πολλοὺς ἐν τῷ τοῦ μύθου σχήματι, εἰπεῖν δ' ὡς ἐχρῆν τοῖς εἰδόσιν ἀπὸ μύθων εὑρίσκειν τὸ περὶ ἀληθείας τοῦ ταῦτα συντάξαντος βούλημα. Τοῦτον δὲ τὸν παρὰ Πλάτωνι[2]) μῦθον ἐξεθέμην, διὰ τὸν παρ' αὐτῷ τοῦ Διὸς κῆπον, παραπλήσιόν τι ἔχειν δοκοῦντα τῷ παραδείσῳ τοῦ θεοῦ, καὶ τὴν Πενίαν τῷ ἐκεῖ ὄφει παραβαλλομένην, καὶ τὸν ὑπὸ τῆς Πενίας ἐπιβουλευόμενον Πόρον, τῷ ἀνθρώπῳ ἐπιβουλευομένῳ ὑπὸ τοῦ ὄφεως. Οὐ πάνυ δὲ δῆλον, πότερον κατὰ συντυχίαν ἐπιπέπτωκε τούτοις ὁ Πλάτων· ἢ, (ὡς οἴονταί τινες,) ἐν τῇ εἰς Αἴγυπτον ἀποδημίᾳ συντυχὼν καὶ τοῖς τὰ Ἰουδαίων φιλοσοφοῦσι, καὶ μαθών τινα παρ' αὐτῶν· τὰ μέν τινα τετήρηκε, τὰ δὲ παρεποίησε, φυλαξάμενος προσκόψαι τοῖς Ἕλλησιν ἐκ τοῦ πάντη τὰ τῆς Ἰουδαίων τηρῆσαι σοφίας,[3]) διαβεβλημένων παρὰ τοῖς πολλοῖς, διὰ τὸ ξενίζον τῶν νόμων, καὶ τὴν ἰδιότροπον κατ' αὐτοὺς πολιτείαν. Οὔτε δὲ τὸν Πλάτωνος μῦθον, οὔτε τὰ περὶ τὸν ὄφιν, καὶ τὸν παράδεισον τοῦ θεοῦ, καὶ ὅσα ἐν αὐτῷ ἀναγέγραπται γεγονέναι, νῦν καιρὸς ἦν διηγήσασθαι. Προηγουμένως γὰρ ἐν τοῖς Ἐξηγητικοῖς τῆς Γενέσεως, ὡς οἷόν τ' ἦν, εἰς ταῦτα ἐπραγματευσάμεθα.

40. Ἐπὰν δὲ φάσκῃ, ὡς »ἄρα ἀνοσιώτατα τὸν θεὸν εὐθὺς καὶ[4]) ἀπ' ἀρχῆς ἀσθενοῦντα, καὶ[5]) μηδ'

---

[1]) Boherellus, quem Ruaeus sequitur, in notis: »Ante voces: *τίνα τρόπον*, videtur deesse: *θαυμάσονται*, aut quid simile.«

[2]) Vide Euseb. lib. XII. cap. 11. Praepar. evang. et Plotin. lib. VI. Ennead. III. cap. 6.

[3]) Sic omnes fere Mss. (itemq. edd. Spenc. ad marg.) Libri autem editi (v. c. edd. Spenc.) in textu habent: *φιλοσοφίας*. R.

[4]) Boherell. in notis: »Dele: *καί*.« Nec male ita statuit, modo conferatur lib. huj. num. 36.

[5]) Codd. Regius et Basil. (itemq. Boherell. in notis)

ἕνα ἄνθρωπον, ὃν αὐτὸς ἔπλασε, πεῖσαι δυνάμενον, εἰσήγαγεν ὁ Μωϋσέως λόγος· « καὶ πρὸς τοῦτο φήσομεν, ὅτι ὅμοιόν ἐστι τὸ λεγόμενον, ὡς εἴ τις ἐνεκάλει ἐπὶ τῇ τῆς κακίας συστάσει, ἣν [1]) οὐδὲ ἀπὸ ἑνὸς ἀνθρώπου δεδύνηται κωλύσαι ὁ θεὸς, ὥστε κἂν ἕνα τινὰ ἄνθρωπον εὑρεθῆναι ἀρχῆθεν [2]) ἄγευστον κακίας γεγενημένον. Ὡς γὰρ περὶ τούτου, οἷς μέλει ἀπολογεῖσθαι περὶ προνοίας, ἀπολογοῦνται οὐ δι' ὀλίγων, οὐδὲ δι' εὐκαταφρονήτων· οὕτω δὲ [3]) καὶ περὶ τοῦ Ἀδὰμ, καὶ περὶ τῆς ἁμαρτίας αὐτοῦ φιλοσοφήσουσιν, οἱ ἐγνωκότες, ὅτι καθ' [4]) Ἑβραΐδα φωνὴν (191) ὁ Ἀδὰμ ἄνθρωπός ἐστι· καὶ ἐν τοῖς δοκοῦσι περὶ τοῦ Ἀδὰμ εἶναι, φυσιολογεῖ Μωϋσῆς τὰ περὶ τῆς τοῦ ἀνθρώπου φύσεως. Καὶ γὰρ ἐν τῷ Ἀδὰμ, (ὡς φησιν ὁ λόγος,) [5]) πάντες ἀποθνήσκουσι, καὶ κατεδικάσθησαν ἐν τῷ ὁμοιώματι τῆς παραβάσεως Ἀδάμ· οὐχ [6]) οὕτως περὶ ἑνός τινος, ὡς περὶ ὅλου τοῦ γένους ταῦτα φάσκοντος τοῦ θείου λόγου. Καὶ γὰρ ἐν τῇ τῶν λεγομένων ὡς περὶ ἑνὸς ἀκολουθίᾳ ἡ ἀρὰ [7]) τοῦ Ἀδὰμ, κοινὴ πάντων ἐστί·

---

recte: καὶ μηδ' ἕνα ἄνθρωπον. Libri impressi (v. c. edd. Spenc.) καὶ μηδένα ἄνθρωπον. R. — Cfr. libr. huj. num. 36.

[1]) Sic Mss. (itemq. edd. Spenc. ad marg.) Alias (v. c. in textu edd. Spenc.) ὡς οὐδὲ ἀπὸ ἑνός κτλ. R.

[2]) Mss. (itemq. edd. Spenc. ad marg.) ἀρχῆθεν. Alias (v. c. in textu edd. Spenc.) κἀκεῖθεν. R.

[3]) Boherell. in notis: »Delendum videtur: δέ.«

[4]) Edd. Spenc. et Ruaei in textu: καθ' Ἑλλάδα. Jam Boherell. vero, quem Ruaeus sequitur, in notis: »Legendum: καθ' Ἑβραΐδα.«

[5]) Cfr. I Cor. XV, 22. coll. Rom. V, 14.

[6]) Edd. Spenc., uncis voc. ὡς appositis: οὐχ οὕτως ὡς περί κτλ. — Vide lib. III. num. 61—63., lib. VII. num. 28. 29. et 50. etc. Consule item clarissimum Huetium Origenianorum lib. II. quaest. VII. num. XXIV., ubi investigat Origenis dogma de peccato originali.

[7]) Cfr. Gen. III, 17.

καὶ τὰ κατὰ τῆς γυναικὸς,[1]) οὐκ[2]) ἔστι καθ' ἧς οὐ λέγεται. Καὶ ὁ ἐκβαλλόμενος[3]) δὲ ἐκ τοῦ παραδείσου ἄνθρωπος κατὰ τῆς γυναικὸς, τοὺς δερματίνους[4]) ἠμφιεσμένος χιτῶνας, (οὓς διὰ τὴν παράβασιν τῶν ἀνθρώπων ἐποίησε τοῖς ἁμαρτήσασιν ὁ θεὸς,) ἀπόῤῥητόν τινα καὶ μυστικὸν ἔχει λόγον, ὑπὲρ[5]) τὸν κατὰ Πλάτωνα,[6]) τῆς ψυχῆς πτεροῤῥυούσης,[7]) καὶ δεῦρο φερομένης,[8]) ἕως ἂν στερεοῦ τινος λάβηται.

[1]) Cfr. Gen. III, 16.

[2]) Boherello legendum videtur: *οὐκ ἔστι καθ' ἧς μόνον λέγεται.* Ego vero nihil mutari velim. Nam verba: *οὐκ ἔστι καθ' ἧς οὐ λέγεται*, idem significant, ac si dictum esset: *περὶ πάσης λέγεται.* R.

[3]) Cfr. Gen. III, 23. [4]) Cfr. Gen. III, 21.

[5]) Edd. Spenc. ad marg. *ὑπὲρ τὴν κατά κτλ.*

[6]) Post voc. *Πλάτωνα*, libri editi (v. c. edd. Spenc.) habent: *καθ' ὃν τῆς ψυχῆς κτλ.* Boherell. recte delet verba: *καθ' ὅν*, quae interturbant orationis seriem. R.

[7]) Edd. Spenc. et Ruaei in textu: *πτεροφυούσης.* Sed jam Spenc. in notis: »Lege: *πτεροῤῥυούσης.* Fateor, non semel occurrit apud Platonem: *πτεροφυεῖν*, uti pag. 251. et 255., et *φύουσα τὰ πτερά*, pag. 251. At locus, ad quem Origenes respexit, me sic emendare monuit, pag. 246. *Ἡ ψυχὴ πᾶσα παντὸς ἐπιμελεῖται τοῦ ἀψύχου· πάντα δὲ οὐρανὸν περιπολεῖ, ἄλλοτε ἐν ἄλλοις εἴδεσι γιγνομένη. Τελέα μὲν οὖν οὖσα καὶ ἐπτερωμένη μετεωροπολεῖ τε, καὶ ἅπαντα τὸν κόσμον διοικεῖ· ἡ δὲ πτεροῤῥυήσασα φέρεται, ἕως ἂν στερεοῦ τινος ἀντιλάβηται· οὗ κατοικισθεῖσα, σῶμα γήϊνον λαβοῦσα, αὐτὸ αὑτὸ δοκοῦν κινεῖν διὰ τὴν ἐκείνης δύναμιν, ζῷον τὸ ξύμπαν ἐκλήθη, ψυχὴ καὶ σῶμα παγὲν, ἔνητόν τ' ἔσχεν ἐπωνυμίαν.* Et pag. 248. *Ὅταν δὲ ἀδυνατήσασα ἐπισπέσθαι μὴ ἴδῃ, καί τινι συντυχίᾳ χρησαμένη, λήθης τε καὶ κακίας πλησθεῖσα βαρυνθῇ, βαρυνθεῖσα δὲ πτεροῤῥυούσῃ τε, καὶ ἐπὶ τὴν γῆν πέσῃ.*« — Boherell. in notis: »»Bene Spencer. in annotationibus e Platone legit: *πτεροῤῥυούσης.* Quod confirmare potuit ex ipso Origene, libr. VI. contra Cels. num. 43. et 44.«

[8]) Edd. Spenc. ad marg. *φαινομένης.*

41. Ἐξῆς δὲ τοιαῦτά φησιν· »Εἶτα κατακλυσμόν τινα, καὶ κιβωτὸν ἀλλόκοτον, ἅπαντα ἔνδον ἔχουσαν, καὶ περιστεράν τινα καὶ κορώνην ἀγγέλους, παραχαράττοντες καὶ ῥαδιουργοῦντες τὸν Δευκαλίωνα· οὐ γὰρ, (οἶμαι,) προσεδόκησαν, ὅτι ταῦτ' εἰς φῶς πρόεισιν, ἀλλ' ἀτέχνως παισὶ νηπίοις ἐμυθολόγησαν.« Καὶ ἐν τούτοις δὴ ὅρα τὴν ἀφιλόσοφον ἀπέχθειαν τοῦ ἀνδρὸς πρὸς τὴν ἀρχαιοτάτην Ἰουδαίων γραφήν. Οὐ γὰρ ἔχων τὴν περὶ κατακλυσμοῦ ἱστορίαν κακολογεῖν· οὐδ' ἐπιστήσας οἷς ἐδύνατο λέγειν κατὰ τῆς κιβωτοῦ, καὶ τῶν μέτρων αὐτῆς· καὶ [1]) ὡς οὐχ οἷόν τ' ἦν, κατὰ τὸν τῶν πολλῶν νοῦν, ἐκλαμβάνοντα τὰ περὶ τῶν τριακοσίων τοῦ μήκους [2]) τῆς κιβωτοῦ πηχέων, καὶ πεντήκοντα τοῦ πλάτους, καὶ τριάκοντα τοῦ ὕψους φάσκειν αὐτὴν κεχωρηκέναι τὰ ἐπὶ γῆς ζῶα, καθαρὰ μὲν ἀνὰ τέσσαρα [3]) καὶ δέκα, ἀκάθαρτα δὲ ἀνὰ τέσσαρα· ἁπλῶς εἶπεν »ἀλλόκοτον, πάντ' [4]) ἔχουσαν ἔνδον.« Τί γὰρ τὸ ἀλλόκοτον αὐτῆς· ἑκατὸν ἔτεσιν ἱστορουμένης γεγενῆσθαι, καὶ συναγομένης ἀπὸ τῶν τριακοσίων τοῦ μήκους πηχέων, καὶ τῶν πεντήκοντα τοῦ πλάτους, ἕως οἱ τοῦ ὕψους πήχεις τριάκοντα καταλήξουσιν εἰς ἕνα πῆχυν μήκους καὶ πλάτους; Πῶς δ' οὐχὶ μᾶλλον θαυμαστὸν ἦν τὸ κατασκεύασμα καὶ μεγίστῃ πόλει ἐοικός· τῷ δυνάμει λέγεσθαι τὰ μέτρα· ὡς ἐννέα μὲν εἶναι μυριάδων τὸ μῆκος κατὰ τὴν βάσιν, κατὰ δὲ τὸ πλάτος δισχιλίων πεντακοσίων; Πῶς δ' οὐκ ἦν θαυμάσαι τὴν ἐπίνοιαν τοῦ ἐρηρεισμένην γενέσθαι, καὶ δυναμένην ὑπομεῖναι χειμῶνα κατακλυσμοῦ ποιητικόν; Καὶ γὰρ

---

[1]) Edd. Spenc. et Ruaei in textu: καὶ οὐχ ὡς οἷόν τ' ἦν. Jam Boherellus vero, quem Ruaeus sequitur, in notis: »Lege: καὶ ὡς οὐχ οἷόν τ' ἦν.«

[2]) Cfr. Gen. VI, 15.

[3]) Libri editi (v. c. edd. Spenc.) in margine: τεσσαρεσκαίδεκα. R.

[4]) Vide Origenem Homil. II. in Genesin.

οὐ πίσσῃ τινὶ, οὐδ' ἄλλῃ τινὶ [1]) τοιαύτῃ ὕλῃ, ἀσφάλτῳ [2]) δὲ στερρῶς ἐκέχριστο. Πῶς δ' οὐ θαυμαστὸν, τὸ ζώπυρα παντὸς γένους εἰσάγεσθαι ἔνδον προνοίᾳ θεοῦ· ἵν' ἔχῃ πάντων σπέρματα ζώων πάλιν ἡ γῆ, τοῦ θεοῦ δικαιοτάτῳ ἀνδρὶ χρησαμένου, πατρὶ ἐσομένῳ τῶν μετὰ τὸν κατακλυσμόν;

42. Ἔρριψε δ' ὁ Κέλσος τὰ περὶ τῆς περιστερᾶς, [3]) ἵνα δόξῃ ἀνεγνωκέναι τὸ βιβλίον τὴν (192) Γένεσιν, οὐδὲν δυκηθεὶς εἰπεῖν πρὸς τὸ ἐλέγξαι πλασματῶδες τὸ κατὰ τὴν περιστεράν. Εἶδ', ὡς ἔθος αὐτῷ ἐστιν, ἐπὶ τὸ γελοιότερον μεταφράζειν τὰ γεγραμμένα, τὸν κόρακα εἰς κορώνην μετείληφε· καὶ οἴεται ταῦτα Μωϋσέα ἀναγεγραφέναι, ῥαδιουργοῦντα τὰ κατὰ τὸν παρ' Ἕλλησι Δευκαλίωνα· εἰ μὴ ἄρα οὐδὲ Μωϋσέως οἴεται εἶναι τὴν γραφὴν, ἀλλά τινων πλειόνων· τοιοῦτον γὰρ δηλοῖ τό· »παραχαράττοντες καὶ ῥαδιουργοῦντες τὸν Δευκαλίωνα.« Καὶ τοῦτο· »οὐ γὰρ, οἶμαι, προσεδόκησαν, ὅτι ταῦτ' εἰς φῶς πρόεισι.« Πῶς δ' οἱ ὅλῳ ἔθνει διδόντες τὰ γράμματα, οὐ προσεδόκησαν αὐτὰ εἰς φῶς προελθεῖν; οἳ καὶ προεφήτευσαν πᾶσι τοῖς ἔθνεσι τὴν θεοσέβειαν ταύτην κηρυχθήσεσθαι. Ὁ δὲ Ἰησοῦς τό· »ἀρθήσεται [4]) ἀφ' ὑμῶν ἡ βασιλεία τοῦ θεοῦ, καὶ δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς·« Ἰου-

[1]) In edd. Spenc. uncis inclusum legitur: *τινί*.

[2]) Ita recte omnino Cod. Basileensis. Respicit Origenes locum Geneseos cap. XVI. vers. 14. *Καὶ ἀσφαλτώσεις αὐτὴν ἔσωθεν καὶ ἔξωθεν τῇ ἀσφάλτῳ.* In antea editis libris (v. c. edd. Spenc.) legitur: *ἀσφαλτωδεστέρως ἐκέχριστο.* R. — Boherell. in notis: »Lectio: *ἀσφαλτωδεστέρως*, videtur esse contra Genes. VI, 14. et 22. Legendum forte: *ἀσφαλεστέρως*, vel: *ἀσφαλέστερον*. Sed nihil affirmo.«

[3]) Cfr. Gen. VIII, 8.

[4]) Cfr. Matth. XXI, 43.

δαίοις λέγων, τί ἄλλο ᾠκονόμει, ἢ εἰς φῶς αὐτὸν [1]) θείᾳ δυνάμει προαγαγεῖν [2]) πᾶσαν τὴν Ἰουδαϊκὴν γραφὴν περιέχουσαν μυστήρια τῆς τοῦ θεοῦ βασιλείας; Εἶτα ἐὰν μὲν τὰς Ἑλλήνων θεογονίας, καὶ τὰς περὶ θεῶν δώδεκα ἱστορίας ἀναγιγνώσκωσι, σεμνοποιοῦσιν αὐτὰς ταῖς ἀλληγορίαις· ἐὰν δὲ τὰ ἡμέτερα διασύρειν βούλωνται, ἀτέχνως φασὶ παισὶ νηπίοις αὐτὰ μεμυθολογῆσθαι.

43. Ἀποπωτάτην δὲ λέγει καὶ ἔξωρον παιδοποιΐαν· « εἰ καὶ μὴ ὠνόμασε, δῆλον, ὅτι λέγων τὴν τοῦ Ἀβραὰμ [3]) καὶ τῆς Σάρρας. Ῥίπτων δὲ καὶ τὰς τῶν ἀδελφῶν ἐπιβουλὰς, ἤτοι τὸν Κάϊν [4]) ἐπιβουλεύσαντα τῷ Ἄβελ λέγει, ἢ πρὸς τοῦτῳ καὶ τὸν Ἡσαῦ τῷ Ἰακώβ· πατρὸς δὲ λύπην· [5]) τάχα μὲν καὶ τὴν Ἰσαὰκ, ἐπὶ τῇ τοῦ Ἰακὼβ [6]) ἀποδημίᾳ· τάχα δὲ καὶ τὴν τοῦ Ἰακὼβ, διὰ τὸν Ἰωσὴφ [7]) πραθέντα εἰς Αἴγυπτον. Μητέρων δ' οἶμαι ἐνέδρας ἀναγράφοντα αὐτὸν, δηλοῦν τὴν Ῥεβέκκαν, [8]) οἰκονομήσασαν τὰς τοῦ Ἰσαὰκ εὐχὰς μὴ ἐπὶ τὸν Ἡσαῦ, ἀλλ' ἐπὶ τὸν Ἰακὼβ φθάσαι. Ἄγχιστα δὲ τούτοις πᾶσι συμπολιτευόμενον εἴ φαμεν τὸν θεὸν, τί ἄτοπον πράσσομεν, πειθόμενοι μηδέ ποτε ἀφιστάνειν τὴν ἑαυτοῦ θειότητα τῶν μετὰ τοῦ καλῶς

---

[1]) Edd. Spenc. et Ruaei in textu: αὐτός. Boherell. vero in Corrigendis: αὐτόν.

[2]) Libri editi (v. c. edd. Spenc.) προσαγαγεῖν, sed Cod. Basil. rectius: προαγαγεῖν. R.

[3]) Cfr. Genes. XXI, 2.

[4]) Cfr. Gen. IV, 8. [5]) Cfr. Gen. XXVII, 41.

[6]) Hoeschel. in textu (edd. Spenc. ad marg.) τοῦ Ἰακὼβ μᾶλλον ἐπιδημίᾳ. At Codd. Reg. et Basil. rectius: τοῦ Ἰακὼβ ἀποδημίᾳ. Neque enim video, quo pacto hic τό· μᾶλλον, locum habere possit. R. — Edd. Spenc. in textu: τοῦ Ἰακὼβ μᾶλλον ἀποδημίᾳ. — Cfr. Gen. XXVIII, 2. seqq.

[7]) Cfr. Gen. XXXVII, 33. seqq.

[8]) Cfr. Gen. XXVII, 5. seqq.

καὶ ἐῤῥωμένως βιοῦν αὐτῷ ἀνακειμένων; Ἐχλεύασε »δὲ τὴν παρὰ τῷ Λάβαν κτῆσιν[1]) τοῦ Ἰακὼβ,« (μὴ νοήσας ἐπὶ τί ἀναφέρεται τό· »καὶ[2]) ἦν τὰ ἄσημα τοῦ Λάβαν, τὰ δὲ ἐπίσημα τοῦ Ἰακώβ·)« καί φησι »τὸν θεὸν τοῖς υἱοῖς ὀνάρια καὶ πρόβατα καὶ καμήλους[3]) δεδωρῆσθαι·« καὶ οὐχ ἑώρα, ὅτι »πάντα[4]) ταῦτα τυπικῶς συνέβαινεν ἐκείνοις, ἐγράφη δὲ δι' ἡμᾶς, εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντησε·« παρ' οἷς τὰ ποικίλα ἤθη ἐπίσημα γινόμενα, τῷ λόγῳ τοῦ θεοῦ πολιτεύεται, δοθέντα κτῆσις τῷ τροπικῶς καλουμένῳ[5]) Ἰακώβ. Ἀπὸ γὰρ τῶν ἐθνῶν οἱ εἰς αὐτὸν πιστεύοντες ἐδηλοῦντο διὰ τῶν ἀναγεγραμμένων περὶ Λάβαν καὶ Ἰακώβ.

44. Πόῤῥω δὲ τυγχάνων τοῦ βουλήματος τῶν γεγραμμένων φησὶ »τὸν θεὸν καὶ φρέατα (193) τοῖς δικαίοις δεδωκέναι.« Οὐ γὰρ ἐτήρησεν, ὅτι οἱ δίκαιοι λάκκους μὲν οὐ κατασκευάζουσι, φρέατα[6]) δὲ ὀρύσσουσι, τὴν[7]) ἐνυπάρχουσαν γῆν καὶ ἀρχὴν τῶν ποτίμων ἀγαθῶν ἐξευρεῖν ζητοῦντες, ἅτε καὶ τροπικὴν λαμβάνοντες ἐντολήν, τὴν φάσκουσαν· »πῖνε[8]) ὕδατα ἀπὸ σῶν ἀγγείων, καὶ ἀπὸ σῶν φρεάτων πηγῆς. Μὴ ὑπερεκχείσθω σοι ὕδατα ἔξω τῆς σῆς πηγῆς, εἰς δὲ σὰς πλατείας διαπορευέσθω τὰ σὰ ὕδατα. Ἔστω σοι μόνῳ ὑπάρχοντα, καὶ μηδεὶς ἀλλότριος μετασχέτω σοι.« Πολλαχοῦ δὲ ἱστορίαις γενομέναις[9]) συγχρησάμενος ὁ λό-

---

[1]) Cfr. Gen. XXX, 43. [2]) Cfr. Gen. XXX, 42.
[3]) Edd. Spenc. *καμήλας*.
[4]) Cfr. I Cor. X, 11.
[5]) Edd. Spenc. perperam: *καλουμένου*.
[6]) Cfr. Genes. XXVI, 15.
[7]) Boherell. in notis: »Lego: *τὴν ἐνυπάρχουσαν πηγὴν καὶ ἀρχὴν τῶν ποτίμων ὑδάτων*« κτλ.
[8]) Cfr. Prov. V, 15—17.
[9]) Libri editi (v. c. edd. Spenc.) in marg. male: *γενόμενος*. R.

γος ἀνέγραψεν αὐτὰς εἰς παράστασιν μειζόνων καὶ ἐν[1]) ὑπονοίᾳ δηλουμένων· ὁποῖά ἐστι καὶ τὰ περὶ τὰ φρέατα, καὶ τὰ περὶ τοὺς γάμους, καὶ τὰς διαφόρους μίξεις τῶν δικαίων· περὶ ὧν εὐκαιρότερον ἐν τοῖς εἰς αὐτὰ ἐκεῖνα ἐξηγητικοῖς τις σαφηνίζειν πειράσεται. Ὅτι δὲ καὶ φρέατα ἐν γῇ Φιλιστιαίων κατεσκεύασται ὑπὸ τῶν δικαίων, ὡς ἐν τῇ Γενέσει[2]) ἀναγέγραπται, δῆλον ἐκ τῶν δεικνυμένων ἐν τῇ Ἀσκάλωνι θαυμαστῶν φρεάτων, καὶ ἱστορίας ἀξίων, διὰ τὸ ξένον καὶ παρηλλαγμένον τῆς κατασκευῆς ὡς πρὸς τὰ λοιπὰ φρέατα. Νύμφας τε καὶ θεραπαινίδας ἀνάγεσθαι ἐπὶ τροπολογίαν, οὐχ ἡμεῖς διδάσκομεν, ἀλλ' ἄνωθεν ἀπὸ σοφῶν παρειλήφαμεν· ὧν εἴς τις ἔφασκε, διεγείρων τὸν ἀκροατὴν ἐπὶ τροπολογίας· »λέγετέ[3]) μοι οἱ τὸν νόμον ἀναγινώσκοντες, τὸν νόμον οὐκ ἀκούετε; Γέγραπται γὰρ, ὅτι ὁ Ἀβραὰμ δύο υἱοὺς ἔσχεν· ἕνα ἐκ τῆς παιδίσκης, καὶ ἕνα ἐκ τῆς ἐλευθέρας. Ἀλλ' ὁ μὲν ἐκ τῆς παιδίσκης, κατὰ σάρκα γεγέννηται· ὁ δὲ ἐκ[4]) τῆς ἐλευθέρας, διὰ τῆς ἐπαγγελίας. Ἅτινά ἐστιν ἀλληγορούμενα. Αὗται γάρ εἰσιν αἱ[5]) δύο διαθῆκαι· μία μὲν ἀπὸ ὄρους Σινᾶ, εἰς δουλείαν γεννῶσα, ἥτις ἐστὶν Ἄγαρ.« Καὶ μετ' ὀλίγα· »ἡ[6]) δὲ ἄνω, φησὶν, Ἱερουσαλὴμ, ἐλευθέρα ἐστὶν, ἥτις ἐστὶ μήτηρ ἡμῶν.« Ὁ δὲ βουλόμενος λαβεῖν[7]) τὴν πρὸς Γαλάτας ἐπιστολὴν, εὕσεται τίνα τρό-

---

[1]) Cfr. libr. huj. num. 38.

[2]) Cfr. Gen. XXVI, 15.

[3]) Cfr. Galat. IV, 21—24. — Edd. Spenc. in marg. receptam exhibent lectionem: *λέγετέ μοι, οἱ ὑπὸ νόμον θέλοντες εἶναι, τὸν νόμον κτλ.*

[4]) In edd. Spenc. uncis inclusa leguntur verba: *ἐκ τῆς.*

[5]) In edd. Spenc. uncis inclusus legitur articulus *αἱ.*

[6]) Cfr. Galat. IV, 26.

[7]) Codd. Reg. et Basileensis: *λαβών.* R.

πον ἠλληγόρηται[1]) τὰ κατὰ τοὺς γάμους καὶ τὰς μίξεις τῶν θεραπαινίδων· βουλομένου τοῦ λόγου καὶ ἡμᾶς οὐ τὰς σωματικὰς νομιζομένας πράξεις ζηλοῦν τῶν ταῦτα πεποιηκότων, ἀλλ', (ὡς καλεῖν εἰώθασιν οἱ τοῦ Ἰησοῦ ἀπόστολοι,) τὰς πνευματικάς.

45. Λέον δ' αὐτὸν τὸ φιλάληθες τῶν ἀναγραψάντων τὰς θείας γραφὰς ἀποδεξάμενον, μὴ κρυψάντων καὶ τὰ ἀπεμφαίνοντα, προσαχθῆναι καὶ περὶ τῶν λοιπῶν καὶ παραδοξοτέρων ὡς οὐ πεπλασμένων· ὁ δὲ τοὐναντίον πεποίηκε, καὶ τὰ περὶ τὸν Λὼτ,[2]) καὶ τὰς θυγατέρας, οὔτε κατὰ τὸ ῥητὸν ἐξετάσας, οὔτε κατὰ τὴν ἀναγωγὴν ἐρευνήσας, τῶν »Θυεστείων εἶπε κακῶν ἀνομώτερα.« Τὰ μὲν οὖν τῆς κατὰ τὸν τόπον τροπολογίας οὐκ ἀναγκαῖον νῦν λέγειν· τίνα τε τὰ Σόδομα· καὶ τίς ὁ πρὸς τὸν ἐκεῖθεν διασωζόμενον τῶν ἀγγέλων λόγος, φασκόντων· »μὴ[3]) περιβλέψῃ εἰς τὰ ὀπίσω, μηδὲ στῇς ἐν πάσῃ τῇ περιχώρῳ· (194) εἰς τὸ ὄρος σώζου, μήποτε συμπαραληφθῇς·« καὶ τίς ὁ Λώτ· τίς τε ἡ γυνὴ αὐτοῦ, γενομένη στήλη[4]) ἁλὸς, διὰ τὸ ἐστράφθαι εἰς τοὐπίσω· καὶ τίνες αἱ θυγατέρες αὐτοῦ, καταμεθύσκουσαι τὸν πατέρα, ἵνα γένωνται ἐξ αὐτοῦ μητέρες. Φέρε δὲ τὰ τῆς κατὰ τὴν ἱστορίαν ἀπεμφάσεως δι' ὀλίγων παραμυθησόμεθα. Τὴν τῶν ἀγαθῶν καὶ κακῶν καὶ ἀδιαφόρων ζήτησαν καὶ Ἕλληνες φύσιν· καὶ οἱ ἐπιτυγχάνοντές γε αὐτῶν, τὰ μὲν ἀγαθὰ καὶ κακὰ κατατίθενται ἐν προαιρέσει μόνῃ, πάντα δὲ ἀδιάφορα τῷ ἰδίῳ λόγῳ φασὶν εἶναι τὰ χωρὶς προαιρέσεως ἐξεταζόμενα· τὴν δὲ προαίρεσιν τούτοις χρωμένην δεόντως μὲν, ἐπαινετὴν εἶναι· οὐ δεόντως δὲ ψεκτήν. Εἶπον οὖν ἐν τῷ περὶ ἀδιαφόρων τόπῳ, ὅτι τῷ ἰδίῳ

---

[1]) Sic Cod. Basileensis. Libri editi (v. c. edd. Spenc.) ἀλληγορεῖται. R.

[2]) Cfr. Gen. XIX, 33.

[3]) Cfr. Genes. XIX, 17. [4]) Cfr. Gen. XIX, 26.

λόγῳ θυγατρώσι μίγνυσθαι ἀδιάφορόν ἐστιν, εἰ καὶ μὴ χρὴ ἐν ταῖς καθεστώσαις πολιτείαις τὸ τοιοῦτον ποιεῖν. Καὶ ὑποθέσεως χάριν, πρὸς παράστασιν τοῦ ἀδιάφορον εἶναι τὸ τοιοῦτον, παρειλήφασι τὸν σοφὸν μετὰ τῆς θυγατρὸς μόνης καταλελειμμένον, παντὸς τοῦ τῶν ἀνθρώπων γένους διεφθαρμένου· καὶ ζητοῦσιν, εἰ καθηκόντως ὁ πατὴρ συνελεύσεται τῇ θυγατρί· ὑπὲρ τοῦ μὴ ἀπολέσθαι, κατ' αὐτὴν τὴν ὑπόθεσιν, τὸ πᾶν τῶν ἀνθρώπων γένος. Ἆρ' οὖν παρὰ μὲν Ἕλλησιν ὑγιῶς ταῦτα λέγεται, καὶ οὐκ εὐκαταφρόνητος αὐτοῖς αἵρεσις ἡ τῶν Στωϊκῶν [1]) συναγορεύει· ἐπὰν δὲ κόρια περὶ ἐκπυρώσεως τοῦ κόσμου μεμαθηκότα, οὐ τετρανωκότα δὲ, ἰδόντα πῦρ διειληφὸς τὴν πόλιν αὐτῶν καὶ τὴν χώραν, ὑπολαμβάνοντα ζώπυρον τοῦ γένους τῶν ἀνθρώπων καταλελεῖφθαι ἐν τῷ πατρὶ καὶ αὐταῖς, βουληθῇ διὰ τὴν τοιανδὶ ὑπόληψιν συστήσασθαι τὸν κόσμον, ἐλάττονα ἔσται [2]) τοῦ κατὰ τὴν τῶν Στωϊκῶν ὑπόθεσιν σοφοῦ καθηκόντως ἐν τῇ φθορᾷ τῶν πάντων ἀνθρώπων μιγνυμένου ταῖς θυγατράσιν; Οὐκ ἀγνοῶ δ' ὅτι προσκόψαντές τινες τῷ βουλήματι τῶν τοῦ Λὼτ θυγατέρων, καὶ ἀνόσιον τὸ ἔργον εἶναι ὑπειλήφασι· καὶ ὡς ἐξ ἀνοσίων μίξεων εἰρήκασι γεγονέναι ἔθνη ἐπάρατα, τὸ Μωαβιτῶν καὶ τὸ Ἀμμανιτῶν. Καὶ ἀληθῶς γε οὐχ εὑρίσκεται ἡ θεία γραφὴ σαφῶς παραδεξαμένη ὡς καλῶς γεγενημένον τὸ τοιοῦτον, ἢ αἰτιασαμένη καὶ μεμψαμένη. Πλὴν, ὅπως ποτὲ ἔχει τὸ γενόμενον, ἀνάγεται

---

[1]) Spencer. in notis: »Clem. Alex. Strom. II. Ἔτι κατὰ μὲν τοὺς ἀπὸ τῆς Στοᾶς ἀδιάφορον ὅ τε γάμος, ἥ τε παιδοτροφία. Theodoret. Serm. XII. de virtute activa: Οἱ δὲ τῆς ποικίλης, μέσην τινὰ ὁδὸν ὥδευσαν· τοῖς γὰρ ἀδιαφόροις τὸν γάμον καὶ τὴν παιδογονίαν ξυνέζευξαν.«

[2]) Edd. Spenc., uncis voc. τὰ appositis: ἔσται τὰ τοῦ κατὰ τὴν τῶν κτλ.

μὲν ἐπὶ τροπολογίαν, ἔχει δέ τινα καὶ καθ' αὐτὸ ἀπολογίαν.

46. Παραῤῥίπτει δ' ὁ Κέλσος »τὴν ἀπέχθειαν, οἶμαι τοῦ Ἡσαῦ [1]) πρὸς τὸν Ἰακὼβ,« ἀνδρὸς κατὰ τὴν γραφὴν ὁμολογουμένου φαύλου· καὶ μὴ σαφῶς ἐκτιθέμενος »τὰ περὶ τὸν Συμεὼν καὶ τὸν Λευΐ, ἐπεξελθόντας [2]) τῇ ὕβρει τῆς ἀδελφῆς, βιασθείσης ὑπὸ τοῦ υἱοῦ τοῦ βασιλέως Σικίμων,« σφᾶς αἰτιᾶται· »ἀδελφοὺς [3]) δὲ πωλοῦντας, τοὺς υἱοὺς λέγει τοῦ Ἰακώβ· καὶ ἀδελφὸν πιπρασκόμενον, τὸν Ἰωσήφ· καὶ πατέρα ἐξαπατώμενον, [4]) τὸν Ἰακὼβ, ἐπεὶ μηδὲν (195) ὑπονοήσας περὶ τῶν υἱῶν ἐπιδεικνύντων τὸν ποικίλον χιτῶνα τοῦ Ἰωσήφ, ἀλλὰ πιστεύσας αὐτοῖς, ἐπένθει ὡς ἀπωλολότα τὸν Ἰωσὴφ, ἐν Αἰγύπτῳ δουλεύοντα.« Ὅρα δὲ, τίνα τρόπον ἀπεχθῶς καὶ οὐ φιλαλήθως συνήγαγε τὰ ἀπὸ τῆς ἱστορίας ὁ Κέλσος· ὥστε ὅπου μὲν ἐδόκει αὐτῷ κατηγορίαν περιέχειν ἡ ἱστορία, ἐκτίθεται αὐτήν· ὅπου δὲ σωφροσύνης ἀξιολόγου ἐπίδειξις γεγένηται, τοῦ Ἰωσὴφ [5]) οὐκ ἐνδόντος πρὸς τὸν ἔρωτα τῆς νομιζομένης δεσποίνης, πὴ μὲν παρακαλούσης, πὴ δ' ἀπειλούσης· οὐδ' ὑπεμνήσθη τῆς ἱστορίας. Πολλῷ γὰρ κρείττονα τῶν [6]) κατὰ τὸν Βελλεροφόντην ἱστορουμένων ἔδωμεν ἂν τὸν Ἰωσὴφ, ἑλόμενον κατακλεισθῆναι ἐν φυλακῇ, ἤπερ ἀπολέσθαι τὸ [7]) σῶφρον. Δυνάμενος οὖν ἀπολογήσασθαι καὶ δικαιολογήσασθαι πρὸς τὴν κατηγορήσα-

---

[1]) Cfr. Gen. XXVII, 41.

[2]) Cfr. Gen. XXXIV, 25.

[3]) Cfr. Gen. XXXVII, 28.

[4]) Cfr. Gen. XXXVII, 31—35.

[5]) Cfr. Gen. XXXIX, 8. seqq.

[6]) Vide Homeri Iliad. lib. VI. vers. 160. seqq. et Juvenal. Satyr. X.

[7]) Edd. Spenc. et Ruaei in textu quidem: τὸν σώφρονα, ed. vero Ruaei in notis: »Legendum videtur: νοῦν σώφρονα, vel: τὸ σῶφρον.«

σαν, μεγαλοψύχως ἀπεσιώπησε, τῷ θεῷ ἐπιτρέψας τὰ καθ' ἑαυτόν.

47. Μετὰ ταῦτα ὁ Κέλσος ὁσίας ἕνεκεν, μετὰ πάσης ἀσαφείας, ὑπομιμνήσκεται »τῶν ὀνειράτων[1]) τοῦ ἀρχιοινοχόου καὶ τοῦ ἀρχισιτοποιοῦ,[2]) καὶ τοῦ Φαραὼ,[3]) καὶ τῆς λύσεως αὐτῶν· ἐξ[4]) ἧς προήχθη ἀπὸ τῆς φυλακῆς ἐπὶ[5]) τὸ ἐμπιστευθῆναι ὑπὸ τοῦ Φαραὼ τὸν δεύτερον καθ' Αἰγυπτίων θρόνον ὁ Ἰωσήφ.« Τί οὖν ἄτοπον εἶχεν ὁ λόγος τῆς ἱστορίας καὶ καθ' ἑαυτὸν, ὅτι αὐτὰ ἔθηκεν ἐν μέρει κατηγορίας, ὁ ἀληθῆ λόγον ἐπιγράψας τὸν οὐ δόγματα ἐκτιθέμενον, ἀλλὰ Χριστιανῶν καὶ Ἰουδαίων κατηγορήσαντα; Καὶ »τοῖς πωλήσασί[6]) γε ἀδελφοῖς λιμώττουσι, καὶ σταλεῖσι καὶ ἐμπορίαν μετὰ τῶν ὄνων, φησὶ χαριζόμενον τὸν πραθέντα πεποιηκέναι,« ἃ οὐδὲ παρέστησεν ὁ Κέλσος. Καὶ τὸν ἀναγνωρισμὸν[7]) δὲ τίθησιν· οὐκ οἶδα τί βουλόμενος, καὶ τί ἐμφαίνων ἄτοπον ἐκ τοῦ ἀναγνωρισμοῦ· οὐδὲ γὰρ, ὡς ἔστιν εἰπεῖν, καὶ αὐτῷ τῷ Μώμῳ[8]) δυνατὸν ἦν τούτων εὐλόγως κατηγορεῖν, καὶ χωρὶς τῆς τροπολογίας ἐχόντων πολὺ τὸ ἀγωγόν. Τίθησι[9]) δὲ καὶ »τὸν εἰς δοῦλον πραθέντα Ἰωσὴφ ἐλευθερούμενον, καὶ μετὰ πομπῆς ἐπανιόντα πρὸς τὸν τοῦ πατρὸς τά-

---

[1]) Cfr. Gen. XL, 5—15.

[2]) Cfr. Gen. XL, 16—19.

[3]) Cfr. Gen. XLI, 1—36.

[4]) Sic recte Mss. (itemq. Boherell. in notis.) Hoeschel. vero et Spencerus: ἐξῆς προήχθη κτλ. R.

[5]) Sic recte Mss. (itemq. edd. Spenc. ad marg.) Hoeschel. vero et Spencer. (in textu): ὑπὲρ τοῦ ἐμπιστευθῆναι. R. — Cfr. Gen. XLI, 39. seqq.

[6]) Cfr. Gen. XLII, 1. seqq.

[7]) Cfr. Gen. XLV, 1. seqq.

[8]) Libri editi (v. c. edd. Spenc.) in margine male: κόσμῳ. R.

[9]) Cfr. Gen. LV, 6. seqq.

φον·« καὶ νομίζει κατηγορίαν περιέχειν τὸν λόγον, εἰπὼν τό· »ὑφ' οὗ, (δῆλον δ' ὅτι τοῦ Ἰωσὴφ,) τὸ λαμπρὸν καὶ θεσπέσιον Ἰουδαίων γένος, ἐπὶ πλῆθος ἐν Αἰγύπτῳ σπαρὲν, ἔξω που παροικεῖν, καὶ ποιμαίνειν ἐν τοῖς ἀτίμοις ἐκελεύσθη.« [1]) Καὶ προσέθηκεν ἀπὸ τῆς μισητικῆς ἑαυτοῦ προαιρέσεως τὸ »ἐν ἀτίμοις αὐτοὺς κεκελεῦσθαι ποιμαίνειν·« οὐ παραστήσας, πῶς Γεσὲμ [2]) ὁ Αἰγυπτίων νομὸς [3]) ἄτιμός ἐστι. Τὴν δ' ἀπ' Αἰγύπτου ἔξοδον τοῦ λαοῦ φυγὴν ὠνόμασεν· οὐδὲ τὴν ἀρχὴν ὑπομνησθεὶς τῶν ἐν τῇ Ἐξόδῳ [4]) γεγραμμένων περὶ τῆς ἐξόδου τῶν Ἑβραίων ἐκ γῆς Αἰγύπτου. Ἐξεθέμεθα δὲ καὶ ταῦτα, παραδεικνύντες ὅτι καὶ τὰ μηδὲ κατὰ τὸ ῥητὸν τοῦ κατηγορεῖσθαι φανέντα ἄξια ἔθηκεν ἐν μοίρᾳ κατηγορίας καὶ φλυαρίας ὁ Κέλσος, μὴ παραστήσας (196) λόγῳ ὃ οἴεται μοχθηρὸν τῆς γραφῆς ἡμῶν.

48. Εἶτα, ὡς εἰς τὸ μισεῖν μόνον καὶ ἀπεχθάνεσθαι τῷ κατ' Ἰουδαίους καὶ Χριστιανοὺς λόγῳ ἑαυτὸν ἐπιδεδωκὼς, φησὶν, ὅτι »καὶ Ἰουδαίων καὶ Χριστιανῶν οἱ ἐπιεικέστεροι ταῦτ' ἀλληγοροῦσι.« Λέγει [5]) δὲ »αἰσχυνομένους ἐπὶ τούτοις, καταφεύγειν [6]) ἐπὶ τὴν ἀλληγορίαν.« Εἶπε δ' ἄν τις πρὸς αὐτὸν, ὅτι εἴπερ ἀσχύνης ἄξια τὰ κατὰ τὴν πρώτην ἐκδοχὴν χρὴ λέγειν μύ-

---

[1]) Libri editi (v. c. edd. Spenc.) κελευσθέν, sed Codd. Reg. et Basileensis rectius: ἐκελεύσθη. R.

[2]) Cfr. Gen. XLVII, 6.

[3]) Libri editi (v. c. edd. Spenc.) male pro: νομός, habent: νόμος. Iidem post: νομός, recte videntur omittere: ἡ βοσκὴ καὶ ὁ τόπος, quae tamen in Cod. Basil. reperiuntur. R.

[4]) Cfr. Exod. III, 18.

[5]) Libri editi (v. c. edd. Spenc.) Λέγοι κτλ., sed Mss. ut in nostro textu. R.

[6]) Libri editi (v. c. edd. Spenc.) in textu: φεύγειν, sed Mss. (itemq. edd. Spenc. ad marg.) ut in nostro textu R.

θων καὶ ἀναπλασμάτων, εἴτε δι' [1]) ὑπονοίας γεγραμμένων, εἴτε ἄλλως ὁπωσοῦν· ἐπὶ τίνων τοῦτο, ἢ ἐπὶ τῶν Ἑλληνικῶν χρὴ λέγειν ἱστοριῶν; Ἐν αἷς υἱοὶ θεοὶ πατέρας [2]) θεοὺς ἐκτέμνουσι, καὶ πατέρες θεοὶ υἱοὺς θεοὺς καταπίνουσι· καὶ θεὰ μήτηρ ἀντιδίδωσιν υἱοῦ, τῷ πατρὶ ἀνδρῶν τε θεῶν τε, λίθον· [3]) καὶ πατὴρ θυγατρὶ μίγνυται· καὶ γυνὴ καταδεῖ τὸν ἄνδρα, συνεργοὺς εἰς τοὺς δεσμοὺς παραλαμβάνουσα τὸν ἀδελφὸν τοῦ καταδουμένου, καὶ τὴν θυγατέρα αὐτοῦ. Καὶ τί με δεῖ καταλέγειν τὰς περὶ θεῶν ἀτόπους Ἑλλήνων ἱστορίας, αἰσχύνης αὐτόθεν ἀξίας, καὶ ἀλληγορουμένας; ὅπου [4]) γε ὁ Σολεὺς Χρύσιππος, ὁ τὴν Στοὰν τῶν φιλοσόφων πολλοῖς συγγράμμασι συνετοῖς [5]) κεκοσμηκέναι νομιζόμενος, παρερμηνεύει [6]) γραφὴν τὴν ἐν Σάμῳ, ἐν [7]) ᾗ ἀῤῥητοποιοῦσα ἡ Ἥρα τὸν Δία ἐγέγραπτο. Λέγει γὰρ ἐν τοῖς ἑαυτοῦ συγγράμμασιν ὁ σεμνὸς φιλόσοφος, ὅτι τοὺς σπερματικοὺς λόγους τοῦ θεοῦ ἡ ὕλη παραδεξαμένη ἔχει ἐν ἑαυτῇ εἰς κατακόσμησιν τῶν ὅλων. Ὕλη γὰρ ἡ ἐν τῇ κατὰ τὴν Σάμον γραφῇ, ἡ Ἥρα, καὶ

---

[1]) Cfr. libri hujus num. 38.

[2]) Libri editi (v. c. edd. Spenc.) male: *πατέρας υἱοὺς ἐκτέμνουσι.* R. — Jam Boherell. in notis: »Lege: *πατέρας θεοὺς ἐκτέμνουσι.*«

[3]) Spencer. in notis: Apollodorus lib. I. de origine deorum: *Ῥέα δὲ, λίθον σπαργανώσασα, δέδωκε Κρόνῳ καταπιεῖν, ὡς τὸν γεγενημένον παῖδα.*

[4]) Edd. Spenc. in textu: *ὅπου γε Σολεύς κτλ.*, ad marginem: *ὅπου τε ὁ Σολεύς.*

[5]) Libri editi (v. c. edd. Spenc.) in textu: *νοητοῖς*, sed Mss. (itemque edd. Spenc. ad marginem): *συνετοῖς.* R.

[6]) Cfr. Theophil. Antioch. lib. III. ad Autolyc. pag. 118. coll. Laert. in Chrysippo.

[7]) Sic Mss. (itemq. edd. Spenc. ad marg.) Libri editi (v. c. edd. Spenc.) in textu: *ἐν οἷς ἀῤῥητοποιοῦσα.* R.

ὁ θεὸς ὁ Ζεύς. Καὶ διὰ ταῦτα δὴ ἡμεῖς, καὶ διὰ τοὺς τοιούτους μύθους καὶ ἄλλους μυρίους, οὐδὲ μέχρις ὀνόματος θέλομεν Δία καλεῖν τὸν ἐπὶ πᾶσι θεὸν, οὐδ' Ἀπόλλωνα τὸν ἥλιον, οὐδ' Ἄρτεμιν τὴν σελήνην. Ἀλλὰ καθαρὰν εὐσέβειαν εἰς τὸν δημιουργὸν ἀσκοῦντες, καὶ τὰ καλὰ αὐτοῦ δημιουργήματα εὐφημοῦντες, οὐδὲ μέχρι ὀνόματος χραίνομεν τὰ θεῖα· ἀποδεχόμενοι τοῦ Πλάτωνος τὸν ἐν Φιλήβῳ λόγον, μὴ βουληθέντος τὴν ἡδονὴν παραδέξασθαι θεόν· »τὸ[1]) γὰρ ἐμὸν, φησὶ, δέος, ὦ Πρώταρχε, περὶ τὰ τῶν θεῶν ὀνόματα τοιόνδε ἐστίν.« Ἡμεῖς οὖν ἀληθῶς ἔχομεν δέος περὶ τὸ ὄνομα τοῦ θεοῦ, καὶ τῶν καλῶν αὐτοῦ δημιουργημάτων, ὡς μηδὲ προφάσει τροπολογίας μῦθόν τινα παραδέξασθαι ἐπὶ βλάβῃ τῶν νέων.

49. Εἰ δ' ἀδεκάστως ἀνεγνώκει τὴν γραφὴν ὁ Κέλσος, οὐκ ἂν εἶπεν »οὐχ οἷα ἀλληγορίαν ἐπιδέχεσθαι εἶναι τὰ γράμματα ἡμῶν.« Ἀπὸ γὰρ τῶν προφητειῶν, ἐν αἷς τὰ ἀπὸ τῆς ἱστορίας γέγραπται, οὐκ[2]) ἀπὸ τῆς ἱστορίας ἐστὶ προσαχθῆναι καὶ ταῖς ἱστορίαις ὡς σκοπῷ τροπολογίας γεγραμμέναις, καὶ σοφώτατα οἰκονομηθείσαις·[3]) ἐστοχασμένως τοῦ τε πλήθους τῶν ἁπλουστέρων πιστευόντων, καὶ τῶν ὀλίγων μετὰ συνέσεως ἐξετάζειν τὰ πράγματα βουλομένων, (197) ἢ καὶ δυναμένων. Καὶ εἰ μὲν οἱ σήμερον νομιζόμενοι κατὰ Κέλσον ἐπιεικεῖς ἀπὸ Ἰουδαίων καὶ Χριστιανῶν ἠλληγόρουν τὰ γεγραμμένα, τάχα ἂν πιθανόν τι λέγειν ὑπε-

---

[1]) Cfr. Plato in Philebo pag. 12., ubi haec leguntur: Τὸ δὲ ἐμὸν δέος, ὦ Πρώταρχε, ἀεὶ πρὸς τὰ τῶν θεῶν ὀνόματα οὐκ ἔστι κατ' ἄνθρωπον, ἀλλὰ πέρα τοῦ μεγίστου φόβου. — Cfr. lib. I. contra Cels. num. 25.

[2]) Libri editi (v. c. edd. Spenc.) in margine: οὐχ ὡς ἀπὸ τῆς ἱστορίας ἐστὶ πραχθῆναι. R.

[3]) Hoeschel. in textu (edd. Spenc. ad marg.) οἰκονομηθῆναι. R.

νοεῖτο ὁ Κέλσος. Ἐπεὶ δ' αὐτοὶ οἱ πατέρες τῶν δογμάτων καὶ συγγραφεῖς τὰ τοιαῦτα τροπολογοῦσι, τί ἐστιν ἄλλο ὑπονοῆσαι, ἢ ὅτι οὕτως ἐγράφη, ὥστε τροπολογεῖσθαι αὐτὰ κατὰ τὸν προηγούμενον νοῦν; Ὀλίγα δ' ἀπὸ πάνυ πολλῶν παραθησόμεθα πρὸς τὸ δεῖξαι, ὅτι μάτην συκοφαντεῖ τοὺς λόγους ὁ Κέλσος, ὡς »οὐχ οἵους τε ἐπιδέξασθαι ἀλληγορίαν.« Φησὶ δὴ ὁ τοῦ Ἰησοῦ ἀπόστολος Παῦλος· »ἐν[1]) τῷ νόμῳ γέγραπται· οὐ φιμώσεις βοῦν ἀλοῶντα. Μὴ τῶν βοῶν μέλει τῷ θεῷ; ἢ δι' ἡμᾶς πάντως λέγει; Δι' ἡμᾶς γὰρ ἐγράφη, ὅτι ὀφείλει ἐπ' ἐλπίδι ὁ ἀροτριῶν ἀροτριᾷν· καὶ[2]) ὁ[3]) ἀλοῶν ἐπ' ἐλπίδι τοῦ μετέχειν.« Καὶ ἀλλαχοῦ φησιν ὁ αὐτός· »γέγραπται[4]) γὰρ, ὅτι ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα, καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν. Τὸ μυστήριον τοῦτο μέγα ἐστίν· ἐγὼ δὲ λέγω εἰς Χριστὸν, καὶ εἰς τὴν ἐκκλησίαν.« Καὶ πάλιν ἐν ἄλλῳ τόπῳ· »οἴδαμεν[5]) δὲ, ὅτι οἱ πατέρες ἡμῶν πάντες ὑπὸ τὴν νεφέλην ἦσαν, καὶ πάντες διὰ τῆς θαλάσσης διῆλθον, καὶ πάντες εἰς τὸν Μωϋσῆν ἐβαπτίσαντο, ἐν τῇ νεφέλῃ, καὶ ἐν τῇ θαλάσσῃ.« Εἶθ' ἑρμηνεύων τὴν περὶ τοῦ μάννα ἱστορίαν, καὶ τὴν περὶ τοῦ ὕδατος ἐκ πέτρας ἐξεληλυθέναι ἀναγεγραμμένου παραδόξως, τοιαῦτα λέγει· »καὶ[6]) πάντες τὸ αὐτὸ βρῶμα πνευματικὸν ἔφαγον, καὶ πάντες τὸ αὐτὸ πνευματικὸν ἔπιον πόμα. Ἔπινον γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας· ἡ πέτρα δὲ ἦν ὁ Χριστός.« Παριστὰς δὲ

---

[1]) Cfr. I Cor. IX, 9. 10. coll. Deut. XXV, 4. et I Tim. V, 18.

[2]) Vulgatus Apostoli textus: καὶ ὁ ἀλοῶν τῆς ἐλπίδος αὐτοῦ μετέχειν, ἐπ' ἐλπίδι.

[3]) Ed. Ruaei: ὁ ἀλοῶν ἐλπίδι τοῦ μετέχειν.

[4]) Cfr. Ephes. V, 31. 32. coll. Genes. II, 24.

[5]) Cfr. I Cor. X, 1. 2.

[6]) Cfr. I Cor. X, 3. 4.

ὁ Ἀσὲφ, ὅτι προβλήματα καὶ παραβολαί εἰσιν αἳ κατὰ [1]) τὴν Ἔξοδον ἱστορίαι καὶ τοὺς Ἀριθμοὺς, ὡς ἐν τῇ βίβλῳ τῶν Ψαλμῶν γέγραπται, μέλλων [2]) τῶν αὐτῶν ὑπομιμνήσκεσθαι, τοῦτον προοιμιάζεται τὸν τρόπον »προσέχετε [3]) λαός μου τῷ [4]) νόμῳ μου, κλίνατε τὸ οὖς ὑμῶν εἰς τὰ ῥήματα τοῦ στόματός μου. Ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα μου, φθέγξομαι προβλήματα ἀπ' ἀρχῆς, ὅσα ἠκούσαμεν καὶ ἔγνωμεν αὐτὰ, καὶ οἱ πατέρες ἡμῶν διηγήσαντο ἡμῖν.«

50. Ἀλλὰ καὶ, εἴπερ ὁ Μωσέως νόμος μηδὲν εἶχεν ἐγγεγραμμένον δι' [5]) ὑπονοιῶν δηλούμενον, οὐκ ἂν ὁ προφήτης εὐχόμενος ἔλεγε τῷ θεῷ· »ἀποκάλυψον [6]) τοὺς ὀφθαλμούς μου, καὶ κατανοήσω τὰ θαυμάσιά σου ἐκ τοῦ νόμου σου.« Νυνὶ δὲ ᾔδει, ὅτι ἔστι τι κάλυμμα ἀγνοίας ἐν τῇ καρδίᾳ τῶν ἀναγιγνωσκόντων, καὶ μὴ συνιέντων τὰ τροπολογούμενα, ἐπικείμενον· ὅπερ κάλυμμα περιαιρεῖται, τοῦ θεοῦ δωρουμένου, ἐπὰν [7]) ἐπακούσῃ τοῦ παρ' ἑαυτοῦ πάντα ποιήσαντος,

---

[1]) Sic recte Mss. (itemq. Boherell. in notis.) Male autem libri editi (v. c. edd. Spenc.) *μετὰ τήν κτλ.* R.

[2]) Vitiose in antea editis (v. c. edd. Spenc.) legitur: *μελλόντων αὐτῶν.* R. — Jam Boherell. in notis: »Lego: *μέλλων τῶν αὐτῶν.*«

[3]) Cfr. Psalm. LXXVIII, 1. 2. (LXXVII.)

[4]) Vulgatus Psalmorum textus: *τὸν νόμον μου.*

[5]) Cfr. libri huj. num. 38.

[6]) Cfr. Psalm. CXIX, 18. (CXVIII.)

[7]) Ita Cod. Jolianus. Libri autem editi (v. c. edd. Spenc. in textu): *ἐπὰν ἀκούσῃ τῷ παρ' ἑαυτοῦ πάντα ποιήσαντι, καὶ διὰ τὴν ἕξιν τὰ αἰσθητήρια γυμνάσαντι πρὸς διάκρισιν καλοῦ καὶ κακοῦ, καὶ ἐν τῇ εὐχῇ συνεχέστατα φήσαντι.* Boherell. legendum censet: *τοῦ θεοῦ δωρουμένου ἐπὰν ἀκούσῃ, τῷ παρ' ἑαυτῷ πάντα ποιήσαντι, κτλ.*, ita ut *ποιήσαντι, γυμνάσαντι, εἰ φήσαντι*, quae sequuntur, pendeant a *περιαιρεῖται.* R.

καὶ διὰ τὴν ἕξιν τὰ αἰσθητήρια γυμνάσαντος[1]) πρὸς διάκρισιν καλοῦ καὶ κακοῦ, καὶ ἐν τῇ εὐχῇ συνεχέστατα φήσαντος·[2]) »ἀποκάλυψον[3]) τοὺς ὀφθαλμούς μου, καὶ κατανοήσω τὰ θαυμάσιά σου ἐκ τοῦ νόμου σου.« Τίς δ' ἀναγιγνώσκων δράκοντα[4]) ἐν τῷ Αἰγυπτίῳ ποταμῷ ζῶντα, (198) καὶ τοὺς ἰχθύας ἐμφωλεύοντας αὐτοῦ ταῖς φολίσιν, ἢ ἀπὸ τῶν προχωρημάτων[5]) τοῦ Φαραὼ πληρούμενα τὰ Αἰγύπτου ὄρη, οὐ προάγεται αὐτόθεν πρὸς τὸ ζητῆσαι, τίς ὁ τοσούτων δυσωδῶν προχωρημάτων αὐτοῦ πληρῶν τὰ Αἰγυπτίων ὄρη· καὶ τίνα τὰ τῶν Αἰγυπτίων ὄρη· καὶ τίνες οἱ ἐν Αἰγύπτῳ ποταμοί, περὶ ὧν αὐχῶν λέγει ὁ προειρημένος Φαραώ· »ἐμοί[6]) εἰσιν οἱ ποταμοί, καὶ ἐγὼ ἐποίησα αὐτούς·« καὶ τίς ὁ ἀνάλογον τοῖς ἀποδειχθησομένοις ἀπὸ τῆς ἑρμηνείας ποταμοῖς δράκων· καὶ τίνες οἱ ἐν ταῖς φολίσιν αὐτοῦ ἰχθύες; Καὶ τί με δεῖ ἐπὶ πλείονα κατασκευάζειν τὰ μὴ δεόμενα κατασκευῆς; ἐφ' οἷς λέγεται τό· »τίς[7]) σοφὸς, καὶ συνήσει ταῦτα; ἢ συνετὸς, καὶ ἐπιγνώσεται αὐτά;« Ἐπὶ πλεῖον δ' ἐξέτεινα τὸν λόγον, βουλόμενος παραστῆσαι, μὴ ὑγιῶς εἰρῆσθαι τῷ Κέλσῳ, ὅτι »οἱ ἐπιεικέστεροι Ἰουδαίων καὶ Χριστιανῶν πειρῶνταί πως ἀλληγορεῖν αὐτὰ, ἔστι δ' οὐχ οἷα ἀλληγορίαν ἐπιδέχεσθαί τινα, ἀλλ' ἄντικρυς εὐηθέστατα[8]) μεμυθολόγηται. Πολλῷ γὰρ μᾶλλον τὰ Ἑλ-

---

[1]) Edd. Spenc. ad marginem: *γυμνώσαντι*. — Cfr. pag. 79. not. 7.

[2]) Edd. Spenc. in marg. *φήσαντος*. — Cfr. pag. 79. not. 7.

[3]) Cfr. Psalm. CXIX, 18. (CXVIII.)

[4]) Cfr. Ezech. XXIX, 3.

[5]) Cfr. Ezech. XXXII, 6.

[6]) Cfr. Ezech. XXIX, 3. [7]) Cfr. Hos. XIV, 10.

[8]) Sic recte omnino Cod. Jolianus secunda manu (itemq. Boherell. in notis.) Male autem libri editi (v. c. edd. Spenc.) *ἀληθέστατα*. R.

λήνων οὐ μόνον εὐηθέστατα, ἀλλὰ καὶ ἀσεβέστατα μεμυθολόγηται. Τὰ γὰρ ἡμέτερα ἐστόχασται καὶ τοῦ πλήθους τῶν ἁπλουστέρων· ὅπερ οἱ τὰ Ἑλληνικὰ πλάσματα ποιήσαντες οὐκ ἐφυλάξαντο. Διόπερ οὐκ ἀχαρίστως ὁ Πλάτων [1]) ἐκβάλλει τῆς ἑαυτοῦ πολιτείας τοὺς τοιουσδὶ μύθους καὶ τὰ τοιαδὶ ποιήματα.

51. Δοκεῖ δέ μοι καὶ ἀκηκοέναι, ὅτι ἐστὶ συγγράμματα περιέχοντα τὰς τοῦ νόμου ἀλληγορίας· ἅπερ εἰ ἀνεγνώκει, οὐκ ἂν ἔλεγεν· »καί γοῦν δοκοῦσαι περὶ αὐτῶν ἀλληγορίαι γεγράφθαι, πολὺ τῶν μύθων αἰσχίους εἰσὶ καὶ ἀτοπώτεραι, τὰ μηδαμῆ μηδαμῶς ἁρμοσθῆναι δυνάμενα, θαυμαστῇ τινι καὶ παντάπασιν ἀναισθήτῳ μωρίᾳ συνάπτουσαι.« Ἔοικε δὲ περὶ τῶν Φίλωνος συγγραμμάτων ταῦτα λέγειν, ἢ καὶ τῶν ἔτι ἀρχαιοτέρων, ὁποῖά ἐστι τὰ Ἀριστοβούλου. Στοχάζομαι δὲ τὸν Κέλσον μὴ [2]) ἀνεγνωκέναι τὰ βιβλία, ἐπεὶ πολλαχοῦ οὕτως ἐπιτετεῦχθαί μοι φαίνεται, ὥστε αἱρεθῆναι ἂν καὶ τοὺς ἐν Ἕλλησι φιλοσοφοῦντας ἀπὸ τῶν λεγομένων· ἐν οἷς οὐ μόνον φράσις ἐξήσκηται, ἀλλὰ καὶ νοήματα, καὶ δόγματα, καὶ ἡ χρῆσις τῶν ὡς οἴεται ἀπὸ τῶν γραφῶν μύθων ὁ Κέλσος. Ἐγὼ δ' οἶδα καὶ Νουμήνιον τὸν Πυθαγόρειον, ἄνδρα πολλῷ κρεῖττον διηγησάμενον Πλάτωνα, καὶ τῶν Πυθαγορείων δογμάτων πρεσβεύσαντα, [3]) πολλαχοῦ τῶν συγγραμμάτων αὐτοῦ [4]) ἐκτιθέμενον τὰ Μωϋσέως καὶ τῶν προφητῶν, καὶ οὐκ ἀπιθάνως αὐτὰ τροπολογοῦντα, ὥσπερ ἐν τῷ καλουμένῳ Ἔποπι, καὶ ἐν τοῖς »περὶ ἀριθμῶν,« καὶ ἐν τοῖς »περὶ τόπου.« Ἐν δὲ τῷ τρίτῳ »περὶ τἀγαθοῦ« ἐκτίθεται

---

[1]) Cfr. libri huj. num. 36.

[2]) In edd. Spenc. uncis inclusum legitur μή.

[3]) Mss. (itemq. edd. Spenc. ad marg.) πρεσβεύσαντα. Libri editi (v. c. edd. Spenc. in textu): πιστεύσαντα. Ego vero locum integrum sic lego: καὶ τὰ τῶν Πυθαγορείων δόγματα πρεσβεύσαντα. R.

[4]) Edd. Spenc. αὐτοῦ.

καὶ περὶ τοῦ Ἰησοῦ ἱστορίαν τινὰ, τὸ ὄνομα αὐτοῦ οὐ λέγων, καὶ τροπολογεῖ αὐτήν· πότερον δ' ἐπιτετευγμένως, ἢ ἀποτετευγμένως, ἄλλου καιροῦ ἐστιν εἰπεῖν. (199) Ἐκτίθεται καὶ τὴν περὶ Μωϋσέως, καὶ Ἰαννοῦ καὶ Ἰαμβροῦ ἱστορίαν. Ἀλλ' οὐκ ἐν [1]) ἐκείνῃ σεμνυνόμεθα· ἀποδεχόμεθα δ' αὐτὸν μᾶλλον Κέλσου καὶ ἄλλων Ἑλλήνων, βουληθέντα φιλομαθῶς καὶ τὰ ἡμέτερα ἐξετάσαι, καὶ κινηθέντα ὡς περὶ τροπολογουμένων καὶ οὐ μωρῶν συγγραμμάτων.

52. Ἐξῆς δὲ τούτοις ἐπιλεξάμενος ἀπὸ πάντων συγγραμμάτων, τῶν περιεχόντων ἀλληγορίας καὶ διηγήσεις μετὰ οὐκ εὐκαταφρονήτου λέξεως καὶ [2]) φράσεως, τὸ εὐτελέστερον καὶ δυνάμενον μέν τι πρὸς τοὺς πολλοὺς καὶ ἁπλουστέρους πίστεως χάριν συμβαλέσθαι, οὐ μὴν οἷόν τε καὶ συνετωτέρους κινῆσαι, φησίν· »οἷαν δὴ καὶ Παπίσκου τινὸς καὶ Ἰάσονος ἀντιλογίαν ἔγνων, οὐ γέλωτος, ἀλλὰ μᾶλλον ἐλέους καὶ μίσους ἀξίαν. Ἔμοιγ' [3]) οὖν οὐ ταῦτ' ἐλέγχειν πρόκειται· ἔστι γὰρ παντί που δῆλα, καὶ μάλιστα εἴ τις ὑπομείναι [4]) καὶ ἀνάσχοιτο αὐτῶν ἑπακοῦσαι τῶν συγγραμμάτων. Ἀλλ' ἐκεῖνο μᾶλλον ἐθέλω διδάξαι τὴν φύσιν, ὅτι ὁ θεὸς οὐδὲν θνητὸν ἐποίησεν· ἀλλὰ θεοῦ μὲν ἔργα, ὅσα ἀθάνατα· θνητὰ δ' ἐκείνων. Καὶ ψυχὴ μέν, θεοῦ ἔργον· σώματος δὲ ἄλλη φύσις. Καὶ ταύτῃ γε οὐδὲν διοίσει νυκτερίδος, ἢ εὐλῆς, ἢ βατράχου, ἢ [5]) ἀνθρώπου σῶμα. Ὕλη γὰρ ἡ αὐτὴ, καὶ τὸ φθαρτὸν αὐτῶν ὅμοιον.« Οὐδὲν δ' ἧττον ἐβουλόμην πάνυ ὀντινοῦν ἀκούσαντα δει-

[1]) Boherell. in notis: »Lege: ἐν ἐκείνῳ.«

[2]) Verba: καὶ φράσεως, in editis (v. c. edd. Spenc.) omissa, supplentur e Codd. Mss. R.

[3]) Edd. Spenc. ad marginem: ἐμοὶ γοῦν.

[4]) Edd. Spenc. ὑπομεῖναι.

[5]) Boherell. in notis: »Forte: τὸ ἀνθρώπου σῶμα. Quamquam nihil necesse. Vide tamen libr. huj. num. 54.; sed vide quoque libri huj. num. 56.«

νολογοῦντος Κέλσου, καὶ φάσκοντος τὸ ἐπιγεγραμμένον σύγγραμμα, Ἰάσονος καὶ Παπίσκου ἀντιλογίαν περὶ Χριστοῦ, οὐ γέλωτος, ἀλλὰ μίσους ἄξιον εἶναι, λαβεῖν εἰς χεῖρας τὸ συγγραμμάτιον, καὶ ὑπομεῖναι καὶ ἀνασχέσθαι ἀκοῦσαι τῶν ἐν αὐτῷ· ἵν' αὐτόθεν καταγνῶ τοῦ Κέλσου, μηδὲν εὑρίσκων μίσους ἄξιον ἐν τῷ βιβλίῳ. Ἐὰν δ' ἀδεκάστως τις ἐντυγχάνῃ, εὑρήσει ὅτι οὐδ' ἐπὶ γέλωτα κινεῖ τὸ βιβλίον, ἐν ᾧ ἀναγέγραπται Χριστιανὸς Ἰουδαίῳ διαλεγόμενος ἀπὸ τῶν Ἰουδαϊκῶν γραφῶν, καὶ δεικνὺς τὰς περὶ τοῦ Χριστοῦ προφητείας ἐφαρμόζειν τῷ Ἰησοῦ· καί τοί γε οὐκ ἀγεννῶς, οὐδ' ἀπρεπῶς τῷ Ἰουδαϊκῷ προσώπῳ τοῦ ἑτέρου ἱσταμένου πρὸς τὸν λόγον.

53. Οὐκ οἶδα δ' ὅπως τὰ ἄμικτα, καὶ οὐ πεφυκότα ἅμα συμβαίνειν ἀνθρωπίνῃ φύσει, συναγαγὼν, εἶπε »τὸ βιβλίον ἐκεῖνο ἐλέους καὶ μίσους ἄξιον εἶναι.« Πᾶς γὰρ ὁμολογήσει, τὸν ἐλεούμενον μὴ μισεῖσθαι ὅτ' ἐλεεῖται, καὶ τὸν μισούμενον μὴ ἐλεεῖσθαι ὅτε μισεῖται. Διὰ τοῦτο δὲ μὴ προκεῖσθαι ἐλέγχειν φησὶ ταῦτα ὁ Κέλσος, ἐπεὶ οἴεται αὐτὰ παντί που δῆλα εἶναι καὶ πρὸ τοῦ ἐπαγομένου λογικῶς ἐλέγχου, ὡς φαῦλα καὶ ἐλέους καὶ μίσους ἄξια. Παρακαλοῦμεν δὲ τὸν ἐντυγχάνοντα τῇ ἀπολογίᾳ ταύτῃ πρὸς τὴν Κέλσου κατηγορίαν γεγραμμένῃ, ἀνασχέσθαι καὶ ἐπακοῦσαι τῶν συγγραμμάτων ἡμῶν, καὶ, ὅση δύναμις, ἐκ τῶν γεγραμμένων στοχάσασθαι τῆς προαιρέσεως τῶν γραψάντων, καὶ τῆς συνειδήσεως, καὶ τῆς διαθέσεως· εὑρήσει γὰρ ἄνδρας διαπύρως περὶ ὧν ὑπειλήφασι διατεινομένους· (200) τινὰς δὲ ἐμφαίνοντας καὶ [1]) ἱστορίαν ἐωραμένην καὶ καταληφθεῖσαν [2]) ἀναγράφειν, ὡς παράδοξον καὶ

---

[1]) Edd. Spenc. καὶ τὸ ἱστορίαν κτλ.

[2]) Edd. Spenc. et Ruaei in textu: καταλειφθεῖσαν. Jam Boherell. vero, quem Ruaeus sequitur, in notis: »Lego: καταληφθεῖσαν.«

γραφῆς ἀξίαν, ἐπὶ ὠφελείᾳ τῶν ἀκουσομένων. Ἢ τολμάτω[1]) τις λέγειν, μὴ[2]) πάσης ὠφελείας εἶναι πηγὴν καὶ ἀρχὴν τὸ πιστεῦσαι τῷ τῶν ὅλων θεῷ, καὶ πάντα πράττειν κατ' ἀναφορὰν τοῦ ἐκείνῳ ἀρέσκειν περὶ οὐτινοσοῦν, καὶ μηδὲν ἀπάρεστον αὐτῷ μηδ' ἐνθυμεῖσθαι, ὡς οὐ μόνον λόγων καὶ ἔργων, ἀλλὰ καὶ διαλογισμῶν, κριθησομένων. Καὶ τίς ἂν ἄλλος λόγος ἐπιστρεφέστερον προσάγοι[3]) τὴν ἀνθρωπίνην φύσιν τῷ εὖ ζῆν, ὡς ἡ πίστις, ἢ ἡ διάληψις περὶ τοῦ πάντ' ἐφορᾶν τὸν[4]) ἐπὶ πᾶσι θεὸν τὰ ὑφ' ἡμῶν λεγόμενα καὶ πραττόμενα, ἀλλὰ καὶ λογιζόμενα; Παραβαλλέτω[5]) γὰρ ὁ βουλόμενος ἄλλην ὁδὸν ἐπιστρέφουσαν ἅμα καὶ βελτιοῦσαν οὐ μόνον ἕνα που καὶ δεύτερον, ἀλλ', ὅση δύναμις, καὶ πλείστους ὅσους, ἵνα τις τῇ παραθέσει ἀμφοτέρων τῶν ὁδῶν ἀκριβῶς κατανοήσῃ τὸν διατιθέντα πρὸς τὸ[6]) καλὸν λόγον.

54. Ἐπεὶ δ' ἐν ᾗ ἐξεθέμην τοῦ Κέλσου λέξει παραφραζούσῃ ἀπὸ[7]) τοῦ Τιμαίου τινὰ γέγραπται, ὡς

---

[1]) Edd. Spenc., signis interrogationis in seqq. positis: τολμάτω τίς λέγειν.

[2]) Sic Mss. Libri editi (v. c. edd. Spenc.) μὴ πάσης σοφίας εἶναι πηγὴν κτλ. R.

[3]) Libri editi (v. c. edd. Spenc.) προσάγει, sed Mss. rectius: προσάγοι. R.

[4]) Deest τόν in edd. Spenceri.

[5]) Libri editi (v. c. edd. Spenc.) in margine: παραβαλέτω. R.

[6]) In textu edd. Spenc. uncis inclusum legitur: τό, margini vero adscriptum est: τόν.

[7]) Plato in Timaeo, pag. 41. Ἐπεὶ δ' οὖν πάντες, ὅσοι τε περιπολοῦσι φανερῶς, καὶ ὅσοι φαίνονται, καθ' ὅσον ἂν ἐθέλωσι, θεοὶ γένεσιν ἔσχον, λέγει πρὸς αὐτοὺς ὁ τόδε τὸ πᾶν γεννήσας τάδε· θεοὶ θεῶν, ὧν ἐγὼ δημιουργὸς πατήρ τε ἔργων, κτλ. Et paulo post: Νῦν οὖν ὃ λέγω πρὸς ὑμᾶς ἐνδεικνύμενος, μάθετε. Θνητὰ ἔτι γένη λοιπὰ τρί' ἀγέννητα. Τούτων οὖν μὴ γενο-

»ἆρα ὁ μὲν θεὸς οὐδὲν θνητὸν ἐποίησεν, ἀλλὰ μόνα τὰ ἀθάναια, τὰ δὲ θνητὰ ἄλλων[1]) ἐστὶν ἔργα. Καὶ ψυχὴ μέν, θεοῦ ἔργον· σώματος δὲ ἄλλη φύσις· καὶ οὐδὲν διοίσει σῶμα ἀνθρώπου[2]) σώματος νυκτερίδος, ἢ εὐλῆς, ἢ βατράχου. Ὕλη γὰρ ἡ αὐτὴ, καὶ τὸ φθαρτὸν αὐτῶν ὅμοιον·« φέρε, καὶ περὶ τούτων ἐπ' ὀλίγον διαλάβωμεν, ἐλέγχοντες τὸν ἤτοι μὴ προσποιούμενον τὴν ἑαυτοῦ Ἐπικούρειον γνώμην, ἢ, (ὡς ἂν[3]) εἴποι ἄν τις,) ὕστερον μεταθέμενον ἐπὶ τὰ βελτίω, ἢ καὶ, (ὡς ἂν ἕτερος[4]) λέγοι,) τὸν ὁμώνυμον τῷ Ἐπικουρείῳ. Τοιαῦτα γὰρ ἐχρῆν αὐτὸν ἀποφαινόμενον, καὶ ἐναντία

μένων, οὐρανὸς ἀτελὴς ἔσται· τὰ γὰρ ἅπαντα ἐν αὐτῷ γένη ζώων οὐχ ἕξει· δεῖ δὲ, εἰ μέλλει τέλειος ἱκανῶς εἶναι. Δι' ἐμοῦ δὲ ταῦτα γενόμενα, καὶ βίου μεταλαχόντα, θεοῖς ἰσάζοιτ' ἄν. Ἵν' οὖν θνητά τε ᾖ, τό τε πᾶν τόδε ὂν τὸ ἅπαν ᾖ, τρέπεσθε κατὰ φύσιν ὑμεῖς ἐπὶ τὴν τῶν ζώων δημιουργίαν, μιμούμενοι τὴν ἐμὴν δύναμιν περὶ τὴν ὑμετέραν γένεσιν. Et pag. 69. Καὶ τῶν μὲν θείων αὐτὸς γίγνεται δημιουργὸς, τῶν δὲ θνητῶν τὴν γένεσιν τοῖς ἑαυτοῦ γεννήμασι δημιουργεῖν προσέταξεν. Οἱ δὲ μιμούμενοι, παραλαβόντες ἀρχὴν ψυχῆς ἀθάνατον, τὸ μετὰ τοῦτο θνητὸν σῶμα αὐτῇ περιετόρνευσαν, ὄχημά τε πᾶν τὸ σῶμα ἔδοσαν, ἄλλο τε εἶδος ἐν αὐτῷ ψυχῆς προσῳκοδόμουν τὸ θνητὸν, δεινὰ καὶ ἀναγκαῖα ἐν ἑαυτῷ παθήματα ἔχον· πρῶτον μὲν ἡδονὴν, μέγιστον κακοῦ δέλεαρ, ἔπειτα λύπας, ἀγαθῶν φυγὰς, ἔτι δ' αὖ θάρρος καὶ φόβον, κτλ.

[1]) Edd. Spenc. et Ruaei in textu: ἄλλων ἐστὶν ἔργα. Boherell. vero, quem Ruaeus sequitur, in notis: »Forte: αὐτῶν ἐστιν ἔργα, ut supra num. 52. θεοῦ μὲν ἔργα, ὅσα ἀθάναια· θνητὰ δ' ἐκείνων.«

[2]) Cfr. libri huj. num. 52., et quidem not. ad verba: ἢ ἀνθρώπου σῶμα.

[3]) Cfr. de duplici ἄν libri I. contra Cels. num. 1. (ex edd. Spenc. pag. 5. lin. 3. seqq.)

[4]) Desideratur ἕτερος in edd. Spenceri.

λέγειν οὐ μόνον ἡμῖν προθέμενον, ἀλλὰ καὶ οὐκ ἀγεννεῖ φιλοσόφων αἱρέσει τῶν [1]) ἀπὸ τοῦ Κιττιέως Ζήνωνος, [2]) κατασκευάσαι, ὅτι τὰ τῶν ζώων σώματα οὐκ ἔστιν ἔργα τοῦ θεοῦ· καὶ ὅτι ἡ τοσαύτη περὶ αὐτὰ τέχνη οὐκ ἀπὸ τοῦ πρώτου ἐλήλυθε νοῦ. Ἴδοι δ' αὐτὸν καὶ περὶ τῶν τοσούτων, καὶ [3]) ὑπ' ἐνυπαρχούσης ἀφαντάστου φύσεως διοικουμένων παντοδαπῶν φυτῶν, καὶ πρὸς χρείαν γεγονότων οὐκ εὐκαταφρόνητον ἐν τῷ παντὶ ἀνθρώπων, καὶ τῶν ἀνθρώποις διακονουμένων ζώων, ὅπως ποτὲ ἄλλως ὄντων, μὴ ἀποφήνασθαι μόνον, ἀλλὰ καὶ διδάξαι, ὅτι μὴ τέλειός τις νοῦς τὰς τοσαύτας ἐνεποίησε ποιότητας τῇ ὕλῃ τῶν [4]) φυτῶν. Εἰ δ' ἄπαξ θεοὺς ἐποίει δημιουργοὺς πάντων σωμάτων, ὡς μόνης ψυχῆς ἔργον οὔσης θεοῦ· πῶς οὐχὶ ἐξῆς ἦν τῷ μερίζοντι τὰ τοσαῦτα δημιουργήματα, καὶ πολλοῖς διδόντι, μετά τινος κατασκευάσαι οὐκ εὐκαταφρονήτου λόγου θεῶν διαφορὰς, τῶνδε μὲν ἀνθρώπεια κατασκευαζόντων σώματα, ἑτέρων δὲ, (201) φέρ' εἰπεῖν, κτήνεια, [5])

---

[1]) In edd. Spenc. uncis inclusa leguntur verba: τῶν ἀπὸ τοῦ.

[2]) Cfr. Cic. lib. I. de officiis: »Sed quoniam, ut praeclare scriptum est a Platone, non nobis solum nati sumus, ortusque nostri partem patria vindicat, partem parentes, partem amici: atque ut placet Stoicis, quae in terris gignuntur, ad usum hominum omnia creari, homines autem hominum causa esse generatos, ut ipsi inter se aliis alii prodesse possint: in hoc naturam debemus ducem sequi.« Vide eundem lib. II. de natura Deorum, Senecam lib. II. cap. 23. de beneficiis, et Lactantium cap. XIII de ira Dei.

[3]) Sic habet Cod. Jolianus secunda manu rectius quam libri editi (v. c. edd. Spenc.): καὶ ὑπὸ ἐν ὑπαρχούσης. R.

[4]) Verba: τῶν φυτῶν, videntur e textu ejicienda, neque hic locum habere posse. R.

[5]) Libri editi (v. c. edd. Spenc.) post vocem: κτήνεια, continua serie legunt: καὶ κατὰ ἄτομον εἶδος αὐτῶν τινας εἶναι δημιουργοὺς, καὶ ἄλλων θήρεια. Sed

καὶ ἄλλων θήρεια; Ἐχρῆν δ' αὐτὸν, ὁρῶντα θεοὺς δρακόντων, καὶ ἀσπίδων, καὶ βασιλίσκων δημιουργοὺς, καὶ ἄλλους κατ' εἶδος ἑκάστου φυτοῦ, καὶ ἑκάστης βοτάνης, λέγειν τὰς αἰτίας τῶν μερισμῶν. Ἴσως γὰρ ἂν ἐπιδοὺς ἑαυτὸν τῇ ἀκριβείᾳ τῆς τῶν κατὰ τὸν τόπον βασάνου, ἤτοι ἐτήρει ἕνα θεὸν πάντων δημιουργὸν, πρός τι καὶ ἕνεκέν τινος ἕκαστον πεποιηκότα· ἢ μὴ τηρῶν, ἐώρα τί χρὴ αὐτὸν ἀπολογήσασθαι περὶ ἀδιαφόρου τῇ [1]) αὐτοῦ φύσει πράγματος τοῦ φθαρτοῦ· καὶ ὅτι οὐδὲν ἄτοπον, τὸν ἐξ ἀνομοίων συνεστηκότα κόσμον ὑπὸ ἑνὸς γεγονέναι τεχνίτου, συμφερόντως τῷ ὅλῳ τὰς διαφορὰς τῶν εἰδῶν κατασκευάζοντος. Ἢ τὸ ἔσχατόν γε ἔδει αὐτὸν περὶ τηλικούτου δόγματος μηδ' ἀποφαίνεσθαι τὴν ἀρχήν· εἴπερ κατασκευάζειν οὐκ ἔμελλεν, ἅπερ διδάσκειν ἐπηγγέλλετο· εἰ μὴ ἄρα ὁ ἐγκαλῶν τοῖς ψιλὴν πίστιν ἐπαγγελλομένοις, αὐτὸς ἡμᾶς πιστεύειν ἐβούλετο οἷς ἀπεφήνατο· καί τοί γε οὐ τὸ ἀποφήνασθαι, ἀλλὰ τὸ διδάξαι ἐπαγγειλάμενος.

55. Οὕτω [2]) δὲ λέγω, ὅτι εἴπερ ὑπέμεινε καὶ ἠνέσχετο ἐπακοῦσαι τῶν, ὥς φησι, συγγραμμάτων Μωϋ-

---

re accurate perpensa, sagaciter deprehendit Boherellus haec verba: καὶ κατὰ ἄτομον εἶδος αὐτῶν τινας εἶναι δημιουργούς, non suo loco legi, nihilque aliud esse quam variam lectionem sequentium verborum: καὶ ἄλλους κατ' εἶδος ἑκάστου φυτοῦ, καὶ ἑκάστης βοτάνης. Prior cum excidisset, propter repetitionem vocis δημιουργούς, altera ejus locum occupavit; et postea utraque in textum recepta est, sed turbato ordine. Alterutra igitur expungi debuit. Itaque priorem expunximus. Si cui autem prior prae altera videtur esse retinenda, is pro verbis: κατὰ ἄτομον εἶδος, legat: κατὰ ἀτόμων εἶδος. R.

[1]) Sic habent Mss. (itemq. edd. Spenc. ad marg), libri vero editi (v. c. edd. Spenc.) in textu: τῇ αὐτῇ φύσει. R.

[2]) Hoeschel. in textu (edd. Spenc. ad marg.) Οὔπω δὲ λέγω. R.

σέως καὶ τῶν προφητῶν, ἐπέστησεν[1]) ἂν, τί δήποτε τὸ μέν· »ἐποίησεν[2]) ὁ θεός·« ἐπ᾽ οὐρανοῦ καὶ γῆς τέτακται, καὶ τοῦ καλουμένου στερεώματος, ἔτι δὲ καὶ φωστήρων καὶ ἀστέρων· καὶ μετὰ ταῦτα ἐπὶ κητῶν μεγάλων, καὶ πάσης ψυχῆς ζώων ἑρπετῶν, ἃ ἐξήγαγε τὰ ὕδατα κατὰ γένη αὐτῶν· καὶ παντὸς πετεινοῦ πτερωτοῦ κατὰ γένος· καὶ ἑξῆς τούτοις ἐπὶ τῶν θηρίων τῆς γῆς κατὰ γένος, καὶ τῶν κτηνῶν κατὰ γένος, καὶ πάντων τῶν ἑρπετῶν τῆς γῆς κατὰ γένος αὐτῶν· καὶ τελευταῖον ἐπὶ τοῦ ἀνθρώπου. Μὴ εἰρημένου δὲ τοῦ· »ἐποίησε·« [3]) περὶ ἑτέρων, ἀρκεῖται ὁ λόγος περὶ φωτὸς μὲν τῷ· »ἐγένετο[4]) φῶς·« ἐπὶ δὲ συναγωγῆς μιᾶς παντὸς ὕδατος τοῦ ὑποκάτω παντὸς τοῦ οὐρανοῦ, τῷ· »ἐγένετο[5]) οὕτως.« Ὁμοίως[6]) δὲ καὶ ἐπὶ τῶν βλαστησάντων ἀπὸ γῆς, ὅτ᾽ »ἐξήνεγκεν ἡ γῆ βοτάνην χόρτου σπεῖρον σπέρμα κατὰ γένος καὶ καθ᾽ ὁμοιότητα, καὶ ξύλον κάρπιμον ποιοῦν καρπὸν, οὗ τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ κατὰ γένος ἐπὶ τῆς γῆς.« Καὶ ἐζήτησεν ἂν, εἰ αἱ γεγραμμέναι προστάξεις τοῦ θεοῦ, περὶ τοῦ γενέσθαι ἕκαστον τοῦ κόσμου μέρος, τίνι ἢ τίσιν εἴρηται· καὶ οὐκ ἂν εὐχερῶς κατηγόρησεν ὡς ἀδιανοήτων,[7]) καὶ μηδεμίαν σύνεσιν ἀπόῤῥητον ἐχόντων τῶν ὑπὸ Μωϋσέως ἐν τούτοις γεγραμμένων, ἢ, ὡς ἡμεῖς εἴποιμεν ἄν, ὑπὸ τοῦ ἐν Μωϋσῇ θείου πνεύματος, ἀφ᾽ οὗ καὶ ἐπροφήτευσεν. Ἐπεὶ μᾶλλον

— ἤδει[8]) τά τ᾽ ἐόντα, τά τ᾽ ἐσσόμενα, πρό τ᾽ ἐόντα,

---

[1]) Libri editi (v. c. edd. Spenc.) in margine: ὑπέστησεν. R.

[2]) Cfr. Genes. I, 1. 7. 16. 21. 25. 27.

[3]) Cfr. pag. huj. not. 2.

[4]) Gen. I, 3. [5]) Gen. I, 9.

[6]) Gen. I, 11. coll. 12.

[7]) Boherell., quem Ruaeus sequitur, in notis: »Forte: ἀνοήτων.«

[8]) Cfr. Iliad. I. vers. 70.

τῶν λεγομένων παρὰ τοῖς ποιηταῖς μάντεων ταῦτ' ἐγνωκέναι.

56. Ἔτι δὲ ἐπεί φησιν ὁ Κέλσος, (202) ὅτι »ψυχὴ μὲν θεοῦ ἐστιν ἔργον, σώματος δὲ ἄλλη φύσις· καὶ ταύτῃ γε οὐδὲν διοίσει νυκτερίδος, ἢ εὐλῆς, ἢ βατράχου, ἢ [1]) ἀνθρώπου σῶμα. Ὕλη γὰρ ἡ αὐτὴ, καὶ τὸ φθαρτὸν αὐτῶν ὅμοιον·« λεκτέον καὶ πρὸς τοῦτον αὐτοῦ τὸν λόγον, ὅτι [2]) εἴπερ, ἐπεὶ ἡ ὕλη ἡ αὐτὴ ὑπόκειται νυκτερίδος, ἢ εὐλῆς, ἢ βατράχου, ἢ ἀνθρώπου σώματι, οὐδὲν διοίσει ἀλλήλων ταῦτα τὰ σώματα· δηλονότι οὐδὲν διοίσει τὰ τούτων σώματα ἡλίου, ἢ σελήνης, ἢ ἀστέρων, ἢ οὐρανοῦ, ἢ οὑτινοσοῦν ἄλλου λεγομένου παρ' Ἕλλησιν αἰσθητοῦ θεοῦ. Ὕλη γὰρ ἡ αὐτὴ πᾶσι τοῖς σώμασιν ὑποκειμένη τῷ ἰδίῳ λόγῳ ἄποιος καὶ ἀσχημάτιστος, τὰς ποιότητας οὐκ οἶδα κατὰ Κέλσον, τὸν μὴ θέλοντα φθαρτόν τι ἔργον εἶναι τοῦ θεοῦ, ὑπό τινος λαμβάνουσα. [3]) Τὸ γὰρ φθαρτὸν ἀνάγκη παντὸς οὑτινοσοῦν ἐκ τῆς αὐτῆς ὑποκειμένης ὕλης γεγενημένου ὅμοιον εἶναι, κατὰ τὸν Κέλσον, τῷ ἑαυτοῦ λόγῳ. Εἰ μὴ ἄρα ἐνταῦθα ὁ Κέλσος θλιβόμενος ἀποπηδήσεται μὲν ἀπὸ Πλάτωνος, τοῦ [4]) ἔκ τινος κρατῆρος

---

[1]) Cfr. lib huj. num. 52.

[2]) Libri editi (v. c. edd. Spenc.) in textu habent: ὅτι εἴπερ, ἐπεὶ ἡ ὕλη αὐτή, sed in margine lectionem exhibent, quam sequimur. Guieto autem legendum videtur: ὅτι εἴπερ ἡ ὕλη ἡ αὐτή, deleto ἐπεί. R.

[3]) Videtur scribendum: ἔσται λαμβάνουσα. R.

[4]) Vide lib. IV. contra Cels. num. 61. Plato in Timaeo pag. 41. (ed. Bekker. pag. 43. 44.) Καὶ καθ' ὅσον μὲν αὐτῶν ἀθανάτοις ὁμώνυμον εἶναι προσήκει, θεῖον λεγόμενον ἡγεμονοῦν τ' ἐν αὐτοῖς τῶν ἀεὶ δίκῃ καὶ ὑμῖν ἐθελόντων ἕπεσθαι, σπείρας καὶ ὑπαρξάμενος ἐγὼ παραδώσω. Τὸ δὲ λοιπὸν ὑμεῖς, ἀθανάτῳ θνητὸν προσυφαίνοντες, ἀπεργάζεσθε ζῷα, καὶ γεννᾶτε, τροφήν τε διδόντες αὐξάνετε, καὶ φθίνοντα πάλιν δέ-

τὴν ψυχὴν ποιοῦντος, προσφεύξεται δὲ Ἀριστοτέλει καὶ τοῖς ἀπὸ τοῦ Περιπάτου, ἄϋλον φάσκουσιν εἶναι τὸν αἰθέρα, καὶ πέμπτης παρὰ τὰ τέσσαρα στοιχεῖα αὐτὸν εἶναι φύσεως· πρὸς ὃν λόγον οὐκ ἀγεννῶς καὶ οἱ ἀπὸ Πλάτωνος, καὶ οἱ ἀπὸ τῆς Στοᾶς ἔσισαν. Καὶ ἡμεῖς δὲ, οἱ ὑπὸ τοῦ Κέλσου καταφρονούμενοι, σησόμεθα, ἀπαιτούμενοι διηγήσασθαι, καὶ κατασκευάσαι τὸ ἐν τῷ προφήτῃ λεγόμενον οὕτως· »οἱ [1]) οὐρανοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις· καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται, καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτοὺς, καὶ ἀλλαγήσονται. Σὺ δὲ ὁ αὐτὸς εἶ.« Πλὴν ἀρκεῖ πρὸς τὸν Κέλσον καὶ ταῦτα, ἀποφηνάμενον »ὅτι ψυχὴ μὲν θεοῦ ἔργον, σώματος δὲ ἄλλη φύσις·« οὗ τῷ λόγῳ ἠκολούθησε, μηδὲν διαφέρειν νυκτερίδος, ἢ εὐλῆς, ἢ [2]) βατράχου σῶμα τοῦ αἰθερίου σώματος.

57. Ὅρα οὖν, εἰ δεῖ τῷ μετὰ τοιούτων δογμάτων κατηγοροῦντι Χριστιανῶν προσθέσθαι, καταλείποντα λόγον διαφορὰν διδόντα, διὰ τὰς ἐπικειμένας ποιότητας τοῖς σώμασι καὶ περὶ τὰ σώματα. Ἴσμεν γὰρ καὶ ἡμεῖς, ὅτι ἐστὶ »καὶ [3]) σώματα ἐπουράνια, καὶ σώματα ἐπίγεια·« καὶ ἄλλη μὲν ἐπουρανίων σωμάτων δόξα,

---

χεσθε. Ταῦτ' εἶπε· καὶ πάλιν ἐπὶ τὸν πρότερον κρατῆρα, ἐν ᾧ τὴν τοῦ παντὸς ψυχὴν κεραννὺς ἔμισγε, τὰ τῶν πρόσθεν ὑπόλοιπα κατεχεῖτο μίσγων τρόπον μέν τινα τὸν αὐτὸν, ἀκήρατα δ' οὐκέτι κατὰ ταὐτὰ ὡσαύτως, ἀλλὰ δεύτερα, καὶ τρίτα. Et paulo post: Λέοι δὲ σπαρείσας αὐτὰς εἰς τὰ προσήκοντα ἑκάστοις ἕκαστα ὄργανα χρόνου φῦναι ζώων τὸ θεοσεβέστατον· διπλῆς δὲ οὔσης τῆς ἀνθρωπίνης φύσεως, τὸ κρεῖττον τοιοῦτον εἴη γένος, ὃ καὶ ἔπειτα κεκλήσοιτο ἀνήρ.

[1]) Cfr. Psalm. CII, 26. 27. (CI.)

[2]) Libri editi (v. c. edd. Spenc.) ἢ βατράχου σῶμα τὸ αἰθέριον, sed Mss. ut in nostro textu. R.

[3]) Cfr. I Cor. XV, 40.

ἄλλη δὲ ἐπιγείων, καὶ οὐδὲ τῶν οὐρανίων[1]) ἡ αὐτή· »ἄλλη[2]) γὰρ δόξα ἡλίου, καὶ ἄλλη δόξα ἀστέρων,« καὶ ἐν αὐτοῖς δὲ τοῖς ἄστροις, ἀστὴρ »ἀστέρος διαφέρει ἐν δόξῃ.« Διὸ καὶ τὴν ἀνάστασιν τῶν νεκρῶν ἀποδεχόμενοι, μεταβολάς φαμεν γίνεσθαι ποιοτήτων τῶν ἐν σώμασιν· ἐπεὶ σπειρόμενά[3]) τινα αὐτῶν ἐν φθορᾷ ἐγείρεται ἐν ἀφθαρσίᾳ· καὶ σπειρόμενα[4]) ἐν ἀτιμίᾳ ἐγείρεται ἐν δόξῃ· καὶ σπειρόμενα ἐν ἀσθενείᾳ ἐγείρεται ἐν δυνάμει· καὶ σπειρόμενα[5]) σώματα ψυχικὰ ἐγείρεται πνευματικά. Περὶ δὲ τοῦ, τὴν ὑποκειμένην ὕλην (203) δεκτικὴν εἶναι ποιοτήτων, ὧν ὁ δημιουργὸς βούλεται, πάντες οἱ πρόνοιαν παραδεξάμενοι κατασκευάζομεν· καὶ βουλομένου μὲν θεοῦ, ποιότης τοιαδὶ[6]) νῦν ἐστι περὶ τήνδε τὴν ὕλην, ἐξῆς δὲ τοιαδὶ,[7]) φέρ' εἰπεῖν, βελτίων καὶ διαφέρουσα. Ἐπεὶ δὲ καὶ ὁδοί εἰσι τεταγμέναι τῶν[8]) ἐν σώμασι μεταβολῶν, ἓξ οὗ κόσμος ἐστὶ, καὶ εἰς ὅσον ἐστίν· οὐκ οἶδα εἰ, καινῆς[9]) διαδεξαμένης ὁδοῦ καὶ ἀλλοίας μετὰ τὴν τοῦ κόσμου φθορὰν, καὶ ἣν οἱ ἡμέτεροι λόγοι ὀνομάζουσι συντέλειαν, οὐ θαυμαστὸν, εἰ ἐπὶ τοῦ παρόντος ἐξ ἀνθρώπου νεκροῦ μεταπλασσόμενος ὄφις,[10]) ὡς οἱ πολλοί φασι,

---

[1]) Codd. Reg. et Basileensis: ἐπουρανίων. R.

[2]) Cfr. I Cor. XV, 41. [3]) Cfr. I Cor. XV, 42.

[4]) Cfr. I Cor. XV, 43. [5]) Cfr. I Cor. XV, 44.

[6]) Mss. (itemq. edd. Spenc. ad marg.) τοιαδί. Libri editi (v. c. edd. Spenc. in textu): τοιάδε. R.

[7]) Mss. (itemq. edd. Spenc. ad marg.) τοιαδί. Libri editi (v. c. edd. Spenc. in textu): τοιάδε. R.

[8]) Codd. Reg. et Basileensis (itemq. edd. Spenc. ad marg.) τῶν ἐν σώμασι μεταβολῶν. Libri editi (v. c. edd. Spenc.) in textu: τῶν ἐν σώματι μεταβολῶν. R.

[9]) Boherell. in notis: »Lego: διαδεξομένης.« — Cfr. Origen. lib. de Principiis lib. III. cap. 5. coll. lib. II. cap. III.

[10]) Plin. lib. X. cap. 66. Anguem ex medulla ho-

γίγνεται ἀπὸ τοῦ νωτιαίου μυελοῦ, καὶ ἐκ βοὸς μέλισσα,[1]) καὶ ἐξ ἵππου σφὴξ, καὶ ἐξ ὄνου κανθαρὶς, καὶ ἁπαξαπλῶς ἐκ τῶν πλείστων σκώληκες. Οἴεται δὲ τοῦτο ὁ Κέλσος κατασκευαστικὸν εἶναι τοῦ μηδὲν τούτων ἔργον εἶναι θεοῦ· ἀλλὰ τὰς ποιότητας, οὐκ οἶδ' ὁπόθεν οὕτω τεταγμένας ἐκ τῶνδε τάσδε γίνεσθαι, οὐχὶ θείου τινὸς λόγου ἔργον εἶναι, τὰς ἐν τῇ ὕλῃ ποιότητας ἀμείβοντος.

58. Ἔτι δὲ καὶ τοῦτό φαμεν τῷ Κέλσῳ, εἰπόντι, ὅτι[2]) »ψυχὴ μὲν θεοῦ ἔργον, σώματος δὲ ἄλλη φύσις·« καὶ οὐ μόνον ἀκατασκευάστως τὸ τηλικοῦτον δόγμα ῥίψαντι, ἀλλὰ καὶ ἀδιορίστως· οὐ γὰρ ἐσαφήνισε, πότερον πᾶσα ψυχὴ θεοῦ ἔργον, ἢ μόνη ἡ λογική. Φαμὲν τοίνυν πρὸς αὐτόν· εἰ μὲν πᾶσα ψυχὴ θεοῦ ἔργον, δηλονότι καὶ τῶν ἀλόγων καὶ εὐτελεστάτων· ἵνα καὶ παντὸς σώματος ἄλλη φύσις ᾖ παρὰ τὴν τῆς ψυχῆς. Ἔοικε μέν τοι ἐν τοῖς ἑξῆς, ἐν οἷς »καὶ θεοφιλέστερα τὰ ἄλογα ζῶά φησιν ἡμῶν,« καὶ τοῦ θείου τὴν ἔννοιαν ἔχειν καθαρωτέραν, παριστάνειν, ὅτι οὐ μόνον ἡ τῶν ἀνθρώπων, ἀλλὰ πολὺ μᾶλλον καὶ ἡ τῶν ἀλόγων ζώων ψυχὴ, ἔργον ἐστὶ τοῦ θεοῦ· τοῦτο γὰρ ἀκολουθεῖ τῷ θεοφιλέστερα λέγεσθαι ἐκεῖνα ἡμῶν. Εἰ δὲ μόνη ἡ λογικὴ ψυχὴ θεοῦ ἔργον ἐστί· πρῶτον μὲν οὐκ ἐσαφήνισε[3]) τὸ τοιοῦτον· δεύτερον δὲ ἀκολουθεῖ τῷ ἀδιορίστως εἰρῆσθαι περὶ τῆς ψυχῆς, ὡς οὐ πάσης, ἀλλὰ μόνης τῆς λογικῆς οὔσης θεοῦ ἔργον, τὸ μηδὲ παντὸς σώματος[4])

---

minis spinae gigni accepimus a multis. Ovid. Metamorphos. lib. XV. fab. 4.

Sunt, qui, cum clauso putrefacta est spina sepulcro,
Mutari credant humanas angue medullas.

[1]) Cfr. Plin. lib. XI. cap. 20. coll. Suid. in *Βούπαις*, *Ἵπποι* et *Κάνθαρος*.

[2]) In edd. Spenc. uncis inclusum legitur *ὅτι*.

[3]) Ita recte Cod. Basileensis. Libri autem editi (v. c. edd. Spenc.) *ἐσαφήνισας*. R.

[4]) Sic Cod. Jolian. (itemq. Boherell. in not.) In li-

ἄλλην εἶναι φύσιν. Εἰ δὲ μὴ παντὸς σώματος ἄλλη φύσις, ἀλλ' [1]) ἑκάστου ἐστὶ τὸ σῶμα ζώου ἀνάλογον τῇ ψυχῇ· δῆλον, ὅτι οὗ ψυχὴ θεοῦ ἔργον ἐστί, διαφέροι ἂν τὸ ταύτης σῶμα σώματος, ἐν ᾧ οἰκεῖ ψυχὴ οὐκ οὖσα ἔργον θεοῦ. Καὶ οὕτω ψεῦδος ἔσται τὸ μηδὲν διοίσειν νυκτερίδος, ἢ εὐλῆς, ἢ βατράχου σῶμα παρὰ τὸ τοῦ ἀνθρώπου.

59. Καὶ γὰρ ἄτοπον, λίθους μὲν λίθων, καὶ οἰκοδομήματα οἰκοδομημάτων νομίζεσθαι εἶναι καθαρώτερα ἢ μιαρώτερα, παρὰ τὸ εἰς τιμὴν τοῦ θείου κατεσκευάσθαι, ἢ εἰς ἀτιμοτάτων σωμάτων καὶ ἐναγῶν ὑποδοχήν· σώματα δὲ σωμάτων μὴ διαφέρειν, παρὰ τὸ λογικὰ εἶναι τὰ ἐνοικήσαντα, ἢ ἄλογα, καὶ λογικῶν τὰ σπουδαιότερα, ἢ τοὺς φαυλοτάτους ἀνθρώπους. Τὸ τοιοῦτόν γε πεποίηκε τολμῆσαί τινας (204) ἀποθεῶσαι μὲν τὰ τῶν διαφερόντων σώματα, ὡς δεξάμενα ψυχὴν σπουδαίαν· ἀποῤῥίψαι δὲ ἢ ἀτιμάσαι τὰ τῶν φαυλοτάτων· οὐχ ὅτι πάντως τὸ τοιοῦτον ὑγιῶς γεγένηται, ἀλλ' ὅτι ἀπό τινος ἐννοίας ὑγιοῦς ἔσχε τὴν ἀρχήν. Ἢ ὁμοίως ὁ σοφὸς μετὰ τὴν τελευτὴν Ἀνύτου, καὶ Σωκράτους φροντίσει τῆς ταφῆς τοῦ Σωκράτους σώματος καὶ τῆς Ἀνύτου; Καὶ τὸ παραπλήσιον ἀμφοτέροις κατασκευάσει ἠρίον, ἢ τάφον; Καὶ ταῦτα διὰ τό· »ὧν οὐδὲν ἔργον θεοῦ·« (τοῦ »ὧν« ἀναφερομένου ἐπὶ τὸ τοῦ ἀνθρώπου σῶμα, ἢ τῶν ἐκ τοῦ σώματος ὄφεων· καὶ ἐπὶ τὸ βοὸς, ἢ τῶν ἐκ τοῦ σώματος βοὸς μελισσῶν· καὶ ἐπὶ τὸ ἵππου, ἢ ὄνου, καὶ τῶν ἐξ ἵππου μὲν σφηκῶν, ἐξ ὄνου δὲ κανθάρων·) δι' ἃ ἠναγκάσθημεν ἐπαναλαβεῖν καὶ τό· »ψυχὴ μὲν θεοῦ ἐστιν ἔργον, σώματος δὲ ἄλλη φύσις.«

---

bris editis (v. c. edd. Spenc.) deest: ἄλλην. Cod. Basileensis: σώματος εἶναι φύσιν τὴν αὐτήν. R.

[1]) Libri editi (v. c. edd. Spenc.) in textu: ἀλλ' ἑκάστου δὲ τὸ σῶμα. R. — Edd. Spenc. ad marg. ἀλλ' ἑκάστου ἐστὶ τὸ σῶμα.

60. *Εἶθ' ἑξῆς φησιν, ὅτι »κοινὴ ἡ πάντων τῶν προειρημένων σωμάτων φύσις, καὶ μία εἰς ἀμοιβὴν παλίντροπον ἰοῦσα καὶ ἐπανιοῦσα.« Καὶ πρὸς τοῦτο δὲ δῆλον ἐκ τῶν προειρημένων, ὅτι οὐ μόνον τῶν προκατειλεγμένων σωμάτων κοινή ἐστιν ἡ φύσις, ἀλλὰ καὶ τῶν ἐπουρανίων. Καὶ εἴπερ τοῦθ' οὕτως ἔχει· δῆλον, ὅτι κατ' αὐτὸν, (οὐκ οἶδα δὲ, εἰ κατὰ τὴν ἀλήθειαν,) μία εἰς ἀμοιβὴν παλίντροπον ἰοῦσά ἐστιν ἡ πάντων σωμάτων φύσις καὶ ἐπανιοῦσα. Καὶ δῆλον μὲν, ὅτι κατὰ τοὺς φθείροντας*[1] *τὸν κόσμον τοῦθ' οὕτως ἔχει· πειράσονται δὲ δεικνύναι καὶ οἱ μὴ φθείροντες αὐτὸν, μετὰ*[2] *τοῦ μὴ προσίεσθαι πέμπτον σῶμα, ὅτι καὶ κατ' αὐτοὺς μία εἰς ἀμοιβὴν παλίντροπον ἰοῦσα καὶ ἐπανιοῦσά ἐστιν ἡ*[3] *πάντων σωμάτων φύσις. Οὕτω δὲ καὶ τὸ*[4] *ἀπολλύμενον εἰς μεταβολὴν διαμένει· τὸ*[5] *γὰρ ὑποκείμενον ἡ ὕλη, ἀπολλυμένης τῆς ποιότητος,*

---

[1]) Libri editi (v. c. edd. Spenc.) in margine: *φθείραντας*. R.

[2]) Mss. (itemq. edd. Spenc., uncis voc. *μή* appositis): *μετὰ τοῦ μὴ προσίεσθαι*. Gelenius non agnovit particulam: *μή*. R.

[3]) Mss. *ἡ πάντων σωμάτων φύσις*. Libri editi (v. c. edd. Spenc., uncis voc. *ἀνθρώπων* appositis): *ἡ πάντων ἀνθρώπων σωμάτων φύσις*. R.

[4]) Recte omnino habet Cod. Basileensis: *τὸ ἀπολλύμενον εἰς μεταβολὴν διαμένει*. Nam quod destruitur in mundo, *ἀπόλλυται εἰς μεταβολήν*, cum in materiam alius modus destructo priore succedat, sicque materia manere quidem, sed alio modo affecta existimetur. Libri editi (v. c. edd. Spenc., uncis voc. *ἐστι* appositis) corrupte habent: *τὸ ἀπολλύμενόν ἐστι, μεταβολὴν διαμένει*. R. — Boherell. in notis: »Legendum videtur: *τὸ ἀπολλύμενον ἐπὶ μεταβολῇ διαμένει*.«

[5]) Libri editi (v. c. edd. Spenc.) in margine: *τὸ γὰρ ὑποκείμενον*, melius quam in textu: *τὸ γὰρ ὑπομένον*. R.

διαμένει, κατὰ τοὺς ἀγέννητον αὐτὴν εἰσάγοντας. Ἐὰν μέντοι γε δυνηθῇ τις παραδεῖξαι λόγος οὐκ ἀγέννητον [1]) αὐτὴν, ἀλλὰ πρός τινα χρείαν γεγονέναι· δῆλον, ὅτι οὐχ ἕξει φύσιν περὶ [2]) διαμονῆς τὴν αὐτὴν, τῷ [3]) ἀγέννητος ὑποτεθεῖσθαι. Ἀλλ' οὐ ταῦτα νῦν πρόκειται, ἁπαντῶσιν ἡμῖν πρὸς τὰς Κέλσου κατηγορίας, φυσιολογεῖν.

61. Φησὶ δ' ὅτι »καὶ ὕλης ἔκγονον οὐδὲν ἀθάνατον.« Καὶ πρὸς τοῦτο λελέξεται, ὅτι εἴπερ ὕλης οὐδὲν ἔκγονον ἀθάνατον, ἦτοι ἀθάνατος ὅλος ὁ κόσμος, καὶ οὐχ ὡς ὕλης ἐστὶν ἔκγονον, καὶ [4]) οὐδ' αὐτὸς χρῆμά ἐστιν ἀθάνατον. Εἰ μὲν οὖν ἀθάνατος ὁ κόσμος, ὅπερ ἀρέσκει καὶ τοῖς θεοῦ ἔργον εἰποῦσι μόνην τὴν ψυχὴν, καὶ ἀπό τινος αὐτὴν κρατῆρος γεγονέναι λέγουσι· δεικνύτω ὁ Κέλσος οὐκ ἐξ ὕλης ἀποίου αὐτὸν γεγονέναι, τηρῶν τό· »ὕλης ἔκγονον οὐδὲν ἀθάνατον.« Εἰ δ', ἐπεὶ ὕλης ἔκγονόν ἐστιν ὁ [5]) κόσμος, οὐκ ἔστιν ἀθάνατον ὁ κόσμος· θνητὸν ὁ κόσμος, ἆρ' οὖν καὶ φθειρόμενον, ἢ μή; Εἰ μὲν γὰρ φθειρόμενον, ὡς [6]) θεοῦ (205) ἔργον ἔσται φθειρόμενον· εἶτ' ἐν τῇ φθορᾷ τοῦ κόσμου τὸ ἔργον τοῦ θεοῦ ἡ ψυχὴ τί ποιήσει; Λεγέτω ὁ Κέλσος. Εἰ δὲ, διαστρέφων τὴν ἔννοιαν τοῦ ἀθανάτου, φήσει τῷ φθαρτῷ μὲν, οὐ φθειρομένῳ δὲ, ἀθάνατον αὐτὸν

---

[1]) Libri editi (v. c. edd. Spenc.) in margine: ἀγένητον. R.

[2]) Guieto scribendum videtur: πρὸς διαμονὴν τὴν αὐτήν. R.

[3]) Libri editi (v. c. edd. Spenc.) in margine habent: τῷ ἀγέννητος ὑποτεθεῖσθαι. R.

[4]) Ruaeus non male in notis: »Lego cum Boherello et Guieto; ἢ οὐδ' αὐτός« κτλ.

[5]) Edd. Spenc., uncis voc. καί appositis: ὁ κόσμος, καὶ οὐκ ἔστιν ἀθάνατον κτλ.

[6]) Edd. Spenc. et Ruaei in textu: ὡς θεοῦ ἔργον, ed. vero Ruaei rectissime, ut jure videtur, in notis: »Lego cum Boherello et Guieto: ὡς οὐ θεοῦ ἔργον.«

εἶναι, ὡς δεκτικὸν μὲν θανάτου, οὐ μὴν δὲ καὶ ἀποθνήσκοντα· δῆλον, ὅτι ἔσται τι κατ' ἐκεῖνον θνητὸν ἅμα καὶ ἀθάνατον, τῷ ἀμφοτέρων εἶναι δεκτικόν· καὶ ἔσται θνητὸν οὐκ ἀποθνῆσκον, καὶ τὸ οὐ τῇ φύσει ἀθάνατον, παρὰ τὸ μὴ ἀποθνήσκειν, ἰδίως λεγόμενον ἀθάνατον. Κατὰ ποῖον οὖν σημαινόμενον διαστελλόμενος φήσει, ὕλης ἔκγονον οὐδὲν ἀθάνατον; Καὶ ὁρᾷς, ὅτι πιεζόμενα αὐτὰ καὶ βασανιζόμενα τὰ ἐν τοῖς γράμμασι νοήματα, διελέγχεται οὐκ ἐπιδεχόμενα τὸ [1]) γενναῖον καὶ ἀναντίῤῥητον. Εἰπὼν δὲ ταῦτα ἐπιφέρει, ὅτι »τοῦδε μὲν περὶ ἀπόχρη τοσαῦτα· καὶ εἴ τις ἐπὶ πλεῖον ἀκούειν δύναιτο καὶ ζητεῖν, εἴσεται.« Ἴδωμεν οὖν ἡμεῖς οἱ κατ' αὐτὸν ἀνόητοι, τί ἠκολούθησε τῷ κἂν ἐπ' ὀλίγον ἡμᾶς αὐτοῦ ἀκούειν δυνηθῆναι, καὶ ζητεῖν.

62. Ἐξῆς τούτοις τὰ διὰ πολλῶν καὶ οὐκ εὐκαταφρονήτων λόγων ποικίλως ζητηθέντα περὶ φύσεως κακῶν, καὶ διαφόρως ἑρμηνευθέντα, δι' ὀλίγων λεξειδίων οἴεται δύνασθαι ἡμᾶς μαθεῖν, φάσκων· »Κακὰ δ' ἐν τοῖς οὖσιν οὔτε πρόσθεν, οὔτε νῦν, οὔτε αὖθις ἔτι καὶ πλείω γένοιτ' ἄν. Μία γὰρ ἡ τῶν ὅλων φύσις, καὶ ἡ αὐτή· καὶ κακῶν γένεσις ἀεὶ ἡ αὐτή.« Ἔοικε δὲ καὶ ταῦτ' ἀπὸ τῶν ἐν τῷ Θεαιτήτῳ παραπεφράσθαι, ἐν οἷς ἔλεγεν ὁ παρὰ Πλάτωνι Σωκράτης· »Ἀλλ' [2]) οὔτε τὰ κακὰ ἐξ ἀνθρώπων ἀπολέσθαι δυνατὸν, οὔτε παρὰ θεοῖς αὐτὰ ἱδρύσθαι,« καὶ τὰ ἑξῆς. Καὶ δοκεῖ μοι μηδὲ

---

[1]) Sic Mss. Libri vero editi (v. c. edd. Spenc.): τὸ ἀναγκαῖον γενναῖον ἀναντίῤῥητον. Guieto mihique glossema videtur: ἀναγκαῖον, quod in editis (v. c. edd. Spenc.) includitur uncinulis. R.

[2]) Plato in Theaeteto pag. 176. Ἀλλ' οὔτ' ἀπολέσθαι τὰ κακὰ δυνατὸν, ὦ Θεόδωρε· ὑπεναντίον γάρ τι τῷ ἀγαθῷ ἀεὶ εἶναι ἀνάγκη· οὔτ' ἐν θεοῖς αὐτὰ ἱδρύσθαι· τὴν δὲ θνητὴν φύσιν, καὶ τόνδε τὸν τόπον περιπολεῖ ἐξ ἀνάγκης.

Πλάτωνος ἀκριβῶς ἀκηκοέναι ὁ τὴν ἀλήθειαν ἐκπεριλαμβάνων ἐν τῷ ἑνὶ τούτῳ συγγράμματι, καὶ ἐπιγράφων ἀληθῆ λόγον τὸ καθ' ἡμῶν ἑαυτοῦ βιβλίον. Ἡ γὰρ ἐν τῷ Τιμαίῳ λέξις φάσκουσα· »ὅταν[1] *δ' οἱ θεοὶ τὴν γῆν ὕδατι καθαίρωσι·« δεδήλωκεν,*[2] *ὅτι καθαιρομένη ἡ γῆ τοῖς ὕδασιν ἧττονα ἔχει τὰ κακὰ, παρὰ τὸν πρὸ τοῦ καθαίρεσθαι χρόνον. Καὶ τοῦτό φαμεν κατὰ Πλάτωνα, τὸ ἧττονα εἶναί ποτε τὰ κακὰ, διὰ τὴν ἐν τῷ Θεαιτήτῳ λέξιν, φάσκουσαν μὴ δύνασθαι ἀπολέσθαι ἐξ ἀνθρώπων τὰ κακά.*

63. *Οὐκ οἶδα δὲ, τίνα τρόπον πρόνοιαν τιθεὶς, ὅσον ἐπὶ ταῖς λέξεσι τοῦ βιβλίου τούτου, οὔτε πλείονα, οὔτ' ἐλάττονα, ἀλλ' οἱονεὶ ὡρισμένα φησὶν εἶναι τὰ κακά· ἀναιρῶν δόγμα κάλλιστον περὶ τοῦ ἀόριστον εἶναι τὴν κακίαν, καὶ τὰ κακὰ, καὶ τῷ ἰδίῳ λόγῳ ἄπειρα. Καὶ*[3] *ἔοικε τῷ μήτε ἧττω, μήτε πλείονα κακὰ γεγονέναι, ἢ εἶναι, ἢ ἔσεσθαι, ἀκολουθεῖν, ὅτι ὥσπερ κατὰ τοὺς ἀφθαρτον τὸν κόσμον τηροῦντας τὸ ἰσοστάσιον τῶν στοιχείων ἀπὸ τῆς προνοίας γίνεται, οὐκ ἐπιτρεπούσης πλεονεκτεῖν τὸ ἓν αὐτῶν, ἵνα μὴ ὁ κόσμος φθαρῇ·* (206) *οὕτως οἱονεὶ πρόνοιά τις ἐφέστηκε τοῖς κακοῖς, τοσοῖσδε τυγχάνουσιν, ἵνα μήτε πλείονα γένηται, μήτε ἧττονα. Καὶ ἄλλως δ' ἐλέγχεται ὁ τοῦ Κέλσου περὶ τῶν κακῶν λόγος ἀπὸ τῶν ἐξετασάντων φι-*

---

[1]) Plato in Timaeo pag. 22. *Ὅταν δ' αὖ οἱ θεοὶ τὴν γῆν ὕδασι καθαίροντες κατακλύζωσιν, οἱ μὲν ἐν τοῖς ὄρεσι διασώζονται βουκόλοι νομεῖς τε, οἱ δ' ἐν ταῖς παρ' ὑμῖν πόλεσιν εἰς τὴν θάλατταν ὑπὸ τῶν ποταμῶν φέρονται· κατὰ δὲ τήνδε τὴν χώραν οὔτε τότε, οὔτε ἄλλοτε ἄνωθεν ἐπὶ τὰς ἀρούρας ὕδωρ ἐπιῤῥεῖ, τὸ δ' ἐναντίον κάτωθεν ἐπανιέναι πέφυκεν.*

[2]) Sic Codd. Reg. et Basileensis. Libri editi (v. c. edd. Spenc.) *δεδήλωται ὅτι.* R.

[3]) Boherell. in notis: »Legendum forte: *καί τοι ἔοικε.*«

θνητοῖς [1]) ἐμπολιτεύεται· ὁμοία δ' ἀπ' ἀρχῆς εἰς τέλος ἡ τῶν θνητῶν περίοδος· καὶ κατὰ τὰς τεταγμένας ἀνακυκλήσεις, [2]) ἀνάγκη τὰ αὐτὰ ἀεὶ καὶ γεγονέναι, καὶ εἶναι, καὶ ἔσεσθαι.« Καὶ ὁ μὲν Κέλσος φησὶ τὴν τῶν κακῶν γένεσιν [3]) οὐ ῥᾴδιον εἶναι γνῶναι τῷ μὴ φιλοσοφήσαντι· ὡς τοῦ μὲν φιλοσοφοῦντος γνῶναι τὴν γένεσιν [4]) αὐτῶν δυναμένου ῥᾳδίως, τοῦ δὲ μὴ φιλοσοφοῦντος, οὐ ῥᾳδίως μὲν οἷόν τε ὄντος θεωρεῖν τὴν γένεσιν [5]) τῶν κακῶν, πλὴν εἰ καὶ μετὰ καμάτου, ἀλλά γε δυνατοῦ ὄντος γνῶναι. Ἡμεῖς δὲ καὶ πρὸς τοῦτό φαμεν, ὅτι τὴν τῶν κακῶν γένεσιν [6]) οὐδὲ τῷ φιλοσοφήσαντι γνῶναι ῥᾴδιον· τάχα δὲ οὐδὲ τούτοις καθαρῶς αὐτὴν γνῶναι δυνατὸν, ἐὰν μὴ θεοῦ ἐπιπνοίᾳ καὶ τίνα τὰ κακὰ τρανωθῇ· καὶ πῶς ὑπέστη δηλωθῇ· καὶ τίνα τρόπον ἀφανισθήσεται νοηθῇ. Ἐν κακοῖς γοῦν οὔσης καὶ τῆς περὶ θεοῦ ἀγνοίας, ὄντος δὲ μεγίστου κακοῦ καὶ τοῦ μὴ εἰδέναι τὸν τρόπον τῆς τοῦ θεοῦ θεραπείας, καὶ τῆς εἰς αὐτὸν εὐσεβείας· πάντως μὲν καὶ κατὰ Κέλσον τινὲς τῶν φιλοσοφησάντων οὐκ ἔγνωσαν, ὅπερ δῆλόν ἐστιν ἐκ τῶν διαφόρων ἐν φιλοσοφίᾳ αἱρέσεων· καθ' ἡμᾶς δὲ οὐδεὶς, μὴ ἐγνωκὼς κακὸν εἶναι τὸ νομίζειν εὐσέβειαν σώζεσθαι ἐν τοῖς καθεστηκόσι κατὰ τὰς κοινότερον νοουμένας πολιτείας νόμοις, οἷός τε ἔσται τὴν γένεσιν [7]) γνῶναι τῶν κακῶν. Καὶ οὐδεὶς μὴ διαλαβὼν τὰ περὶ τοῦ καλουμένου διαβόλου καὶ τῶν ἀγγέλων αὐτοῦ, τίς τε πρὸ τοῦ διάβολος γεγενῆ-

---

[1]) Ita recte Cod. Julian. in margine (itemque Boherell. in not.), sicque legendum ex libr. huj. num. 66. Libri editi (v. c. edd. Spenc.) male: *κακοῖς ἐμπολιτεύεται*. R. — Cfr. pag. 101. not. 7. et 9.

[2]) Ita libri huj. num. 67. Alias: *ἀνακυκλώσεις*. Boherellus. — Cfr. pag. 102. not. 4. et 6.

[3]) Cfr. pag. 99. not. 4. [4]) Cfr. pag. 99. not. 4.

[5]) Cfr. pag. 99. not. 4. [6]) Cfr. pag. 99. not. 4.

[7]) Cfr. pag. 99. not. 4.

σθαι[1]) οὗτος ἦν· καὶ πῶς γεγένηται διάβολος· καὶ τίς ἡ αἰτία τοῦ συναποστῆναι αὐτῷ τοὺς καλουμένους αὐτοῦ ἀγγέλους· οἷός τε ἔσται γνῶναι τὴν γένεσιν[2]) τῶν κακῶν. Δεῖ δὲ τὸν μέλλοντα ταύτην εἰδέναι, καὶ περὶ δαιμόνων ἀκριβέστερον διειληφέναι, ὅτι τε μή εἰσι, καθὸ δαίμονές εἰσι, δημιουργηματα τοῦ θεοῦ, ἀλλὰ μόνον καθὸ λογικοί τινες· καὶ πόθεν ἐληλύθασιν ἐπὶ τὸ τοιοῦτοι γενέσθαι, ὡς ἐν καταστάσει δαιμόνων αυτων ὑποστῆναι τὸ ἡγεμονικόν. Εἴπερ οὖν ἄλλος τις τόπος τῶν ἐν ἀνθρώποις ἐξετάσεως δεόμενος, δυσθήρατός ἐστι τῇ φύσει ἡμῶν, ἐν τούτοις καὶ ἡ τῶν κακῶν ταχθείη ἂν γένεσις.[3])

66. Εἶτα, ὡς ἔχων μέν τινα περὶ τῆς τῶν κακῶν γενέσεως[4]) εἰπεῖν ἀποῤῥητότερα, σιωπῶν δ' ἐκεῖνα, καὶ τὰ πλήθεσιν ἁρμόζοντα λέγων, φησὶ τὸ »ἐξαρκεῖν εἰρῆσθαι εἰς[5]) πλῆθος περὶ τῆς τῶν κακῶν γενέσεως, ὡς ἐκ θεοῦ μὲν οὐκ[6]) ἔστι κακὰ, ὕλῃ δὲ πρόσκειται, καὶ τοῖς[7]) θνητοῖς ἐμπολιτεύεται.« Ἀληθὲς μὲν οὖν, ὅτι οὐκ ἔστι κακὰ ἐκ θεοῦ. Καὶ κατὰ τὸν Ἱερεμίαν γὰρ ἡμῶν σαφὲς, ὅτι »ἐκ[8]) στόματος κυρίου οὐκ ἐξελεύσεται τὰ κακὰ, καὶ τὸ ἀγαθόν·« τὸ δὲ τὴν ὕλην τοῖς[9]) θνητοῖς ἐμπολιτευομένην αἰτίαν εἶναι τῶν κακῶν, καθ' ἡμᾶς οὐκ ἀληθές. Τὸ γὰρ ἑκάστου ἡγεμονικὸν, αἴτιον

---

[1]) Libri editi (v. c. edd. Spenc.) in margine male: γένηται. R.

[2]) Cfr. pag. 99. not. 4.

[3]) Cfr. pag. 99. not. 4.

[4]) Cfr. pag. huj. not. 3.

[5]) Libri editi (v. c. edd. Spenc.) in margine: πρὸς πλῆθος. R.

[6]) Libri editi (v. c. edd. Spenc.) in margine: οὐκ ἔστι κακόν. R.

[7]) Cfr. pag. 100. not. 1.

[8]) Cfr. Thren. III, 38.

[9]) Cfr. pag. 100. not. 1.

τῆς ὑποστάσης ἐν αὐτῷ κακίας ἐστὶν, ἥτις ἐστὶ τὸ κακόν· κακὰ δὲ καὶ αἱ ἀπ' αὐτῆς πράξεις· (208) καὶ ἄλλο οὐδὲν, ὡς πρὸς ἀκριβῆ λόγον, καθ' ἡμᾶς ἐστι κακόν. Ἀλλ' οἶδα τὸν λόγον δεόμενον πολλῆς ἐξεργασίας καὶ κατασκευῆς, (χάριτι θεοῦ φωτίζοντος τὸ ἡγεμονικὸν,) δυναμένων γενέσθαι τῷ κριθέντι ὑπὸ θεοῦ ἀξίῳ [1]) καὶ τῆς περὶ τὸν τόπον τοῦτον γνώσεως.

67. Οὐκ οἶδα δὲ, πῶς χρήσιμον ἔδοξε τῷ Κέλσῳ καθ' ἡμῶν γράφοντι παραλήψασθαι [2]) δόγμα, πολλῆς δεόμενον κἂν δοκούσης ἀποδείξεως, κατὰ τὸ δυνατὸν παρισάσης, [3]) ὅτι »ὁμοία ἀπ' ἀρχῆς εἰς τέλος ἐστὶν ἡ τῶν ἀνητῶν περίοδος, καὶ κατὰ τὰς τεταγμένας ἀνακυκλήσεις [4]) ἀνάγκη τὰ αὐτὰ ἀεὶ καὶ γεγονέναι, καὶ εἶναι, καὶ ἔσεσθαι.« Ὅπερ ἐὰν ᾖ ἀληθὲς, τὸ ἐφ' ἡμῖν ἀνήρηται. Εἰ [5]) γὰρ κατὰ τὰς τεταγμένας ἀνακυκλήσεις [6]) ἀνάγκη τὰ αὐτὰ ἀεὶ καὶ γεγονέναι, καὶ εἶναι, καὶ ἔσεσθαι ἐν τῇ τῶν ἀνητῶν περιόδῳ· δῆλον, ὅτι ἀνάγκη ἀεὶ Σωκράτη μὲν φιλοσοφήσειν, καὶ κατηγορηθήσεσθαι ἐπὶ ξένοις [7]) δαιμονίοις, καὶ τῇ τῶν νέων διαφθορᾷ.

---

[1]) Libri editi (v. c. edd. Spenc.) in marg. male: ἀξίων. R.

[2]) Edd. Spenc. et Ruaei in textu: παραλεῖψαι, edd. tamen Ruaei, Boherello duce, in notis: Forte: παραλήψασθαι. R.

[3]) Libri editi (v. c. edd. Spenc.) in margine: παραστησάσης. Forte legendum: παραστησούσης. R.

[4]) Cfr. pag. 100. not. 2.

[5]) Edd. Spenc., uncis voc. καί appositis: Εἰ γὰρ καὶ κατὰ τὰς κτλ.

[6]) Cfr. pag. 100. not. 2.

[7]) Edd. Spenc. et Ruaei in textu: καινοῖς. Jam Boherell. vero, quem Ruaeus sequitur, in notis: »Ad oram libror. editor. (v. c. edd. Spenc.) scribitur: κενοῖς, quod propius a vero abest. Lege: ξένοις, quemadmodum e Xenophonte citat scholiastes Aristophanis, ad Νεφελῶν Act. I. Scen. III., ubi, ut hic, accusatur Socrates, tanquam τοὺς νέους διαφθείρων, καὶ ξένα δαιμόνια εἰσάγων.

Ἄνυτον[1]) δὲ καὶ Μέλιτον ἀεὶ κατηγορήσειν αὐτοῦ· καὶ τὴν ἐν Ἀρείῳ πάγῳ βουλὴν καταψηφίσεσθαι[2]) αὐτοῦ τὸν διὰ τοῦ κωνείου[3]) θάνατον. Οὕτω δὲ ἀνάγκη ἀεὶ κατὰ τὰς τεταγμένας περιόδους Φάλαριν[4]) τυραννήσειν, καὶ τὸν Φεραῖον Ἀλέξανδρον τὰ αὐτὰ ὠμοποιήσειν· τούς τε εἰς τὸν Φαλάριδος ταῦρον καταδικασθέντας ἀεὶ ἐν αὐτῷ μυκήσεσθαι. Ἅπερ ἐὰν δοθῇ· οὐκ οἶδ' ὅπως τὸ ἐφ' ἡμῖν σωθήσεται, καὶ ψόγοι καὶ ἔπαινοι καὶ ψόγοι εὐλόγως ἔσονται. Ἀελέξεται δὲ πρὸς τὴν τοιαύτην ὑπόθεσιν τῷ Κέλσῳ, ὅτι »εἴπερ ὁμοία ἐστὶν ἀπ' ἀρχῆς εἰς τέλος ἡ τῶν ὄντων ἀεὶ περίοδος, καὶ κατὰ τὰς τεταγμένας ἀνακυκλήσεις[5]) ἀνάγκη τὰ αὐτὰ ἀεὶ καὶ γεγονέναι, καὶ εἶναι, καὶ ἔσεσθαι·« ἀνάγκη ἀεὶ κατὰ τὰς τεταγμένας περιόδους Μωϋσῆν μὲν μετὰ τοῦ λαοῦ τῶν Ἰουδαίων ἐξελθεῖν ἐκ τῆς Αἰγύπτου, Ἰησοῦν δὲ πάλιν ἐπιδημῆσαι τῷ βίῳ τὰ αὐτὰ ποιήσοντα, ἅπερ οὐχ ἅπαξ, ἀλλ' ἀπειράκις κατὰ περιόδους πεποίηκεν. Ἀλλὰ καὶ Χριστιανοὶ οἱ αὐτοὶ ἔσονται ἐν ταῖς τεταγμέναις ἀνακυκλήσεσι·[6]) καὶ πάλιν Κέλσος γράψει τὸ βιβλίον τοῦτο, ἀπειράκις αὐτὸ πρότερον γράψας.

Ita Paulus Actor. XVII, 18. ab iisdem Atheniensibus ξένων δαιμονίων καταγγελεὺς dicitur.«

[1]) Tatian. Orat. contra Graecos pag. 143. Τὸν γὰρ Ζήνωνα διὰ τῆς ἐκπυρώσεως ἀποφαινόμενον ἀνίστασθαι πάλιν τοὺς αὐτοὺς ἐπὶ τοῖς αὐτοῖς· λέγω δὲ Ἄνυτον καὶ Μέλιτον ἐπὶ τῷ κατηγορεῖν, Βούσιριν δὲ ἐπὶ τῷ ξενοκτονεῖν, καὶ Ἡρακλέα πάλιν ἐπὶ τῷ ἀθλεῖν παραιτητέον.

[2]) Libri editi (v. c. edd. Spenc.) ad oram: καταψηφίσασθαι. R.

[3]) Edd. Spenc. κωνίου.

[4]) Boherell. in notis: »Legendum videri possit: Βύσιριν, ne bis de Phalari, et interjecto quidem Alexandro Pheraeo. Non puto tamen. Vide lib. V. contra Celsum num. 21. (edd. Spenc. pag. 245.) ubi eadem repetuntur exempla.«

[5]) Cfr. pag. 100. not. 2.

[6]) Cfr. pag. huj. not. 5.

68. Ὁ μὲν οὖν Κέλσος, μόνην »τὴν θνητῶν περίοδον κατὰ τὰς τεταγμένας ἀνακυκλήσεις[1]) ἐξ ἀνάγκης φησὶν ἀεὶ γεγονέναι, καὶ εἶναι, καὶ ἔσεσθαι·« τῶν[2]) δὲ Στωϊκῶν οἱ πλείους οὐ μόνον τὴν τῶν θνητῶν περίοδον τοιαύτην εἶναί φασιν, ἀλλὰ καὶ τὴν τῶν ἀθανάτων καὶ τῶν κατ' αὐτοὺς θεῶν. Μετὰ γὰρ τὴν τοῦ παντὸς ἐκπύρωσιν, ἀπειράκις γενομένην, καὶ ἀπειράκις ἐσομένην, ἡ αὐτὴ τάξις ἀπ' ἀρχῆς μέχρι τέλους πάντων γέγονέ τε καὶ ἔσται. Πειρώμενοι μέν τοι θεραπεύειν πως τὰς ἀπεμφάσεις οἱ ἀπὸ τῆς Στοᾶς, οὐκ οἶδ' ὅπως, ἀπαραλλάκτους φασὶν ἔσεσθαι κατὰ περίοδον τοῖς ἀπὸ τῶν προτέρων περιόδων πάντας· ἵνα μὴ Σωκράτης πάλιν γέννηται, ἀλλ' ἀπαράλλακτός τις τῷ Σωκράτει, γαμήσων ἀπαράλλακτον τῇ[3]) Ξανθίππῃ, καὶ κατηγορηθησόμενος (209) ὑπὸ ἀπαραλλάκτων Ἀνύτῳ καὶ Μελίτῳ. Οὐκ οἶδα δὲ, πῶς ὁ μὲν κόσμος ἀεὶ ὁ αὐτός ἐστι, καὶ οὐκ ἀπαράλλακτος ἕτερος ἑτέρῳ· τὰ δ' ἐν αὐτῷ οὐ τὰ αὐτὰ, ἀλλ' ἀπαράλλακτα. Ἀλλὰ γὰρ ὁ προηγούμενος καὶ πρὸς τὰς Κέλσου λέξεις καὶ πρὸς[4]) τοὺς ἀπὸ τῆς Στοᾶς λόγους[5]) εὐκαιρότερον ἐν ἄλλοις ἐξετασθήσε-

---

[1]) Cfr. pag. 103. not. 5.

[2]) Clemens Alexandrin. in Protrept. pag. 44. Οὐδὲ μὴν τοὺς ἀπὸ τῆς Στοᾶς παρελεύσομαι διὰ πάσης ὕλης, καὶ διὰ τῆς ἀτιμοτάτης, τὸ θεῖον διήκειν λέγοντας. Idem Stromat. I. pag. 295. Plutarch. lib. I. cap. 6. de placitis philosophorum: Ὁρίζονται δὲ τὴν τοῦ θείου οὐσίαν οἱ Στωϊκοὶ οὕτω· πνεῦμα νοερὸν καὶ πυρῶδες, οὐκ ἔχον μὲν μορφὴν, μεταβάλλον δὲ εἰς ἃ βούλεται, καὶ συνεξομοιούμενον πᾶσιν.

[3]) Edd. Spenc. et Ruaei in textu: τὴν Ξανθίππην, ed. vero Ruaei in notis: »Lego cum Boherello: τῇ Ξαντίππῃ.«

[4]) Boherell. in notis: »Legendum puto: πρὸς τὰς ἀπὸ τῆς Στοᾶς.«

[5]) Ita Cod. Basil. (itemq. Boherell. in notis), libri

ται· ἐπεὶ μὴ κατὰ τὸν παρόντα καιρὸν καὶ τὴν ἐνεστηκυῖαν πρόθεσιν ἁρμόζει ἐν τούτοις πλεονάσαι.

69. Μετὰ ταῦτα λέγει, ὅτι »οὔτε τὰ[1]) ὁρώμενα ἀνθρώπῳ δέδοται, ἀλλ' ἕκαστα τοῦ ὅλου σωτηρίας εἵνεκα γίνεταί τε καὶ ἀπόλλυται, καθ' ἣν προεῖπον ἀμοιβήν, ἐξ ἀλλήλων εἰς ἄλληλα·« περισσὸν δὲ τὸ προσδιατρίβειν τῇ τούτων ἀνατροπῇ, κατὰ δύναμιν ἡμῖν προεκτεθείσῃ. Εἴρηται δὲ καὶ εἰς τοῦτο· »οὔτε[2]) τὰ ἀγαθὰ, οὔτε τὰ κακὰ ἐν τοῖς θνητοῖς ἐλάττω ἢ πλείω γένοιτ' ἄν.« Λέλεκται καὶ εἰς τό· »οὔτε τῷ θεῷ καινοτέρας δεῖ διορθώσεως.« Ἀλλ' οὐδ' ὡς ἄνθρωπος τεκτηνάμενός τι ἐνδεῶς, καὶ ἀτεχνότερον δημιουργήσας ὁ θεὸς, προσάγει διόρθωσιν τῷ κόσμῳ, καθαίρων αὐτὸν κατακλυσμῷ, ἢ ἐκπυρώσει, ἀλλὰ τὴν χύσιν τῆς κακίας κωλύων ἐπὶ πλεῖον νέμεσθαι· ἐγὼ δ' οἶμαι, ὅτι καὶ πάντη τεταγμένως αὐτὴν ἀφανίζων[3]) συμφερόντως τῷ παντί. Εἰ δὲ μετὰ τὸν ἀφανισμὸν τῆς κακίας λόγον ἔχει τὸ πάλιν αὐτὴν ὑφίστασθαι, ἢ μή· ἐν προηγουμένῳ λόγῳ τὰ τοιαῦτα ἐξετασθήσεται.«[4]) Θέλει οὖν διὰ καινοτέρας διορθώσεως ἀεὶ ὁ θεὸς τὰ σφάλματα ἀναλαμβάνειν. Εἰ γὰρ καὶ τέτακται αὐτῷ πάντα κάλλιστα καὶ ἀσφαλέστατα κατὰ τὴν τῶν ὅλων δημιουργίαν, ἀλλ' οὐδὲν ἧττον ἰατρικῆς τινος αὐτῷ ἐδέησεν ἐπὶ[5]) τοῖς τὴν κακίαν νοσοῦσι, καὶ παντὶ τῷ κόσμῳ

---

autem impressi (v. c. edd. Spenc.) male: λόγους. R. — Cfr. pag. 104. not. 4.

[1]) Sic omnes Mss. Rectius sane quam libri editi (v. c. edd. Spenc.), a quibus abest vox: ὁρώμενα. R. — Boherell. in notis: »Adde: πάντα, quod excidit propter τὸ ὁμοιόπτωτον. Vide libri huj. num. 74.

[2]) Edd. Spenc. οὔτε δὲ τὰ ἀγαθά.

[3]) Vide hujus libri num. 10. et libr. VIII. num. 72.

[4]) Ita Codd. Regius et Basileensis. Libri vero editi (v. c. edd. Spenc.) ἐξηγηθήσεται. R.

[5]) Sic ad oram editorum (v. c. edd. Spenc.) legitur,

ὑπ' αὐτῆς ὡσπερεὶ μολυνομένῳ. Καὶ οὐδέν γε ἠμέληται τῷ θεῷ, ἢ ἀμεληθήσεται, ποιοῦντι καθ' ἕκαστον καιρὸν, ὅπερ ἔπρεπεν αὐτὸν ποιεῖν ἐν [1]) στρεπτῷ καὶ μεταβλητῷ κόσμῳ. Καὶ ὥσπερ γεωργὸς κατὰ τὰς [2]) διαφορὰς τῶν τοῦ ἐνιαυτοῦ ὡρῶν διάφορα ἔργα γεωργικὰ ποιεῖ ἐπὶ τὴν γῆν, καὶ τὰ ἐπ' αὐτῆς φυόμενα· οὕτως ὁ θεὸς οἱονεὶ ἐνιαυτούς τινας, (ἵν' οὕτως ὀνομάσω,) οἰκονομεῖ ὅλους τοὺς αἰῶνας· καθ' ἕκαστον αὐτῶν ποιῶν ὅσα ἀπαιτεῖ αὐτὸ τὸ περὶ τὰ ὅλα εὔλογον, ὑπὸ μόνου θεοῦ ὡς ἀληθείας ἔχει, τρανότατα καταλαμβανόμενον καὶ ἐπιτελούμενον.

70. Ἔθηκε δέ τινα λόγον ὁ Κέλσος περὶ τῶν κακῶν τοιοῦτον, ὅτι »κἄν σοί τι δοκῇ κακὸν, οὔπω δῆλον, εἰ κακόν ἐστιν· οὐ γὰρ οἶσθα [3]) ὅ, τι ἢ [4]) σοὶ, ἢ ἄλλῳ, ἢ [5]) τῷ ὅλῳ συμφέρει.« Καὶ ἔχει μέν τι ὁ [6]) λόγος εὐλαβές· ὑπονοεῖ δὲ καὶ τὴν τῶν κακῶν φύσιν οὐ πάντη εἶναι μοχθηρὰν, διὰ τὸ ἐνδέχεσθαι τῷ ὅλῳ συμφέρειν τὸ νομιζόμενον ἐν τοῖς καθ' ἕκαστον εἶναι κακόν. Πλὴν ἵνα μὴ παρακούσας τις τοῦ λεγομένου ἐπιτριβῆς εὕρῃ ἀφορμὴν, ὡς καὶ τῆς κακίας αὐτοῦ [7]) χρησίμου τυγχανούσης τῷ παντὶ, ἢ δυναμένης (210) γε εἶναι χρησίμου· λελέξεται ὅτι, σωζομένου τοῦ ἐφ' ἡμῖν

---

melius (Boherell. quoque probante) quam in textu: ἐπὶ τὴν τοῖς κακίαν κτλ. R.

[1]) Edd. Spenc. ἐν τρεπτῷ καὶ μεταβλητῷ κτλ.

[2]) Sic recte Mss. Male autem impressi (v. c. edd. Spenc.) τὰς διαφόρους. R.

[3]) Edd. Spenc. οἶσθα ὅτι κτλ. Jam Boherell. vero, (quem Ruaeus in textu sequitur,) in notis: »Melius: οἶσθα ὅ, τι. Sic et libri huj. num. 70. sub finem.«

[4]) Edd. Spenc. ad marg., ed. Ruaei in textu: ἢ σοι.

[5]) Edd. Spenc. ad marg. ἢ ὅτῳ.

[6]) Cod. Jolian. secunda manu habet: ὁ Κέλσος. R.

[7]) Mss. (itemq. edd. Spenc. ad marg.) αὐτοῦ. Libri editi (v. c. edd. Spenc. in textu): αὐτῆς. R.

ἑκάστῳ, κἂν συγχρήσηται τῇ κακίᾳ τῶν φαύλων εἰς τὴν διάταξιν τοῦ παντὸς ὁ θεὸς, κατατάσσων αὐτοὺς εἰς χρείαν τοῦ παντός· οὐδὲν ἧττον ψεκτός τέ ἐστιν ὁ τοιόσδε, καὶ ὡς ψεκτὸς κατατέτακται εἰς χρείαν ἀπευκταίαν μὲν ἑκάστῳ, χρήσιμον δὲ τῷ παντί. Ὡς εἰ καὶ ἐπὶ τῶν πόλεών τις ἔλεγε τὸν τάδε τινὰ ἡμαρτηκότα, καὶ διὰ τὰ ἁμαρτήματα εἴς τινα δημόσια ἔργα χρήσιμα τῷ παντὶ καταδικαζόμενον, ποιεῖν μέν τι χρήσιμον τῇ ὅλῃ πόλει, αὐτὸν δὲ γεγονέναι ἐν ἀπευκταίῳ πράγματι, καὶ ἐν ᾧ οὐδεὶς τῶν κἂν μέτριον νοῦν ἐχόντων ἐβούλετο γενέσθαι. Καὶ ὁ ἀπόστολος δὲ τοῦ Ἰησοῦ Παῦλος, διδάσκων ἡμᾶς, συνοίσειν μὲν τῇ χρείᾳ τῇ τοῦ παντὸς, καὶ τοὺς φαυλοτάτους, παρ' ἑαυτοὺς δὲ ἔσεσθαι ἐν τοῖς ἀπευκτοῖς· χρησιμωτάτους δ' ἔσεσθαι καὶ τοὺς σπουδαιοτάτους τῷ παντὶ, παρ' ἑαυτῶν αἰτίαν ἐν καλλίστῃ χώρᾳ ταχθησομένους, φησίν· »ἐν[1]) μεγάλῃ δ' οἰκίᾳ οὐκ ἔστι μόνον σκεύη χρυσᾶ καὶ ἀργυρᾶ, ἀλλὰ καὶ ξύλινα καὶ ὀστράκινα· καὶ ἃ μὲν εἰς τιμὴν, ἃ δὲ εἰς ἀτιμίαν. Ἐὰν οὖν τις ἐκκαθάρῃ ἑαυτὸν,[2]) ἔσται σκεῦος εἰς τιμὴν, ἡγιασμένον, καὶ εὔχρηστον τῷ δεσπότῃ, εἰς πᾶν ἔργον ἀγαθὸν ἡτοιμασμένον.« Καὶ ταῦτα δ' ἀναγκαῖον ὑπολαμβάνω ἐκτεθεῖσθαι πρὸς τό· »κἂν σοί τι δοκῇ κακὸν, οὔπω δῆλον, εἰ κακόν· οὐ γὰρ οἶσθα,[3]) ὅ, τι ἢ σοὶ, ἢ ἄλλῳ συμφέρει·« ἵνα μὴ ἀφορμὴν λαμβάνῃ τις ἐκ τῶν κατὰ τὸν τόπον πρὸς τὸ ἁμαρτάνειν, ὡς χρήσιμος τῷ ὅλῳ διὰ τὴν ἁμαρτίαν ἐσόμενος.

71. Ἐπεὶ δὲ μετὰ ταῦτα μὴ νοήσας τὰς περὶ θεοῦ ὡς ἀνθρωποπαθοῦς ἐν ταῖς γραφαῖς λέξεις διασύρει ὁ

---

[1]) Cfr. II Tim. II, 20. 21.

[2]) Post vocem: ἑαυτόν, libri editi (v. c. edd. Spenc.) addunt: ἀπὸ τούτων, quae uncinulis includuntur, et a Mss. omnibus absunt, ideoque e textu nostro recidimus. R. — Cfr. II Tim. II, 21.

[3]) Edd. Spenc. et Ruaei hoc loco: οἶσθα ὅτι κτλ. Sed cfr. pag. 106. not. 3.

Κέλσος, ἐν αἷς ὀργῆς λέγονται κατὰ τῶν ἀσεβῶν φωναὶ, καὶ ἀπειλαὶ κατὰ τῶν ἡμαρτηκότων· λεκτέον, ὅτι ὥσπερ ἡμεῖς τοῖς κομιδῇ νηπίοις διαλεγόμενοι, οὐ[1] *τοῦ ἑαυτῶν ἐν*[2] *τῷ λέγειν στοχαζόμεθα δυνατοῦ, ἀλλ' ἁρμοζόμενοι πρὸς τὸ ἀσθενὲς τῶν ὑποκειμένων, φαμὲν ταῦτα, ἀλλὰ καὶ ποιοῦμεν ἃ φαίνεται ἡμῖν χρήσιμα εἰς τὴν τῶν παίδων, ὡς παίδων, ἐπιστροφὴν καὶ διόρθωσιν· οὕτως ἔοικεν ὁ τοῦ θεοῦ λόγος ᾠκονομηκέναι τὰ ἀναγεγραμμένα, μετρήσας τῇ δυνάμει τῶν ἀκουόντων, καὶ τῷ πρὸς αὐτοὺς χρησίμῳ, τὸ ἐν τῇ ἀπαγγελίᾳ*[3] *πρέπον. Καὶ καθόλου γε περὶ τοῦ τοιούτου τρόπου τῆς ἀπαγγελίας*[4] *τῶν περὶ θεοῦ ἐν τῷ Δευτερονομίῳ οὕτω λέλεκται· »ἐτροποφόρησέ*[5] *σε κύριος ὁ θεός σου, ὡς εἴ τις τροποφορήσαι ἄνθρωπος τὸν υἱὸν αὐτοῦ.«*[6] *Οἱονεὶ ἀνθρώπου τρόπους πρὸς τὸ ἀνθρώποις λυσιτελὲς φορῶν ὁ λόγος τοιαῦτα λέγῃ· οὐ γὰρ ἐδέοντο οἱ πολλοὶ προσωποποιοῦντος θεοῦ ἁρμοζόντως ἑαυτῷ τὰ πρὸς τοὺς τοιούσδε λεχθησόμενα. Ἀλλ' ᾧ μέλει τῆς τῶν θείων γραμμάτων σαφηνείας, εὑρήσει ἀπ' αὐτῶν τὰ λεγόμενα πνευματικὰ*[7] *τοῖς ὀνομαζομένοις πνευματικοῖς, συγκρίνων τὸ βούλημα τῶν τε πρὸς τοὺς* (211) *ἀσθενεστέρους λεγομένων, καὶ τῶν τοῖς ἐν-*

---

[1]) Libri editi (v. c. edd. Spenc.) ad oram: *οὐ τὸ ἑαυτῶν ἐν τῷ λέγειν στοχαζόμεθα δυνατόν.* R.

[2]) Uncis inclusa leguntur in edd. Spenc. verba: *ἐν τῷ λέγειν.*

[3]) Jam Boherell., quem Ruaeus sequitur, in notis: »Recte habet Hoeschelius: *ἀπαγγελία*, male vero Spencerus: *ἐπαγγελίᾳ.*«

[4]) Jam Boherellus, quem Ruaeus sequitur, in notis: »Recte habet Hoeschelius: *ἀπαγγελίας*, male vero Spencerus: *ἐπαγγελίας.*«

[5]) Cfr. Deut. I, 31. coll. Act. XIII, 18.

[6]) Boherell. in notis: *αὐτοῦ.*

[7]) Edd. Spenceri: *πνευματικὰ, τοῖς ὀνομαζομένοις πνευματικοῖς συγκρίνων τὸ βούλημα κτλ.*

τρεχεστέροις ἀπαγγελλομένων, πολλάκις ἐν τῇ αὐτῇ λέξει ἑκατέρων τῷ εἰδότι ἀκούειν αὐτῆς κειμένων.

72. Ὀργὴν μὲν οὖν ὀνομάζομεν θεοῦ. Οὐ πάθος δ' αὐτοῦ αὐτὴν εἶναί φαμεν, ἀλλά τι παραλαμβανόμενον εἰς τὴν διὰ σκυθρωποτέρων ἀγωγῶν παίδευσιν τοῖς τὰ τοσάδε καὶ τοιάδε ἡμαρτηκόσιν. Ὅτι γὰρ παιδεύει ἡ καλουμένη ὀργὴ τοῦ θεοῦ, καὶ ὁ ὀνομαζόμενος θυμὸς αὐτοῦ, καὶ τοῦτ' ἀρέσκει τῷ λόγῳ, δῆλον ἐκ τοῦ ἐν μὲν ἕκτῳ ψαλμῷ εἰρῆσθαι· »κύριε,[1]) μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.« Ἐν δὲ τῷ Ἱερεμίᾳ· »παίδευσον[2]) ἡμᾶς, κύριε, πλὴν ἐν κρίσει· καὶ μὴ ἐν θυμῷ, ἵνα μὴ ὀλίγους ἡμᾶς ποιήσῃς.« Ἀναγνοὺς δέ τις ἐν μὲν τῇ δευτέρᾳ τῶν Βασιλειῶν[3]) ὀργὴν θεοῦ, ἀναπείθουσαν τὸν Δαυὶδ ἀριθμῆσαι τὸν λαόν· ἐν δὲ τῇ πρώτῃ τῶν Παραλειπομένων,[4]) τὸν διάβολον· καὶ συνεξετάζων ἀλλήλοις τὰ ῥητά, ὄψεται ἐπὶ τίνος τάσσεται ἡ ὀργή· ἧς καὶ τέκνα πάντας ἀνθρώπους γεγονέναι φησὶν ὁ Παῦλος, λέγων· »ἤμεθα[5]) τέκνα φύσει ὀργῆς, ὡς καὶ οἱ λοιποί.« Ὅτι δ' οὐ πάθος τοῦ θεοῦ ἐστιν ἡ ὀργή, ἀλλ' ἕκαστος αὐτῷ ταύτην δι' ὧν ἁμαρτάνει κατασκευάζει·[6]) δηλώσει ὁ Παῦλος ἐν τῷ· »ἢ[7]) τοῦ πλούτου τῆς χρηστότητος αὐτοῦ, καὶ τῆς ἀνοχῆς, καὶ τῆς μακροθυμίας καταφρονεῖς, ἀγνοῶν, ὅτι τὸ χρηστὸν τοῦ θεοῦ εἰς μετάνοιάν σε ἄγει; Κατὰ δὲ τὴν σκληρότητά σου καὶ ἀμετανόητον καρδίαν, θησαυρίζεις σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς καὶ

---

[1]) Psalm. VI, 1. coll. XXXVIII, 1. (XXXVII.)

[2]) Cfr. Jerem. X, 24.

[3]) Cfr. II Sam. XXIV, 1. seqq. (II Regg.)

[4]) Cfr. I Chron. XXI, 1. [5]) Cfr. Ephes. II, 3.

[6]) Codd. Regius, Basileensis, et duo Anglicani (itemq. edd. Spenc. ad marg.) *κατασκευάζει*. Libri impressi (v. c. edd. Spenc. in textu): *κατασκευάσει*. R.

[7]) Cfr. Rom. II, 4. 5.

ἀποκαλύψεως δικαιοκρισίας τοῦ θεοῦ.« *Πῶς οὖν δύναται ἕκαστος θησαυρίζειν ἑαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς, ὀργῆς*[1]) *τοῦ πάθους νοουμένης; Πῶς δὲ ὀργῆς πάθος παιδεύειν δύναται; Ἀλλὰ καὶ οὐκ ἂν ὁ διδάσκων λόγος ἡμᾶς μηδαμῶς ὀργίζεσθαι, καὶ φάσκων ἐν τριακοστῷ ἕκτῳ ψαλμῷ·* »παῦσαι[2]) *ἀπὸ ὀργῆς, καὶ ἐγκατάλιπε θυμόν·*« *λέγων δὲ καὶ ἐν τῷ Παύλῳ·* »ἀπόθεσθε[3]) *καὶ ὑμεῖς τὰ πάντα, ὀργήν, θυμόν, κακίαν, βλασφημίαν, αἰσχρολογίαν·*« *αὐτῷ τῷ θεῷ περιῆπτε τὸ πάθος, οὗ ἡμᾶς πάντη ἀπαλλάξειν*[4]) *βούλεται. Δῆλον δὲ τὸ τροπολογεῖσθαι τὰ περὶ ὀργῆς θεοῦ, ἐκ*[5]) *τοῦ καὶ περὶ ὕπνου αὐτοῦ ἀναγεγράφθαι, ἀφ' οὗ ὥσπερ διϋπνίζων αὐτὸν ὁ προφήτης λέγει·* »ἀνάστηθι,[6]) *ἵνα τί ὑπνοῖς, κύριε;*« *Καὶ πάλιν φησί·* »καὶ[7]) *ἐξηγέρθη ὡς ὁ ὑπνῶν κύριος, ὡς δυνατὸς καὶ κεκραιπαληκὼς ἐξ οἴνου.*« *Εἴπερ οὖν ὁ ὕπνος ἄλλο τι σημαίνει, καὶ οὐχ ὅπερ ἡ πρόχειρος ἐκδοχὴ τῆς λέξεως δηλοῖ· διατί οὐχὶ καὶ ἡ ὀργὴ παραπλησίως νοηθήσεται; Καὶ αἱ ἀπειλαὶ δὲ, ἀπαγγελίαι εἰσὶ περὶ τῶν ἀπαντησομένων τοῖς φαύλοις· ὡς εἰ ἀπειλάς τις ἔφασκεν εἶναι καὶ τοὺς τοῦ ἰατροῦ λόγους, λέγοντος τοῖς κάμνουσι· τεμῶ σε, καὶ καυστῆρας προσάξω σοι, ἐὰν μὴ πεισθῇς μου τοῖς νόμοις, καὶ οὕτως μὲν διαιτήσῃ, οὕτως δὲ σαυτὸν ἀγά-*

---

[1]) Edd. Spenc. ad marginem: *ὀργῆς νοουμένης τοῦ πάθους; Πῶς δὲ ὀργῆς κτλ.*

[2]) Psalm. XXXVII, 8. (XXXVI.)

[3]) Coloss. III, 8.

[4]) Codd. Regius, Vaticanus, et duo Anglicani: *ἀπαλλάξαι.* R.

[5]) Edd. Spenc. et Ruaei in textu: *ἐκ τοῦ καὶ ὕπνον αὐτοῦ ἀναγεγράφθαι*, ed. vero Ruaei in notis: »Codd. Regius et Basileensis: *ἐκ τοῦ καὶ περὶ ὕπνου αὐτοῦ ἀναγεγράφθαι*, quae lectio non spernenda.«

[6]) Cfr. Psalm. XLIV, 23. (XLIII.)

[7]) Cfr. Psalm. LXXVIII, 65. (LXXVII.)

γης. Οὐκ ἀνθρώπινα (212) οὖν πάθη προσάπτομεν τῷ θεῷ, οὐδὲ δυσσεβεῖς δόξας ἔχομεν περὶ αὐτοῦ, οὐδὲ πλανώμενοι τὰς περὶ [1]) τούτων διηγήσεις ἀπ' αὐτῶν τῶν γραμμάτων συνεξεταζομένων ἀλλήλοις παριστῶμεν. [2]) Οὐδὲ τὸ προκείμενον τοῖς ἐν ἡμῖν συνετῶς πρεσβεύουσι τοῦ λόγου ἄλλο ἐστὶν, ἢ εὐηθείας μὲν ἀπαλλάξαι κατὰ τὸ δυνατὸν τοὺς ἀκούοντας, ποιῆσαι δ' αὐτοὺς φρονίμους.

73. Ἀκολούθως δὲ τῷ μὴ νενοηκέναι τὰ περὶ ὀργῆς ἀναγεγραμμένα θεοῦ, φησίν· «Ἦ γὰρ οὐ καταγέλαστον, εἰ ἄνθρωπος μὲν ὀργισθεὶς Ἰουδαίοις πάντας αὐτοὺς ἠβηδὸν ἀπώλεσε, καὶ ἐπυρπόλησεν, οὕτως οὐδὲν ἦσαν· θεὸς δ' ὁ μέγιστος, ὥς φασιν, ὀργιζόμενος καὶ θυμούμενος, καὶ ἀπειλῶν, πέμπει τὸν υἱὸν αὐτοῦ, καὶ τοιαῦτα πάσχει;« Εἴπερ οὖν Ἰουδαῖοι, μετὰ τὸ διαθεῖναι τὸν Ἰησοῦν, ἅπερ ἐτόλμησαν κατ' αὐτοῦ, ἠβηδὸν ἀπώλοντο, καὶ ἐπυρπολήθησαν· οὐκ ἀπ' ἄλλης ὀργῆς, ἢ ἧς ἑαυτοῖς ἐθησαύρισαν, ταῦτα πεπόνθασι· τῆς τοῦ θεοῦ κατ' αὐτῶν κρίσεως, θεοῦ καταστήματι γεγενημένης, ὀνομαζομένης ὀργῆς πατρίῳ τινὶ Ἑβραίων ἔθει. Καὶ πάσχει γε ὁ υἱὸς τοῦ μεγίστου θεοῦ βουληθεὶς ὑπὲρ τῆς τῶν ἀνθρώπων σωτηρίας, ὡς ἐν τοῖς ἀνωτέρω κατὰ τὸ δυνατὸν ἡμῖν λέλεκται. Μετὰ [3])

---

[1]) Codd. Regius et Basileensis: περὶ τοῦτον. R.

[2]) Sic Codd. Reg. et Basileensis. Libri editi (v. c. edd. Spenc.) παρίσταμεν. R.

[3]) Cfr. Philoc. ex edd. Tarini cap. XIX., ex edd. vero Spenc. cap. XX., ubi haec tituli instar in fronte leguntur verba: Πρὸς τοὺς λέγοντας, μὴ διὰ τὸν ἄνθρωπον, ἀλλὰ διὰ τὰ ἄλογα ζῶα γεγονέναι τὸν ἅπαντα κόσμον, καὶ τοὺς ἀνθρώπους· ἐπεὶ ἀπονώτερον ἡμῶν τὰ ἄλογα ζῇ, καὶ ὅτι σοφώτερα ἡμῶν ὄντα, θεοφιλῆ τέ ἐστι, καὶ ἔννοιαν ἔχει θεοῦ, καὶ προγινώσκει τὰ μέλλοντα. Ἐν οἷς καὶ κατὰ μετεμψυχώσεως, καὶ περὶ οἰ-

ταῦτά [1]) φησιν· »Ἀλλ᾽ ὅπως μὴ περὶ μόνων Ἰουδαίων, (οὐ γὰρ τοῦτο λέγω,) ἀλλὰ περὶ τῆς ὅλης φύσεως, ὅπερ ἐπηγγειλάμην, ὁ λόγος ᾖ· σαφέστερον ἐμφανιῶ τὰ [2]) προειρημένα.« *Τίς δ᾽ οὐκ ἂν τούτοις ἐντυγχάνων μέτριος, καὶ αἰσθανόμενος τῆς ἀνθρωπίνης ἀσθενείας, οὐκ ἂν ἀχθεσθείη* [3]) *τὸ ἐπαχθὲς τοῦ* [4]) *περὶ ὅλης* [5]) *τῆς φύσεως ἐπαγγειλαμένου ἀποδοῦναι* [6]) *λόγον, καὶ ἀλαζονευσαμένου ὁμοίως ᾗ ἐτόλμησεν ἐπιγράψαι ἐπιγραφῇ τοῦ βιβλίου; Ἴδωμεν δὴ* [7]) *τίνα* [8]) *ἐστὶ τὰ, ἃ περὶ ὅλης τῆς φύσεως ἐπαγγέλλεται λέξειν, καὶ τίνα ἐμφανίσειν.*

74. *Διὰ πολλῶν* [9]) *δ᾽ ἑξῆς ἐγκαλεῖ ἡμῖν, ὡς τῷ ἀνθρώπῳ φάσκουσι πάντα* [10]) *πεποιηκέναι τὸν θεόν. Καὶ βούλεται ἐκ τῆς περὶ τῶν* [11]) *ζώων ἱστορίας, καὶ τῆς ἐμφαινομένης αὐτοῖς* [12]) *ἀγχινοίας δεικνύναι,* [13])

ωνιστικῆς, καὶ τῆς κατ᾽ αὐτὴν ἀπάτης. — Cfr. Philocal. edd. Tarini pag. 216. seqq.

[1]) Philoc. *ταῦτά φησι δηλονότι ὁ Κέλσος· Ἀλλ᾽ ὅπως κτλ.*

[2]) Philoc. Mscr., Hoeschelio teste: *τὰ εἰρημένα.*

[3]) Edd. Philoc. impressae, itemq. edd. Spenceri: *περισταίη*, Philoc. vero Mscr., Hoeschel. teste: *ἀχθεσθείη.* Ed. Ruaei, ut nos, in textu: *ἀχθεσθείη*, in notis: »Pro: *περισταίη*, recte Philoc. habet: *ἀχθεσθείη.* Nam *περισταίη* hic locum non habet, ut monuit Guietus.«

[4]) Philoc. *τοῦ περὶ τῆς ὅλης φύσεως.*

[5]) Edd. Spenc. ad oram: *ὅλου.*

[6]) Philoc. Mscr., Hoeschelio teste: *δοῦναι λόγον.*

[7]) Edd. Spenc. in textu: *δέ*, ad marg. vero: *δή.*

[8]) Philoc. *τίνα ἐστὶν, ἃ περὶ τῆς ὅλης φύσεως κτλ.*

[9]) Philoc. *πολλῶν δὴ ἑξῆς.*

[10]) Cfr. pag. 105. not. 1.

[11]) Deest *τῶν* in edd. Philocal.

[12]) Edd. Spenc. ad marg. *αὐτῷ.*

[13]) Edd. Philoc. *δεικνύναι, ὅτι οὐδὲν μᾶλλον ἀνθρώπων, ἢ τῶν ἀλόγων ζώων γέγονε τὰ πάντα.*

οὐδὲν μᾶλλον ἀνθρώπων, ἢ τῶν ἀλόγων ζώων ἕνεκεν γεγονέναι τὰ πάντα.[1]) Καὶ δοκεῖ μοι ὅμοιόν τι εἰπεῖν τοῖς διὰ τὸ πρὸς τοὺς μισουμένους ἔχθος κατηγοροῦσιν αὐτῶν, ἐφ' οἷς οἱ φίλτατοι αὐτῶν ἐπαινοῦνται. Ὥσπερ γὰρ ἐπὶ τούτων τυφλοῖ τὸ ἔχθος πρὸς τὸ μὴ συνορᾶν, ὅτι καὶ φιλτάτων κατηγοροῦσι, διὰ ὧν κακῶς λέγειν νομίζουσι τοὺς ἐχθρούς· τὸν αὐτὸν τρόπον καὶ ὁ Κέλσος συγχυθεὶς τὸν λογισμὸν, οὐχ ἑώρακεν, ὅτι καὶ τῶν[2]) ἀπὸ τῆς Στοᾶς φιλοσόφων κατηγορεῖ, οὐ[3]) κακῶς προτατόντων τὸν ἄνθρωπον, καὶ ἁπαξαπλῶς τὴν λογικὴν φύσιν, πάντων τῶν ἀλόγων· καὶ διὰ ταύτην λεγόντων προηγουμένως τὴν πρόνοιαν πάντα πεποιηκέναι.[4]) Καὶ λόγον μὲν ἔχει[5]) τὰ λογικὰ, ἅπερ ἐστὶ προηγούμενα,[6]) παίδων γεννωμένων· τὰ[7]) δ' ἄλογα καὶ τὰ ἄψυχα χωρίου[8]) συγκτιζομένου (213) τῷ παιδίῳ. Καὶ ἡγοῦμαί γε, ὅτι ὥσπερ ἐν ταῖς πόλεσιν οἱ προνοούμενοι τῶν ὠνίων καὶ τῆς ἀγορᾶς, διὰ οὐδὲν ἄλλο προνοοῦνται ἢ διὰ τοὺς ἀνθρώπους, παραπολαύουσι δὲ τῆς δαψιλείας καὶ κύνες, καὶ ἄλλα τῶν ἀλόγων· οὕτως ἡ πρόνοια τῶν μὲν λογικῶν προηγουμένως προ-

---

[1]) Cfr. pag. 105. not. 1.

[2]) Vide huj. libri num. 54.

[3]) Philoc. Mscr., Hoeschel. teste: ὡς οὐ κακῶς, edd. vero Philoc. ὡς καλῶς.

[4]) Philoc. Mscr., Hoeschel. teste: ποιεῖν.

[5]) Philoc. ἔχειν. Male.

[6]) Philoc. προηγούμενα παιδίῳ γεννωμένῳ.

[7]) Philoc. τὰ δὲ ἄλογα καὶ ἄψυχα.

[8]) Philoc. (itemq. edd. Spenc. in textu): χωρίῳ συγκτιζομένῳ. Sed Codd. Reg. et Basileensis (itemq. Boherell. in notis) rectius: χωρίου συγκτιζομένου. R. — Edd. Spenc. ad voc. χωρίῳ in marg. afferunt: χορία καὶ χορίου, ad voc. vero: συγκτιζομένῳ ibidem: συγκτιζομένου. Eaedem in notis haec habent: »Forsan legendum: χωρίον (videlicet ἔχει) συγκτιζομένων.«

νοεῖ, ἐπηκολούθησε δὲ τὸ καὶ τὰ [1]) ἄλογα ἀπολαύειν τῶν δι' ἀνθρώπους γινομένων. Καὶ ὥσπερ ἁμαρτάνει ὁ λέγων τοὺς ἀγορανόμους προνοεῖν οὐ μᾶλλον τῶν ἀνθρώπων, ἢ τῶν κυνῶν, ἐπεὶ καὶ οἱ κύνες παραπολαύουσι τῆς δαψιλείας τῶν ὠνίων· οὕτω πολλῷ μᾶλλον Κέλσος, καὶ οἱ τὰ αὐτὰ φρονοῦντες αὐτῷ ἀσεβοῦσιν εἰς τὸν προνοοῦντα τῶν λογικῶν θεὸν, φάσκοντες, μὴ [2]) μᾶλλον ἀνθρώποις γίνεσθαι [3]) ταῦτα πρὸς τροφὴν, ἢ τοῖς φυτοῖς, δένδροις τε, καὶ πόαις, καὶ [4]) ἀκάνθαις.

75. Οἴεται γὰρ πρῶτον μὲν »μὴ ἔργα θεοῦ εἶναι βροντὰς, καὶ ἀστραπὰς, καὶ ὑετούς·« ἤδη [5]) σαφέστερον Ἐπικουρίζων· δεύτερον δέ φησιν· »ὅτι, εἰ καὶ δι-δοίη [6]) τις ταῦτα ἔργα εἶναι θεοῦ, οὐ μᾶλλον ἡμῖν τοῖς ἀνθρώποις ταῦτα γίνεται πρὸς τροφὴν, ἢ τοῖς φυτοῖς, δένδροις τε, καὶ πόαις, καὶ ἀκάνθαις·« συντυχικῶς δι-δοὺς καὶ οὐ κατὰ πρόνοιαν, ὡς ἀληθῶς Ἐπικούρειος, ταῦτα συμβαίνειν. Εἰ γὰρ οὐ μᾶλλον ἡμῖν, ἢ φυτοῖς, καὶ δένδροις, καὶ πόαις, καὶ ἀκάνθαις, ταῦτ' [7]) ἔστι χρήσιμα· δῆλον, ὅτι οὐδ' ἀπὸ προνοίας ταῦτ' [8]) ἔρχεται· ἢ ἀπὸ προνοίας οὐ μᾶλλον ἡμῶν προνοουμένης, ἢ δένδρων, καὶ πόας, καὶ ἀκάνθης. Ἑκάτερον δ' αὐτόθεν ἀσεβές· καὶ τὸ τοῖς τοιούτοις ἀντιλέγειν, ἱστάμενον πρὸς τὸν ἀσέβειαν ἡμῖν [9]) ἐγκαλοῦντα, εὔηθες.

---

[1]) Philoc. τὰ ἄλογα. Hoeschel. et Spencerus: τὰ ἄλλα ἄλογα. R.

[2]) Sic Philocalia, Hoeschel. autem et Spencerus: τί μᾶλλον κτλ. R.

[3]) Philoc. ταῦτα γίνεσθαι.

[4]) Desunt in Philoc. verba: καὶ ἀκάνθαις.

[5]) Philoc. ἤδη σαφῶς ἐπικουρίζων.

[6]) Philoc. διδῷη.

[7]) Philoc. ταῦτά ἐστι χρήσιμα.

[8]) Philoc. ταῦτα ἔρχεται.

[9]) Hoeschel. et Spencerus: ἡμῶν κατηγοροῦντα, sed Philoc. ut in nostro textu. R.

ἄνθρωπον ἐπιδεῖ· ἵνα δι' αὐτὸ τὸ[1]) ἐπιδεὲς αὑτοῦ ἀναγκασθῇ εὑρεῖν[2]) τέχνας, τινὰς μὲν διὰ τὴν τροφὴν, ἄλλας δὲ διὰ τὴν σκέπην. Καὶ γὰρ κρεῖττον ἦν τοῖς μὴ μέλλουσι τὰ θεῖα ζητεῖν, καὶ φιλοσοφεῖν, τὸ ἀπορεῖν, ὑπὲρ τοῦ τῇ συνέσει χρήσασθαι πρὸς εὕρεσιν τεχνῶν· ἥπερ ἐκ τοῦ εὐπορεῖν, πάντη τῆς συνέσεως ἀμελεῖν. Ἡ τῶν κατὰ τὸν βίον γοῦν[3]) χρειῶν ἀπορία συνέστησε τοῦτο μὲν γεωργικὴν, τοῦτο[4]) δὲ ἀμπελουργικὴν, τοῦτο δὲ τὰς περὶ τοὺς κήπους τέχνας, τοῦτο δὲ τεκτονικὴν καὶ χαλκευτικὴν, ποιητικὰς ἐργαλείων ταῖς ὑπηρετουμέναις τέχναις τὰ πρὸς τροφήν. Ἡ δὲ τῆς σκέπης ἀπορία τοῦτο μὲν ὑφαντικὴν, τὴν μετὰ τὴν ξαντικὴν, καὶ τὴν νηστικὴν εἰσήγαγε· τοῦτο δὲ οἰκοδομικὴν· καὶ οὕτως ἀναβέβηκεν ἡ σύνεσις καὶ ἐπὶ τὴν[5]) ἀρχιτεκτονικήν. Ἡ δὲ τῶν χρειῶν ἔνδεια πεποίηκε καὶ τὰ ἐν ἑτέροις τόποις γεννώμενα[6]) φέρεσθαι διὰ ναυτικῆς καὶ κυβερνητικῆς πρὸς τοὺς μὴ ἔχοντας ἐκεῖνα· ὥστε καὶ τούτων ἕνεκεν θαυμάσαι τις ἂν τὴν πρόνοιαν, συμφερόντως παρὰ τὰ ἄλογα ζῶα ἐνδεὲς ποιήσασαν[7]) τὸ λογικόν. Τὰ μὲν γὰρ ἄλογα ἑτοίμην ἔχει τὴν τροφὴν, ἅτε[8]) οὐδ' ἀφορμὴν πρὸς τέχνας ἔχοντα. Καὶ φυσικὴν[9]) δ' ἔχει τὴν σκέπην· τετρίχωται[10]) γὰρ, ἢ

---

[1]) Philoc. τὸ ἐνδεὲς αὐτοῦ.

[2]) Philoc. εὑρεῖν τέχνας μέν τινας διὰ τὴν τροφήν, κτλ.

[3]) Edd. Spenc. ad marg. οὖν.

[4]) Omittit Philocal. verba: τοῦτο δὲ ἀμπελουργικήν.

[5]) Deest τήν in edd. Spenceri.

[6]) Philocal. γενόμενα.

[7]) Philocal. ποιήσασθαι.

[8]) Philocal. Mscr., Hoeschel. teste: ἅτε ἀφορμὴν πρὸς τέχνας μὴ ἔχοντα, Philoc. vero impressa: ἅτε οὐδὲ ἀφορμὴν πρὸς τέχνας ἔχοντα.

[9]) Philocal. φυσικὴν δὲ ἔχει κτλ.

[10]) Cic. de natura Deorum lib. II, Animantium aliae

ἐπτέρωται, ἢ πεφολίδωται, ἢ ὠστράκωται.[1]) Καὶ[2]) ταῦτα δὲ πρὸς ἀπολογίαν ἡμῖν λελέχθω τῆς φασκούσης λέξεως παρὰ τῷ Κέλσῳ· »ἡμεῖς μὲν κάμνοντες καὶ προσταλαιπωροῦντες μόλις τρεφόμεθα· τοῖς δ' ἄσπαρτα καὶ ἀνήροτα πάντα φύονται.«

77. Ἐξῆς δὲ τούτοις ἐπιλαθόμενος, ὅτι τὸ προκείμενον αὐτῷ ἐστιν Ἰουδαίων καὶ Χριστιανῶν κατηγορεῖν, ἑαυτῷ ἀνθυποφέρει Εὐριπίδειον[3]) λόγον ἰαμβεῖον, ἐναντιούμενον αὐτοῦ τῇ γνώμῃ· καὶ ὁμόσε χωρήσας τῷ λελεγμένῳ, κατηγορεῖ ὡς κακῶς εἰρημένου. Ἔχει δ' οὕτως ἡ τοῦ Κέλσου λέξις· »Εἰ δὲ καὶ τὸ Εὐριπίδειον ἐρεῖς, ὅτι

Ἥλιος[4]) μὲν νύξ τε δουλεύει βροτοῖς·

τί μᾶλλον ἡμῖν, ἢ τοῖς μύρμηξι, καὶ ταῖς μυίαις; Καὶ γὰρ ἐκείνοις ἡ μὲν νὺξ γίνεται πρὸς ἀνάπαυσιν, ἡ δὲ ἡμέρα πρὸς τὸ ὁρᾶν τε καὶ ἐνεργεῖν.« Σαφὲς δή, ὅτι οὐ μόνον Ἰουδαίων καὶ Χριστιανῶν τινες εἰρήκασιν ἡμῖν δουλεύειν ἥλιον, (215) καὶ τὰ ἐν οὐρανῷ· ἀλλὰ καὶ ὁ κατά τινας Σκηνικὸς φιλόσοφος,[5]) καὶ φυσιολογίας τῆς Ἀναξαγόρου γενόμενος ἀκροατής· ὅστις ἀπὸ ἑνὸς λογικοῦ τοῦ ἀνθρώπου συνεκδοχικῶς πᾶσι τοῖς λογικοῖς[6]) τὰ τεταγμένα ἐν τῷ παντί φησι δουλεύειν,

---

coriis tectae sunt, aliae villis vestitae, aliae spinis hirsutae: pluma alias, alias squama videmus obductas; alias esse cornibus armatas, alias habere effugia pennarum.

[1]) Philocal. ὀστράκωται.

[2]) Haec et quae sequuntur, usque ad finem num. 77., frustra desiderantur in Philocalia.

[3]) Cfr. hujus libri num. 30.

[4]) Cfr. Eurip. Phoeniss. vers. 512.

[5]) Euripides nempe, qui ab Athenaeo et Clemente Alexandrino Stromat. V. vocatur ὁ ἐπὶ τῆς σκηνῆς φιλόσοφος. — Suidas in voc. Εὐριπίδης· Διήκουσε δὲ καὶ Ἀναξαγόρου τοῦ Κλαζομενίου.

[6]) Edd. Spenc. et Ruaei in textu: λογικοῖς τετα-

δηλούμενα πάλιν συνεκδοχικῶς ἐκ τοῦ·

Ἥλιος [1]) μὲν νύξ τε δουλεύει βροτοῖς.

Ἢ τάχα καὶ ὁ Τραγικὸς ἀπὸ τοῦ ποιοῦντος τὴν ἡμέραν ἡλίου ὠνόμασε τὴν ἡμέραν· διδάσκων, ὅτι τὰ μάλιστα χρήζοντα ἡμέρας καὶ νυκτὸς, τὰ ὑπὸ σελήνην ἐστί· καὶ [2]) οὐχ οὕτως ἄλλα, ὡς τὰ ἐπὶ γῆς. Ἡμέρα οὖν καὶ νὺξ δουλεύει βροτοῖς, γενόμεναι [3]) διὰ τα λογικά. Εἰ δὲ παραπολαύουσι μύρμηκες καὶ μυῖαι, ἐνεργοῦντες μὲν ἡμέρας, νυκτὸς δὲ διαναπαυόμενοι, τῶν δι' ἀνθρώπους γεγενημένων· οὐχὶ καὶ διὰ μύρμηκας καὶ μυίας λεκτέον ἡμέραν γίνεσθαι καὶ νύκτα· οὐδὲ [4]) δι' οὐδὲν, ἀλλὰ κατὰ πρόνοιαν, ἀνθρώπων ἕνεκεν, ταῦτα χρὴ νομίζειν γεγονέναι.

78. Ἐξῆς [5]) δὲ τούτοις ἑαυτῷ ἀνθυποφέρει τὰ ὡς ὑπὲρ ἀνθρώπων λεγόμενα, ὅτι δι' αὐτοὺς τὰ ἄλογα ζῶα δεδημιούργηται, καί φησιν, ὅτι »εἴ τις ἡμᾶς λέγοι [6]) ἄρχοντας τῶν ζώων, ἐπεὶ ἡμεῖς τὰ [7]) ἄλλα ζῶα

γμένα, ed. vero Ruaei in notis: »Scribendum forte: λογικοῖς τὰ τεταγμένα, uti conjicit Guietus.«

[1]) Cfr. Eurip. Phoeniss. vers. 512. — Sic Cod. Jolianus. In antea editis (v. c. edd. Spenc.) desunt verba: δουλεύει βροτοῖς.

[2]) Vitiose (Boherell. jamjam idem statuente) in antea editis (v. c. edd. Spenc.) legitur: καὶ οὐχ οὕτως, ἀλλὰ ὡς τὰ ἐπὶ γῆς. R.

[3]) Edd. Spenc. γενόμενα.

[4]) Boherell. in notis: »Hic item (cfr. pag. huj. not. 2.) lego: οὐδὲ δι' οὐδὲν ἄλλο, κατὰ πρόνοιαν, ἢ ἀνθρώπων ἕνεκεν, ταῦτα« κτλ.

[5]) Verba: Ἐξῆς δὲ τούτοις ἑαυτῷ ἀνθυποφέρει τὰ ὡς ὑπὲρ ἀνθρώπων λεγόμενα, ὅτι δι' αὐτοὺς τὰ ἄλογα ζῶα δεδημιούργηται, uti alias, Ruaeo teste, ita in edd. Spenc. frustra desiderantur. Supplentur vero eadem (Boherello duce) e Philocalia.

[6]) Philoc. λέγει ἄρχοντας τῶν ἀλόγων, ἐπεί κτλ.

[7]) Philoc. Mscr., Hoeschelio teste: τὰ ἄλογα ζῶα θηρῶμέν τε καὶ δαινύμεθα, Philoc. vero impressa: τὰ ἄλογα θηρῶμέν τε καὶ δαινύμεθα.

θηρῶμέν τε καὶ δαινύμεθα· φήσομεν, ὅτι[1]) τί δ' οὐχὶ μᾶλλον ἡμεῖς δι' ἐκεῖνα γεγόναμεν, ἐπεὶ ἐκεῖνα θηρᾶται ἡμᾶς, καὶ ἐσθίει; Ἀλλὰ[2]) καὶ ἡμῖν μὲν ἀρκύων καὶ ὅπλων δεῖ, καὶ ἀνθρώπων πλειόνων βοηθῶν, καὶ κυνῶν, κατὰ τῶν θηρευομένων· ἐκείνοις δ' αὐτίκα καὶ καθ' αὐτὰ ἡ φύσις ὅπλα δέδωκεν,[3]) εὐχερῶς ἡμᾶς ὑπάγουσα ἐκείνοις.« Καὶ ἐνταῦθα δὲ ὁρᾷς, τίνα τρόπον ἡ[4]) σύνεσις μέγα βοήθημα ἡμῖν δέδοται, καὶ παντὸς ὅπλου κρεῖττον, οὗ δοκεῖ ἔχειν τὰ θηρία. Ἡμεῖς γοῦν οἱ πολλῷ τῷ σώματι τῶν[5]) ζώων ἀσθενέστεροι, τινῶν δὲ καὶ εἰς ὑπερβολὴν βραχύτεροι,[6]) κρατοῦμεν διὰ τὴν σύνεσιν τῶν θηρίων, καὶ τοὺς τηλικούτους ἐλέφαντας θηρεύομεν, τὰ μὲν πεφυκότα τιθασσεύεσθαι ὑποτάσσοντες τῇ ἡμετέρᾳ ἡμερότητι· κατὰ δὲ τῶν μὴ πεφυκότων, ἢ μὴ δοκούντων ἡμῖν χρείαν παρέχειν[7]) ἐκ τῆς τιθασσείας, οὕτω μετὰ τῆς ἡμετέρας ἱστάμεθα ἀσφαλείας, ὥστε, ὅτε μὲν βουλόμεθα, ἔχομεν τὰ τηλικαῦτα θηρία κατακεκλεισμένα· ὅτε δὲ χρῄζομεν τροφῆς τῆς ἀπὸ τῶν σωμάτων αὐτῶν, οὕτως αὐτὰ ἀναιροῦμεν, ὡς καὶ τὰ μὴ ἄγρια τῶν ζώων. Δοῦλα οὖν πάντα τοῦ λογικοῦ ζώου καὶ τῆς φυσικῆς αὐτοῦ συνέσεως κατεσκεύασεν ὁ δημιουργός. Καὶ εἰς ἄλλα μὲν κυνῶν χρῄ-

---

[1]) Hoeschel. et Spencerus: ὅτι οὐχὶ μᾶλλον. Jam Boherell. vero in notis: »Lege, e Philocalia, cum interrogatione: ὅτι τί δ' οὐχὶ μᾶλλον.«

[2]) Philoc. Mscr., Hoeschelio teste: Ἀλλ' ἡμῖν μὲν ἀρκύων κτλ., Philoc. vero impressa, ut nos in textu.

[3]) Philoc. δέδωκεν εὐχερεῖν, ἡμᾶς ὑπάγουσα ἐκείνοις· καὶ ἐνταῦθα· ἐκείνοις δὲ ὁρᾷς, τίνα τρόπον κτλ.

[4]) Idem Aristotelis argumentum lib. IV. de partib. animal. cap. 70.

[5]) Philoc. τῶν θηρίων ἀσθενέστεροι.

[6]) Philoc. Mscr., Hoeschelio teste: βραδύτεροι, Philoc. vero impressa, ut nos in textu.

[7]) Philoc. παρέχειν τῆς τιθασσείας.

ζομεν, φέρ' εἰπεῖν, εἰς φυλακὴν[1]) ποιμνίων, ἢ βουκολίων, ἢ αἰπολίων, ἢ οἰκιῶν· εἰς ἄλλα δὲ βοῶν, οἷον εἰς[2]) γεωργίαν· εἰς[3]) ἄλλα δ' ὑποζυγίοις χρώμεθα, ἢ ἀχθοφόροις. Οὕτως εἰς[4]) γυμνάσιον τῶν τῆς ἀνδρείας ἐν ἡμῖν σπερμάτων δεδόσθαι[5]) ἡμῖν λέγεται τὸ λεόντων, καὶ ἄρκτων, παρδάλεών[6]) τε καὶ συῶν, καὶ τὸ τῶν τοιούτων γένος.

79. Εἶτα λέγει πρὸς τὸ τῶν αἰσθανομένων τῆς ἑαυτῶν ὑπεροχῆς ἀνθρώπων γένος, ἣν ὑπερέχει τῶν ἀλόγων ζώων, ὅτι »πρὸς ὃ ὑμεῖς φατε, ὡς ὁ θεὸς ὑμῖν δέδωκεν αἱρεῖν[7]) τὰ θηρία δύνασθαι, καὶ[8]) καταχρῆσασθαι· ἐροῦμεν, ὅτι, (ὡς εἰκὸς,) πρὶν πόλεις εἶναι καὶ τέχνας, καὶ[9]) τοιαύτας (216) ἐπιμιξίας, καὶ ὅπλα, καὶ δίκτυα, ἄνθρωποι μὲν ὑπὸ θηρίων ἡρπάζοντο καὶ ἠσθίοντο, θηρία[10]) δ' ὑπ' ἀνθρώπων ἥκιστα ἡλίσκετο.« Ὅρα δὲ πρὸς ταῦτα, ὅτι εἰ καὶ αἱροῦσιν ἄνθρωποι θηρία, καὶ θηρία ἀνθρώπους ἁρπάζει· πολλὴ[11]) ἐστι διαφορὰ τῶν συνέσει κρατούντων παρὰ τὰ ἀγριότητι καὶ ὠμότητι περιγινόμενα τῶν οὐ χρωμένων τῇ συνέσει πρὸς τὸ μηδὲν ὑπὸ θηρίων παθεῖν. Τὸ δέ· »πρὶν πόλεις εἶναι καὶ τέχνας καὶ τοιαύτας ἐπιμιξίας·« ἐπιλελησμένου οἶμαι εἶναι ὧν ἀνωτέρω προεῖπεν· ὡς »ἀγε-

---

[1]) Philoc. φυλακὴν τῶν ποιμνίων.

[2]) Hoeschel. et Spencerus: εἰς γεωργίας.

[3]) Philoc. εἰς ἄλλα δὲ ὑποζυγίοις χρώμεθα.

[4]) Hoeschel. et Spencerus: εἰς γυμνάσια.

[5]) Philoc. δεδόσθαι λέγεται ἡμῖν τὸ λεόντων.

[6]) Philoc. παρδάλεών τε καὶ τῶν τοιούτων γένος.

[7]) Hoeschel. et Spenc. in margine: εὑρεῖν.

[8]) Philoc. καὶ καταχρῆσθαι.

[9]) Philoc. Mscr., Hoeschel. teste: καὶ τὰς τοιαύτας, Philoc. vero impressa, ut nos in textu.

[10]) Philoc. θηρία δὲ ὑπὸ ἀνθρώπων κτλ.

[11]) Philoc. πολλή ἐστιν ἡ διαφορὰ τῶν συνέσει κτλ.

νήτου[1]) ὄντος τοῦ κόσμου, καὶ ἀφθάρτου, καὶ μόνων τῶν ἐπὶ γῆς κατακλυσμοὺς καὶ ἐκπυρώσεις πασχόντων, καὶ οὐ πάντων ἅμα τούτοις περιπιπτόντων.« Ὡς οὐκ ἔστιν οὖν τοῖς ἀγένητον ὑφιστάνουσι[2]) τὸν κόσμον, ἀρχὴν αὐτοῦ εἰπεῖν· οὕτως οὐδὲ χρόνον, ὅτ'[3]) οὐδαμῶς ἦσαν πόλεις, οὐδὲ τέχναι[4]) πω εὕρηντο. Ἀλλ' ἔστω καὶ ταῦτα[5]) ἡμῖν μὲν συναδόντως αὐτῷ[6]) συγχωρεῖν, αὐτῷ[7]) δὲ καὶ τοῖς ἀνωτέρω[8]) ὑπ' αὐτοῦ λελεγμένοις οὐκέτι·[9]) τί οὖν τοῦτο πρὸς τὸ πάντως[10]) καταρχὰς τοὺς μὲν ἀνθρώπους ὑπὸ θηρίων ἁρπάζεσθαι καὶ[11]) ἐσθίεσθαι, μηκέτι[12]) δὲ καὶ τὰ θηρία ὑπ' ἀνθρώπων ἁλίσκεσθαι; Εἴπερ[13]) γὰρ κατὰ πρόνοιαν ὁ κόσμος γεγένηται, καὶ θεὸς ἐφέστηκε τοῖς ὅλοις· ἀναγκαῖον ἦν τὰ ζώπυρα τοῦ γένους τῶν ἀνθρώπων ἀρξάμενα ὑπό τινα γεγονέναι φρουρὰν τὴν ἀπὸ κρειττόνων, ὥστε κατ' ἀρχὰς ἐπιμιξίαν γεγονέναι[14]) τῆς θείας

---

[1]) Philoc. *ἀγεννήτου.*

[2]) Hoeschel. et Spencerus: *ὑφισταμένοις.* Philocalia: *ὑφιστάνουσι.*

[3]) Philoc. *ὅτε οὐδαμῶς.*

[4]) Philoc. Mscr., Hoeschel. teste: *τέχναι προηύρηντο.* Philoc. impressa, ut nos in textu.

[5]) Philoc. *ταῦτα μὲν ἡμῖν συναδόντως κτλ.*

[6]) Boherell. in notis: »Legendum videtur: *αὐτὸν συγχωρεῖν.*

[7]) Edd. Philoc., itemq. edd. Spenceri: *αὐτῷ.*

[8]) Deest in Philoc. *ἀνωτέρω.*

[9]) Philoc. *οὐκ ἔτι.*

[10]) Philoc. *πάντως κατ' ἀρχὰς τοὺς μέν κτλ.*

[11]) Desunt in Philoc. verba: *καὶ ἐσθίεσθαι.*

[12]) Philoc. *μηκέτι δὲ τὰ θηρία ὑπὸ τῶν ἀνθρώπων κτλ.*

[13]) Philoc. *Εἰ γὰρ κατὰ πρόνοιαν κτλ.*

[14]) Philoc. *γενέσθαι.*

φύσεως πρὸς τοὺς ἀνθρώπους. Ἅπερ καὶ ὁ Ἀσκραῖος ποιητὴς [1]) ἐννοῶν εἶπε·

Ξυναὶ [2]) γὰρ τότε δαῖτες [3]) ἔσαν, ξυνοὶ [4]) δὲ θόωκοι [5])
Ἀθανάτοισι θεοῖσι [6]) καταθνητοῖς τ' ἀνθρώποις.

80. Καὶ ὁ θεῖος δὲ κατὰ [7]) Μωϋσέα λόγος εἰσήγαγε τοὺς [8]) πρώτους ἀνθρώπους ἀκούοντας [9]) θειοτέρας φωνῆς, καὶ χρησμῶν, καὶ ὁρῶντας ἔσθ' ὅτε καὶ ἀγγέλων θεοῦ ἐπιδημίας γεγενημένας [10]) πρὸς αὐτούς. Καὶ γὰρ εἰκὸς, ἐν ἀρχῇ τοῦ κόσμου ἐπὶ πλεῖον βεβηθῆσθαι τὴν [11]) ἀνθρώπων φύσιν· ἕως, προκοπῆς γενομένης εἰς σύνεσιν, καὶ τὰς λοιπὰς ἀρετὰς, καὶ τὴν εὕρεσιν τῶν τεχνῶν, δυνηθῶσι καὶ καθ' ἑαυτοὺς ζῆν, οὐ χρήζοντες ἀεὶ ἐπιτροπευόντων, καὶ οἰκονομούντων αὐτοὺς μετὰ παραδόξου ἐπιφανείας τῶν ὑπηρετουμέ-

---

[1]) Philoc. ἐννοῶν ποιητὴς εἶπε.

[2]) Cfr. Hesiod. fragmenta incertae sedis, ed. Goettling. pag. 231.

[3]) Philoc. δαῖτες ἔεσσαν.

[4]) Philoc. Mscr., Hoeschel. teste: ξυνοί τε θῶκοι, Philoc. vero impressa: ξυνοὶ θῶκοι.

[5]) Edd. Spenc. in textu: θόωκοι, ad marg. (itemq. Hoeschel. in textu): θῶκοι.

[6]) Philoc. θεοῖσι, καὶ θνητοῖς ἀνθρώποις.

[7]) Philoc. κατὰ Μωσέα λόγος.

[8]) Philoc., itemq. edd. Spenc. et Ruaei in textu: τοὺς πρώτους ἀκούοντας, omisso vocab. ἀνθρώπους. Jam Boherell. vero, quem Ruaeus (in not.) sequitur, in annotationibus: »Addendum videtur: ἀνθρώπους, quod facile fuit, ut excideret, propter elementorum similitudinem.«

[9]) Apud Hoeschel. et Spencer. corrupte legitur: ἀκούοντας θειοτέρας φωνῆς, καὶ χρησμόσινα ὁρῶντας, ἔσθ' ὅτε ἀγγέλων κτλ. Praestat (Boherell. jamjam in notis idem attestante) lectio Philocaliae, quam exhibemus in textu nostro. R.

[10]) Philoc. γεγενημένης.

[11]) Hoeschel. in textu, edd. Spenc. ad marginem: τήνδε ἀνθρώπων φύσιν.

νων τῷ τοῦ θεοῦ βουλήματι. Ἀκόλουθον δὲ τούτοις τό· »ψεῦδος εἶναι, ὅτι κατ' ἀρχὰς ἄνθρωποι μὲν ὑπὸ θηρίων ἡρπάζοντο,[1]) καὶ ἠσθίοντο, θηρία[2]) δ' ὑπ' ἀνθρώπων ἥκιστα ἠλίσκετο.« Ἐκ δὴ τούτων φανερὸν, ὅτι ψεῦδος καὶ τὸ ὑπὸ[3]) τοῦ Κέλσου οὕτως λεγόμενον· »ὥστε ταύτῃ γε ὁ θεὸς τοὺς ἀνθρώπους μᾶλλον τοῖς θηρίοις ὑπέβαλεν.« Οὐ γὰρ ὑπέβαλε[4]) τοὺς ἀνθρώπους τοῖς θηρίοις ὁ θεὸς, ἀλλὰ τῇ συνέσει τῶν ἀνθρώπων ἀλωτὰ δέδωκεν εἶναι τὰ θηρία, καὶ ταῖς ἀπὸ συνέσεως ὑφισταμέναις κατ' ἐκείνων τέχναις. Οὐ γὰρ ἀθεεὶ ἐμηχανήσαντο σφίσιν αὐτοῖς οἱ ἄνθρωποι σωτηρίαν[5]) ἀπὸ τῶν θηρίων, καὶ τὴν κατ' ἐκείνων ἐπικράτειαν.

81. Οὐχ ὁρῶν δ' ὁ γεννάδας, ὅσων φιλοσόφων τὴν πρόνοιαν εἰσαγόντων, (217) καὶ διὰ τὰ λογικὰ πάντα ποιεῖν αὐτὴν λεγόντων, συναναιρεῖ, (τὸ ὅσον ἐφ' ἑαυτῷ,) χρήσιμα δόγματα[6]) τῇ Χριστιανῶν κατὰ ταῦτα πρὸς φιλοσοφίαν συμφωνίᾳ· οὐδ' ὅση βλάβη κωλυτικὴ γίνεται εὐσεβείας ἐκ τοῦ παραδέξασθαι, ὅτι οὐδὲν[7]) μυρμήκων, ἢ μελισσῶν διαφέρει ὁ ἄνθρωπος παρὰ[8]) τῷ θεῷ, φησὶν, ὅτι »εἰ διὰ[9]) τοῦθ' οἱ ἄνθρωποι διαφέρειν δοκοῦσι τῶν ἀλόγων, ἐπεὶ πόλεις ᾤκησαν,[10]) καὶ χρῶνται πολιτείᾳ, καὶ ἀρχαῖς, καὶ ἡγεμο-

---

[1]) Philoc. ἡρπάζοντό τε καὶ ἠσθίοντο.

[2]) Philoc. θηρία δὲ ὑπὸ ἀνθρώπων.

[3]) Philoc. ὑπὸ Κέλσου οὕτω λεγόμενον.

[4]) Philoc. ὑπέβαλε τοῖς θηρίοις τοὺς ἀνθρώπους ὁ θεός. [5]) Philocal. σωτηρίας.

[6]) Hoeschel. et Spencerus: δόγματα τῇ Χριστιανῶν κατὰ ταῦτα πρὸς φιλοσοφίαν συμφωνίᾳ. Sed Philoc. δόγματα Χριστιανῶν, καὶ ταῦτα πρὸς φιλοσοφίαν σύμφωνα. [7]) Philoc. οὐδὲ μυρμήκων.

[8]) Edd. Spenceri (uncis voc. γάρ appositis): παρὰ τῷ θεῷ. Φησὶν γὰρ, ὅτι κτλ.

[9]) Philoc. διὰ τοῦτο οἱ ἄνθρωποι κτλ.

[10]) Hoeschel. in textu, edd. Spenc. ad marg. ᾤκισαν.

νίαις· τοῦτ'[1]) οὐδὲν πρὸς ἔπος ἐστὶ, καὶ[2]) γὰρ οἱ μύρμηκες καὶ αἱ μέλισσαι.[3]) Μελίσσαις γοῦν ἐστιν ἡγεμὼν, ἔστι δ' ἀκολουθία τε καὶ θεραπεία, καὶ πόλεμοι, καὶ νίκαι, καὶ τῶν ἡττωμένων[4]) αἱρέσεις,[5]) καὶ πόλεις καὶ προπόλεις γε, καὶ ἔργων διαδοχὴ, καὶ δίκαι κατὰ τῶν ἀργῶν τε καὶ πονηρῶν· τοὺς γοῦν κηφῆνας ἀπελαύνουσί[6]) τε καὶ κολάζουσιν.« Οὐδ' ἐν τούτοις δὲ ἑώρακε, τίνι διαφέρει τὰ ἀπὸ λόγου καὶ λογισμοῦ[7]) ἐπιτελούμενα[8]) τῶν ἀπ' ἀλόγου φύσεως καὶ κατασκευῆς ψιλῆς γινομένων. Ὧν τὴν αἰτίαν οὐδεὶς μὲν ἐνυπάρχων τοῖς ποιοῦσι λόγος ἀναδέχεται· οὐδὲ γὰρ ἔχουσιν αὐτόν· ὁ[9]) πρεσβύτατος δὲ καὶ[10]) υἱὸς μὲν τοῦ θεοῦ, πάντων δὲ τῶν ὑποκειμένων βασιλεὺς, φύσιν ἄλογον πεποίκηε, βοηθοῦσαν ὡς ἄλογον τοῖς[11]) ἀξιωθεῖσι λόγου. Πόλεις οὖν παρ'[12]) ἀνθρώποις μετὰ

---

[1]) Philoc. τοῦτο οὐδὲν πρὸς ἔπος κτλ.

[2]) Philoc. καὶ γὰρ μύρμηκες.

[3]) Edd. Spenc. ad marginem: λείπει ἴσως· ταὐτὸν ποιοῦσι, ed. vero Ruaei in notis: »Forte supplendum: ταὐτὸν ποιοῦσι, vel subaudiendum, ut vult Guietus: ἀρχαῖς καὶ ἡγεμονίαις χρῶνται, vel quid simile.«

[4]) Edd. Spenc. ἡττημένων.

[5]) Philoc. αἱ αἱρέσεις. — Ed. Ruaei, Boherello duce, in notis: »Nota αἱρέσεις hoc loco sumi pro internecionibus, caedibus. Haud scio, an alibi reperiatur pari significatu. Forte etiam scribendum: καθαιρέσεις.« (Boherellus in notis: »Nota pro: occisionibus, destructionibus.«)

[6]) Philoc. ἀπελαύνουσι καὶ κολάζουσιν. Οὐδὲ ἐν τούτοις ἑώρακε, τίνι διαφέρει κτλ.

[7]) Hoeschel. et Spencer. λογικῆς, sed Philoc. λογισμοῦ.

[8]) Philoc. τελούμενα τῶν ἀπὸ ἀλόγου φύσεως κτλ.

[9]) Philoc. ὁ πρεσβύτατος μὲν καὶ υἱὸς τοῦ θεοῦ.

[10]) In edd. Spenc. uncis inclusum legitur: καί.

[11]) Hoeschel. et Spencerus: τοῖς οὐκ ἀξιωθεῖσι λόγου, sed a Philocal. recte abest particula negativa: οὐκ.

[12]) Philoc. παρὰ ἀνθρώποις.

πολλῶν ὑπέστησαν τεχνῶν καὶ διατάξεως νόμων· πολιτεῖαι δὲ, καὶ ἀρχαὶ, καὶ ἡγεμονίαι ἐν ἀνθρώποις ἤτοι αἳ κυρίως εἰσὶν οὕτω καλούμεναι, σπουδαῖαί τινες ἕξεις καὶ ἐνέργειαι, ἢ [1]) καὶ αἳ καταχρηστικώτερον οὕτως ὀνομαζόμεναι πρὸς τὴν, κατὰ τὸ δυνατὸν, ἐκείνων μίμησιν· ἐκείναις γὰρ ἑνορῶντες οἱ ἐπιτετευγμένως [2]) νομοτεθήσαντες [3]) συνεστήσαντο τὰς ἀρίστας πολιτείας, καὶ τὰς ἀρχὰς, καὶ τὰς ἡγεμονίας. Ὧν οὐδὲν ἐν τοῖς ἀλόγοις ἐστὶν εὑρεῖν· κἂν ὁ Κέλσος τὰ λογικὰ ὀνόματα, [4]) καὶ ἐπὶ λογικῶν τεταγμένα, πόλιν, καὶ πολιτείας, καὶ ἀρχὰς, καὶ ἡγεμονίας, ἀναφέρῃ [5]) καὶ ἐπὶ μύρμηκας καὶ μελίσσας· ἐφ' οἷς οὐδαμῶς μὲν τοὺς μύρμηκας, ἢ τὰς μελίσσας ἀποδεκτέον· οὐ [6]) γὰρ σὺν λογισμῷ ποιοῦσι. Τὴν θείαν δὲ φύσιν θαυμαστέον, μέχρι τῶν ἀλόγων ἐκτείναsαν τὸ οἱονεὶ πρὸς τὰ λογικὰ μίμημα· τάχα πρὸς δυσωπίαν τῶν λογικῶν· ἵν' ἑνορῶντες μύρμηξιν ἐργατικώτεροι γίνωνται, καὶ ταμιευτικώτεροι τῶν [7]) ἑαυτοῖς χρησίμων· κατανοοῦντές [8]) τε μελίσσας πειθωνται μὲν ἡγεμόνι, [9]) διαιρῶνται δὲ τὰ χρήσιμα τῆς πολιτείας ἔργα πρὸς σωτηρίαν τῶν πόλεων.

---

[1]) Philoc. ἢ καὶ καταχρηστικώτερον.

[2]) Philoc. ἐπιτεταγμένως.

[3]) Hoeschel. in textu (itemq. edd. Spenc. ad marg.) νομοτεθήσαντες καὶ συνέστησαν κτλ. R. — Edd. Spenc. in textu: νομοτεθήσαντες καὶ συνεστήσαντο κτλ.

[4]) Hoeschel. in textu (edd. Spenc. ad marg.) νοήματα. R.

[5]) Philoc. Mscr., Hoeschel. teste: ἀναφέρει ἐπὶ μύρμηκας, καὶ ἐπὶ μελίσσας· ἐφ' οἷς μὲν οὐδαμῶς τούς κτλ. Philoc. impressa, ut nos in textu.

[6]) Philoc. Mscr., Hoeschel. teste: οὐδὲν γὰρ σὺν λογισμῷ κτλ., Philoc. impressa, ut nos in textu.

[7]) Philoc. Mscr., Hoeschel. teste: τῶν ἐν αὐτοῖς, Philoc. impressa, ut nos in textu.

[8]) Philoc. κατανοοῦντες δὲ καὶ μελίσσας κτλ.

[9]) Philoc. ἡγεμόνι. Hoeschel, et Spencerus: ἡγεμονίαις.

82. *Τάχα δὲ καὶ*[1]) *οἱ οἱονεὶ πόλεμοι τῶν μελισσῶν, διδασκαλία ἔγκειται*[2]) *πρὸς τὸ δικαίους καὶ τεταγμένους πολέμους, εἴ ποτε δέοι, γίγνεσθαι*[3]) *ἐν ἀνθρώποις. Καὶ οὐ*[4]) *πόλεις μὲν καὶ προπόλεις ἐν μελίσσαις· ἀλλ'*[5]) *οἱ σίμβλοι,*[6]) *καὶ*[7]) *τὰ ἔξάγωνα τῶν μελισσῶν ἔργα,*[8]) *καὶ ἡ παρ' ἐκείναις διαδοχὴ αὐτῶν,* (218) *διὰ τοὺς ἀνθρώπους εἰς πολλὰ τοῦ μέλιτος χρήζοντας, θεραπείας τε χάριν*[9]) *σωμάτων*[10]) *πεπονθότων, καὶ τροφὴν*[11]) *καθάριον. Οὐ παραβλητέον δὲ τὰ*[12]) *κατὰ τῶν κηφήνων ὑπὸ τῶν μελισσῶν ἐπιτελού-*

---

[1]) Philoc. *καὶ οἱονεὶ πόλεμοι.*

[2]) Philoc. Mscr., Hoeschel. teste: *ἔκκειται*, Philoc. vero impressa: *ἔκκεινται.* — Vide lib. VIII. num. 73. 74. coll. lib. V. num. 33.

[3]) Philoc. *γίνεσθαι.*

[4]) Ita Philoc. (impressa scil.) Hoeschel. autem et Spencerus: *οὐ πόλις μὲν καὶ πρόπολις ἐν μελίσσαις.* R. — Philoc. Mscr., Hoeschel. teste: *οὐ πόλεις μὲν καὶ μητροπόλεις ἐν μελίσσαις.*

[5]) Philoc. *ἀλλὰ σίμβλοι.*

[6]) Edd. Spenc. ad marginem: *σύμβλοι.*

[7]) Codd. Regius et Basileensis: *καὶ τὰ ἐξάγωνα τῶν μελισσῶν ἔργα.* Hoeschel. et Spencerus: *καὶ τὰ ἐξάγωνα, καὶ τῶν μελισσῶν ἔργα.* Philoc. *καὶ τὰ ἐξάγωνα, καὶ τὰ μελισσῶν ἔργα.* R.

[8]) Philoc. Mscr., Hoeschel. teste: *ἔργα, καὶ ἡ παρ' ἐκείναις δὲ διαδοχή*, Philoc. impressa, ut nos in textu.

[9]) Vox *χάριν*, quae apud Hoeschel. et Spencer. deest, suppletur e Philocalia. R.

[10]) Philoc. *πεπονθότων σωμάτων.*

[11]) Philoc. Mscr., Hoeschel. teste: *τροφὴν καθαρωτέραν*, Philoc. impressa: *τροφὴν καθάρειον.*

[12]) Philocalia, (quam Boherell. quoque in notis sequitur,) recte habet: *τὰ κατὰ τῶν κηφήνων.* In Hoeschel. et Spenceri editionibus deest: *κατά.* R.

μενα, ταῖς κατὰ τῶν ἀργῶν ἐν ταῖς πόλεσι καὶ[1]) πονηρῶν δίκαις, καὶ ταῖς κατ' αὐτῶν κολάσεσιν. Ἀλλ', ὡς προεῖπον, τὴν[2]) μὲν θείαν φύσιν ἐν τούτοις θαυμαστέον· τὸν[3]) δ' ἄνθρωπον, ἐπιλογίσασθαι τὰ περὶ πάντων δυνάμενον, καὶ κοσμῆσαι τὰ πάντων, (ἅτε συνεργοῦντα[4]) τῇ προνοίᾳ,) ἀποδεκτέον· καὶ οὐ μόνης προνοίας θεοῦ ἔργα[5]) ἐπιτελοῦντα, ἀλλὰ καὶ τῆς ἑαυτοῦ.

83. Εἰπὼν[6]) δ' ὁ Κέλσος περὶ τῶν μελισσῶν, ἵνα, (τὸ ὅσον ἐφ' ἑαυτῷ,) ἐξευτελίσῃ ἡμῶν[7]) οὐ[8]) Χριστιανῶν μόνον, ἀλλὰ καὶ πάντων ἀνθρώπων τὰς πόλεις, καὶ τὰς πολιτείας, καὶ τὰς ἀρχὰς, καὶ τὰς ἡγεμονίας, καὶ τοὺς ὑπὲρ τῶν πατρίδων πολέμους, ἐξῆς ἐπιφέρει, διεξιὼν μυρμήκων ἐγκώμιον· ὅπως τῷ περὶ ἐκείνων ἐγκωμίῳ τὸ τῶν ἀνθρώπων[9]) περὶ τὴν τροφὴν οἰκονομικὸν παραβάλῃ[10]) τῷ[11]) λόγῳ πρὸς τοὺς μύρμηκας· καὶ τὸ τῶν χειμαδίων προνοητικὸν καταῤῥίψῃ, ὡς

---

[1]) Philoc. Mscr., Hoeschel. teste: καὶ τῶν πονηρῶν δίκαις, Philoc. vero impressa, ut nos in textu.

[2]) Hoeschel. et Spencerus: τὴν μὲν θείαν φύσιν. Philoc. omittit: θείαν. R.

[3]) Philoc. τὸν δὲ ἄνθρωπον τὰ περὶ πάντων ἐπιλογίσασθαι δυνάμενον, καὶ κοσμῆσαι κτλ.

[4]) Philoc. συναιροῦντα.

[5]) Philoc. Mscr., Hoeschel. teste: ἔργον ἐπιτελοῦντα, Philoc. impressa, ut nos in textu.

[6]) Philoc. Mscr., Hoeschel. teste: Εἶπε δ' ὁ Κέλσος. Philoc. impressa: Εἰπὼν δὲ ὁ Κέλσος.

[7]) Edd. Spenc. in textu: ἡμᾶς, ad marg. vero: ἡμῶν.

[8]) Philoc. οὐ μόνον Χριστιανῶν.

[9]) Edd. Spenc. ἀνθρώπων οἰκονομικὸν περὶ τὴν τροφήν.

[10]) Ad oram librorum editorum (v. c. edd. Spenc.) legitur: καταβάλῃ. R. — Philoc. impressa: καταβάλλῃ, Philoc. vero Mscr., Hoeschel. teste: καταβάλῃ.

[11]) Verba: τῷ λόγῳ πρὸς τοὺς μύρμηκας, addititia videntur et recidenda. R. — Philoc. τῷ λόγῳ τῷ πρὸς τοὺς μύρμηκας.

οὐδὲν πλέον ἔχον τῆς ἀλόγου τῶν μυρμήκων ἐν οἷς ἐκεῖνος νομίζει προνοίας. Τίνα δ' οὐκ ἂν τῶν ἁπλουστέρων ἀνθρώπων, καὶ [1]) οὐκ ἐπισταμένων ἐνορᾶν τῇ φύσει πάντων πραγμάτων, ἀποτρέψαιτο, [2]) τὸ [3]) ὅσον ἐφ' ἑαυτῷ, ὁ Κέλσος ἀπὸ τοῦ τοῖς [4]) βαρουμένοις [5]) ὑπὸ φορτίων βοηθεῖν, καὶ κοινωνεῖν ἐκείνοις τῶν καμάτων, λέγων περὶ μυρμήκων, ὡς »ἂν ἀλλήλοις τῶν φορτίων, ἐπειδάν τινα κάμνοντα ἴδωσιν, ἐπιλαμβάνονται;« [6]) Ἐρεῖ γὰρ ὁ δεόμενος τῆς διὰ λόγου παιδεύσεως, καὶ μηδαμῶς ἐπαΐων αὐτῆς· Ἐπεὶ τοίνυν μηδὲν διαφέρομεν μυρμήκων καὶ ὅτε τοῖς κάμνουσι διὰ [7]) τὸ φέρειν βαρύταια φορτία βοηθοῦμεν· τί μάτην τὸ τοιοῦτον [8]) ποιοῦμεν; Καὶ οἱ μὲν μύρμηκες, ἅτε ἄλογα ζῶα τυγχάνοντες, οὐκ ἂν ἐπαρθεῖεν πρὸς τὸ μέγα φρονῆσαι, διὰ [9]) τὸ παραβάλλεσθαι ἀνθρώποις τὰ ἔργα αὐτῶν· οἱ [10]) δ' ἄνθρωποι διὰ τὸν λόγον ἀκοῦσαι δυνηθέντες, τίνα τρόπον εὐτελίζεται αὐτῶν τὸ κοινωνικὸν, βλαβεῖεν ἄν, τὸ ὅσον ἐπὶ τῷ Κέλσῳ, καὶ τοῖς λόγοις αὐτοῦ, οὐκ [11]) εἰδόντι, ὅτι Χριστιανισμοῦ ἀποτρέψαι θέλων τοὺς ἐντυγχάνοντας αὐτοῦ τῇ γραφῇ, ἀποτρέπει καὶ τῶν οὐ Χριστιανῶν τὸ πρὸς τοὺς φέροντας τὰ βα-

---

[1]) Philoc. καὶ μὴ ἐπισταμένων.

[2]) Hoeschel. in textu (edd. Spenc. ad marg.) ἀποτρέψαι.

[3]) Deest τό in Philocal.

[4]) Deest τοῖς in edd. Spenc.

[5]) Philoc. βαρυνομένοις.

[6]) Philoc. ἐπιλαμβάνοιντο. Ἐρεῖ μὲν ὁ δεόμενος κτλ.

[7]) Desunt in Philoc. verba: διὰ τὸ φέρειν βαρύταια φορτία.

[8]) Philoc. τοιοῦτο.

[9]) Philoc. ἐπὰν παραβάλλωνται. Hoeschel. et Spencer. in margine: διὰ τὸ παραβαλέσθαι. R.

[10]) Philoc. οἱ δὲ ἄνθρωποι.

[11]) Philoc. οὐκ εἰδότι.

ρύτατα τῶν φορτίων συμπαθές. Ἐχρῆν[1]) δ' ἂν αὐτὸν, εἴπερ ἦν καὶ φιλόσοφος αἰσθανόμενος τοῦ κοινωνικοῦ, πρὸς[2]) τῷ μὴ συναναιρεῖν[3]) τῷ[4]) Χριστιανισμῷ τὰ χρήσιμα τῶν ἐν ἀνθρώποις, καὶ συνεργεῖν, (εἰ[5]) οἷόν τ' ἦν,) τοῖς[6]) κοινοῖς ἐν Χριστιανισμῷ πρὸς τοὺς ἄλλους ἀνθρώπους καλοῖς. Εἰ δὲ καὶ τῶν ἀποτιθεμένων καρπῶν τὰς ἐκφύσεις ἀπεκτιθέασιν[7]) οἱ μύρμηκες, ἵνα μὴ σπαργῶσιν,[8]) μένοιεν δὲ δι' ἔτους αὐτοῖς εἰς τροφήν· οὐ λογισμὸν εἶναι ἐν μύρμηξι τούτων αἴτιον ὑπονοητέον, ἀλλὰ τὴν παμμήτορα φύσιν τὴν[9]) καὶ τὰ ἄλογα κοσμήσασαν, ὡς μηδὲ τοὐλάχιστον καταλιπεῖν, μηδαμῶς φέρον ἴχνος τοῦ ἀπὸ τῆς φύσεως λόγου. (219) Εἰ μὴ ἄρα διὰ τούτων λεληθότως[10]) βούλεται ὁ Κέλσος· (καὶ γὰρ ἐν πολλοῖς Πλατωνίζειν θέλει·) ὁμοειδῆ[11]) εἶναι πᾶσαν ψυχὴν, καὶ μηδὲν δια-

---

[1]) Sic Philocalia, Hoeschel. autem et Spencerus: Ἐχρῆν δ' αὐτὸν, εἴπερ ἦν κἂν φιλόσοφος.

[2]) Philoc., itemq. Boherell. in notis: πρὸς τό.

[3]) Philoc. συναιρεῖν.

[4]) Sic Philocalia, Hoeschel. autem et Spencerus: τοῖς Χριστιανισμοῦ.

[5]) Philoc. εἰ οἷόν τε ἦν.

[6]) Philoc. Mscr., Hoeschel. teste: τοῖς κοινοῖς τῷ Χριστιανῷ, Philoc. vero impressa: τοῖς κοινοῖς Χριστιανισμῷ.

[7]) Philoc. Mscr., Hoeschel. teste: ἀποτιθέασιν, Philoc. vero impressa, ut nos in textu.

[8]) Philoc. σπαραγγῶσιν.

[9]) Deest τήν in Philoc., itemq. in edd. Spenc.

[10]) Philoc. λεληθότως ὁ Κέλσος ἐν πολλοῖς Πλατωνίζειν θέλει, καὶ βούλεται ὁμοειδῆ εἶναι κτλ. — Cfr. Lactant. lib. VII. cap. 13. Pythagoras, apud Ovidium, lib. XV. Metamorphos. Fab. 3. Origenes lib. I. contra Cels. num. 32. 33., lib. IV. num. 54. 56., et lib. V. num. 20. 21. Vide etiam Platonem in Epinom. pag. 980. 981., et in Timaeo pag. 90 91.

[11]) Philoc. Mscr., Hoeschel. teste: μονοειδῆ, pro:

φέρειν τὴν τοῦ ἀνθρώπου τῆς τῶν μυρμήκων καὶ τῶν μελισσῶν· ὅπερ κατάγοντός ἐστι τὴν ψυχὴν ἀπὸ τῶν ἀψίδων τοῦ οὐρανοῦ, οὐκ ἐπὶ τὸ ἀνθρώπινον[1]) σῶμα μόνον, ἀλλὰ καὶ ἐπὶ τὰ λοιπά. Τούτοις δ' οὐ πείσονται Χριστιανοὶ, προκατειληφότες τὸ[2]) κατ' εἰκόνα γεγονέναι θεοῦ τὴν ἀνθρωπίνην ψυχὴν, καὶ[3]) ὁρῶντες, ὅτι ἀμήχανόν ἐστι τὴν κατ' εἰκόνα θεοῦ δεδημιουργημένην φύσιν πάντη ἀπαλεῖψαι[4]) τοὺς χαρακτῆρας αὐτῆς,[5]) καὶ ἄλλους ἀναλαβεῖν οὐκ οἶδα κατ'[6]) εἰκόνας τίνων γεγενημένους[7]) ἐν τοῖς ἀλόγοις.

84. Ἐπεὶ[8]) δὲ καὶ »τοῖς ἀποθνήσκουσι μύρμηξί φησι τοὺς ζῶντας ἴδιόν τι ἀποκρίνειν χωρίον, κἀκεῖνο αὐτοῖς εἶναι πάτρια μνήματα·« λεκτέον, ὅτι ὅσῳ πλείονα λέγει τῶν ἀλόγων ζώων[9]) ἐγκώμια, τοσούτῳ πλεῖον, (κἂν μὴ θέλῃ,) αὔξει τὸ τοῦ πάντα κοσμήσαντος λόγου ἔργον· καὶ δείκνυσι τὴν ἐν ἀνθρώποις ἐντρέχειαν, δυναμένην κοσμεῖν τῷ λόγῳ καὶ τὰ πλεονεκτήματα[10])

ὁμοειδῆ. Philoc. impressa, cfr. pag. 130. not. 10., ὁ μοειδῆ. — Hoeschel. in notis: »In Palatino Codice adscriptum hic margini: Σημείωσαι, ὅτι διαβάλλεται ὁ Ὠριγένης ὡς κἂν τοῖς ἄλλοις καὶ εἰς τὴν μετεμψύχωσιν.«

[1]) Philoc. ἀνθρώπινον μόνον σῶμα.

[2]) Philoc. τὸ κατ' εἰκόνα θεοῦ γεγονέναι.

[3]) Hoeschel. et Spencer. (uncis voc. ὅσον appositis): καὶ ὅσον ὁρῶντες, at Philocal. recte omittit ὅσον. R.

[4]) Philoc. ἀπολεῖψαι.

[5]) Philoc. αὐτῆς, καὶ ἀλόγους ἀναλαβεῖν.

[6]) Philoc. Mscr., Hoeschel. teste: κατ' εἰκόνα τίνων γεγενημένων, Philoc. vero impressa, ut nos in textu.

[7]) Hoeschel. et Spencer. in margine: γεγενημένων, R. — Cfr. pag. huj. not. 6.

[8]) Sic Philocalia. Hoeschel. et Spencerus: Ἐπειδὴ καὶ τοῖς. R.

[9]) Deest ζώων in Philocalia.

[10]) Boherell. in notis: »Commodior forte sensus elicitur, si legas: πλημμελήματα. J. ὑστερήματα. Stare tamen et alter potest.«

τῆς φύσεως τῶν ἀλόγων. Τί[1]) δὲ λέγω τῶν ἀλόγων, ἐπεὶ Κέλσῳ δοκεῖ μηδ' ἄλογα εἶναι τὰ κατὰ τὰς κοινὰς[2]) πάντων ἐννοίας ἄλογα καλούμενα; Οὐδὲ τοὺς μύρμηκας γοῦν οἴεται εἶναι ἀλόγους, ὁ περὶ τῆς ὅλης φύσεως ἐπαγγειλάμενος λέγειν, καὶ τὴν ἀλήθειαν ἐν τῇ ἐπιγραφῇ τοῦ βιβλίου αὐχήσας. Φησὶ γὰρ περὶ τῶν μυρμήκων ὡς διαλεγομένων ἀλλήλοις τοιαῦτα· »Καὶ μὲν δὴ καὶ ἀπαντῶντες[3]) ἀλλήλοις διαλέγονται, ὅθεν οὐδὲ τῶν ὁδῶν ἁμαρτάνουσιν· οὐκοῦν καὶ λόγου συμπλήρωσίς[4]) ἐστι παρ' αὐτοῖς, καὶ κοιναὶ ἔννοιαι καθολικῶν τινων, καὶ φωνὴ, καὶ[5]) τυγχάνοντα σημαινόμενα.« Τὸ γὰρ διαλέγεσθαί τινα πρὸς ἕτερον, ἐν φωνῇ γίνεται δηλούσῃ τι σημαινόμενον, πολλάκις δὲ καὶ περὶ τῶν καλουμένων τυγχανόντων ἀπαγγελλούσῃ·[6]) ἅπερ καὶ ἐν μύρμηξι λέγειν εἶναι, πῶς[7]) οὐ πάντων ἂν εἴη καταγελαστότατον;

85. Καὶ οὐκ αἰδεῖταί γε ἐπιφέρων τούτοις, ἵνα καὶ τοῖς μετ' αὐτὸν ἐσομένοις ἐπιδεικνύηται τὴν τῶν δογμάτων ἑαυτοῦ[8]) ἀσχημοσύνην, λέγων· »Φέρ'[9]) οὖν, εἴ τις ἀπ'[10]) οὐρανοῦ ἐπὶ τὴν γῆν ἐπιβλέποι, τί ἂν

---

[1]) Verba: *Τί δὲ λέγω τῶν ἀλόγων*, in antea editis (v. c. edd. Spenc.) omissa, supplentur e Philocalia. R.

[2]) Philoc. *κοινὰς ἐννοίας πάντων ἄλογα κτλ.*

[3]) Libri editi (v. c. edd. Spenc.) in margine: *διαπαντῶντες*. R.

[4]) Philoc. Mscr., Hoeschel. teste: *συμπλήρωσίς ἐστιν ἐν αὐτοῖς*. Philoc. impressa, ut nos in textu.

[5]) Edd. Spenceri: *καὶ τυγχάνοντα, καὶ σημαινόμενα*.

[6]) Edd. Philocal., Spenc. et Ruaei in textu: *ἀπαγγέλλουσιν*, ed. vero Ruaei in notis: »Malim cum Bohemello: *ἀπαγγελλούσῃ*.«

[7]) Philoc. *πῶς οὐκ ἂν πάντων εἴη κτλ.*

[8]) Libri editi (v. c. edd. Spenc.) in margine: *αὐτοῦ*. R.

[9]) Philoc. *φέρε οὖν, εἴ τις κτλ.*

[10]) Philoc. Mscr., Hoeschel. teste: *ἀπ' οὐραναῦ τὰ*

δόξαι διαφέρειν τὰ ὑφ' ἡμῶν, ἢ τὰ ὑπὸ μυρμήκων καὶ μελισσῶν δρώμενα;« Ὁ ἀπ' οὐρανοῦ δὴ [1]) ἐπὶ γῆν κατὰ τὴν ὑπόθεσιν αὐτοῦ βλέπων τὰ δρώμενα ὑπὸ τῶν ἀνθρώπων, καὶ τὰ ὑπὸ τῶν μυρμήκων γινόμενα, πότερον ἐνορᾷ [2]) μὲν ἀνθρώπων καὶ μυρμήκων σώμασιν· οὐ κατανοεῖ δὲ τὸ λογικὸν ἡγεμονικὸν καὶ λογισμῷ κινούμενον; Πάλιν τε αὖ [3]) τὸ ἄλογον ἡγεμονικὸν [4]) καὶ ὑπὸ ὁρμῆς καὶ φαντασίας ἀλόγως κινούμενον, μετά τινος φυσικῆς ὑποκατασκευῆς; Ἀλλ' ἄτοπον τὸν ἀπ' οὐρανοῦ βλέποντα [5]) τὰ ἐπὶ γῆς, ἐνορᾶν μὲν θέλειν σώμασιν ἀνθρώπων καὶ μυρμήκων, ἀπὸ τοσούτου [6]) διαστήματος· μὴ πολὺ δὲ μᾶλλον βλέπειν ἡγεμονικῶν φύσεις, καὶ πηγὴν (220) ὁρμῶν λογικὴν, ἢ ἄλογον. Εἰ δ' ἅπαξ βλέπει τὴν πασῶν ὁρμῶν πηγήν· δῆλον, ὅτι καὶ τὴν διαφορὰν ἴδοι ἄν, καὶ τὴν ὑπεροχὴν τοῦ ἀνθρώπου, οὐ μόνον παρὰ τοὺς μύρμηκας, ἀλλὰ καὶ παρὰ τοὺς ἐλέφαντας. Ὁ γὰρ βλέπων ἀπ' οὐρανοῦ, ἐν μὲν τοῖς ἀλόγοις, κἂν [7]) μεγάλα ᾖ αὐτῶν τὰ σώματα, οὐκ ἄλλην ὄψεται ἀρχὴν, ἢ τὴν, (ἵν' οὕτως ὀνομάσω,) ἀλογίαν· ἐν [8]) δὲ τοῖς λογικοῖς, λόγον τὸν κοινὸν ἀν-

---

ἐπὶ γῆς βλέποι, Philoc. vero impressa: ἀπ' οὐρανοῦ τὰ ἐπὶ γῆς ἐπιβλέπει.

[1]) Philoc. Mscr., Hoeschel. teste: δὴ καὶ ἐπὶ γῆν κτλ., Philoc. vero impressa, ut nos in textu.

[2]) Philoc. ἐνορᾷ μὲν σώμασιν ἀνθρώπων καὶ μυρμήκων.

[3]) Philoc. Mscr., Hoeschel. teste: αὖ ὁρᾷ τὸ ἄλογον κτλ., Philoc. vero impressa, ut nos in textu.

[4]) In edd. Spenc. uncis inclusum legitur: ἡγεμονικόν.

[5]) Edd. Spenc. in textu: βλέποντα ἐπὶ γῆς, ad marg. vero: βλέποντα ἐπὶ γῆν.

[6]) Philoc. τούτου.

[7]) Libri editi (v. c. edd. Spenc.) in textu: κἂν μεγάλα ᾖ. R. — Edd. Spenc. ad marg. κἂν μεγάλα ᾖ.

[8]) Philoc. ἐν δὲ τοῖς λογικοῖς ζώοις τὸ κοινὸν ἀνθρώπων κτλ.

ἀνθρώπων πρὸς τὰ θεῖα καὶ ἐπουράνια, τάχα δὲ καὶ αὐτὸν τὸν ἐπὶ πᾶσι θεὸν,[1]) δι' ὃν κατ' εἰκόνα γεγονέναι ὠνόμασται τοῦ θεοῦ· εἰκὼν[2]) γὰρ τοῦ ἐπὶ πᾶσι θεοῦ ὁ λόγος ἐστὶν αὐτοῦ.

86. Ἐξῆς δὲ τούτοις ὡσπερεὶ ἐπὶ[3]) πλεῖον καταβιβάσαι ἀγωνιζόμενος τὸ τῶν ἀνθρώπων γένος, καὶ ἐξομοιῶσαι τοῖς ἀλόγοις, καὶ μηδὲν[4]) ὅ, τι καταλιπεῖν θέλων τῶν ἐν τοῖς ἀλόγοις ἱστορουμένων, ἐμφαινόντων τὸ μεῖζον· καὶ »τὰ τῆς γοητείας φησὶν εἶναι καὶ ἔν τισι τῶν ἀλόγων·« (ὡς μηδ' ἐπὶ[5]) τούτῳ τοὺς ἀνθρώπους ἐξαιρέτως[6]) σεμνύνεσθαι, μηδὲ[7]) θέλειν ἔχειν τὴν πρὸς τὰ ἄλογα ὑπεροχήν·) καί φησι ταῦτα· »Εἰ[8]) δέ τι καὶ ἐπὶ γοητείᾳ φρονοῦσιν[9]) ἄνθρωποι,[10]) ἀλλ' ἤδη καὶ κατὰ τοῦτο σοφώτεροι ὄφεις καὶ ἀετοί· πολλὰ γοῦν ἴσασιν ἀλεξιφάρμακα καὶ ἀλεξίκακα, καὶ δὴ καὶ λίθων τινῶν δυνάμεις, ἐπὶ σωτηρίᾳ τῶν νεοσσῶν. Οἷς[11]) ἂν

---

[1]) Philoc. θεόν· διὸ καὶ κατ' εἰκόνα κτλ.

[2]) Cfr. Coloss. I, 15.

[3]) Philoc. (impressa scil.) ἐπὶ πλεῖον. Hoeschel. et Spencer. ἐπὶ πλείονων. R. — Philoc. Mscr., Hoeschel. teste: ἐπιπλέον.

[4]) Philoc. μηδὲν ὅτι καταλιπεῖν ἐθέλων τῶν ἐν τοῖς κτλ.

[5]) Philoc. Mscr., Hoeschel. teste: ἐπὶ τούτων, Philoc. vero impressa, ut nos in textu.

[6]) Deest ἐξαιρέτως apud Hoeschel. et Spencerum, sed reperitur in Codd. Regio, Basileensi, et Philocalia. R.

[7]) Philoc. μηδ' ἐθέλειν ἔχειν.

[8]) Sic recte Philocalia. Apud Hoeschel. et Spencer. deest: ἐπί. R. — Boherell., respectu habito ad lectionem Hoeschel. et Spenceri, in notis: »Lege: Εἰ δ' ἐπί κτλ., e Philocal., et ex subsequentibus.« Cfr. pag. 135. not. 6.

[9]) Boherellus, quem Ruaeus sequitur, in notis: »Lego: μέγα φρονοῦσιν ἄνθρωποι.« — Cfr. pag. 135. not. 7.

[10]) Philoc. ἄνθρωποι, ἤδη καὶ κατὰ τοῦτο.

[11]) Philoc. Οἷς ἐάν.

ἐπιτύχωσιν[1]) ἄνθρωποι, θαυμαστόν τι κτῆμα ἔχειν νομίζουσι.« Καὶ πρῶτόν[2]) γε οὐκ οἶδ' ὅπως τὴν τῶν ζώων περὶ τὰ φυσικὰ ἀλεξιφάρμακα εἴτε ἐμπειρίαν, εἴτε φυσικήν τινα κατάληψιν, γοητείαν ὠνόμασεν· ἐπ' ἄλλου γὰρ τέτριπται τὸ τῆς γοητείας τάσσεσθαι[3]) ὄνομα. Εἰ μὴ ἄρα λελῃθότως διαβάλλειν[4]) βούλεται, ὡς Ἐπικούρειος, πᾶσαν τὴν τῶν τοιούτων χρῆσιν, ὡς ἐν ἐπαγγελίᾳ γοήτων κειμένην. Πλὴν ἀλλὰ δεδόσθω[5]) αὐτῷ τὸ τοὺς ἀνθρώπους φρονεῖν ἐπὶ[6]) τῇ τούτων γνώσει μέγα,[7]) εἴτε γόητας ὄντας, εἴτε καὶ μή· πῶς[8]) ἔτι σοφώτεροι κατὰ τοῦτο ἀνθρώπων εἰσὶν ὄφεις, τῷ μαράθρῳ[9]) εἰς ὀξυωπίαν καὶ ταχυτῆτα[10]) κινήσεως χρώμενοι· μόνον τοῦτο φυσικὸν οὐκ ἐξ ἐπιλογισμοῦ καταλαμβάνοντες,[11]) ἀλλ' ἐκ κατασκευῆς; Ἄνθρωποι δὲ οὐκ ἀπὸ ψιλῆς φύσεως ἐπὶ τὸ τοιοῦτον[12]) ὁμοίως ὄφεσιν

---

[1]) Philoc. Mscr., Hoeschel. teste: ἐντύχωσιν, Philoc. vero impressa, ut nos in textu.

[2]) Philoc. πρῶτον μὲν οὐκ οἶδ' ὅπως κτλ.

[3]) R. in notis, Boherello duce: »Philoc. τάσσεσθαι rectius quam alii libri (v. c. edd. Spenc.), in quibus legitur: ἔσεσθαι.«

[4]) Philoc. Mscr., Hoeschel. teste: διαβάλλειν οἴεται ὁ Ἐπικούρειος, Philoc. vero impressa: διαβάλλειν βούληται ὡς Ἐπικούρειος.

[5]) Philoc. Mscr., Hoeschel. teste: διδόσθω, Philoc. vero impressa, ut nos in textu.

[6]) Cfr. pag. 134. not. 8.

[7]) Cfr. pag. 134. not. 9.

[8]) Philoc. πῶς ὅτι σοφώτεροι.

[9]) Vide Plinium lib. VIII. cap. 27.

[10]) Edd. Philoc., itemq. edd. Spenc. et Ruaei: ταχύτητα.

[11]) Philoc. Mscr., Hoesch. teste: καταλαμβάνοντες, οὐδ' ἐκ κατασκευῆς, Philoc. vero impressa, ut nos in textu.

[12]) Philoc. τοιοῦτο.

ἔρχονται· ἀλλὰ πῆ[1]) μὲν ἐκ πείρας, πῆ δ' ἐκ λόγου, ἔσθ'[2]) ὅτε δ' ἐξ ἐπιλογισμοῦ, καὶ κατ' ἐπιστήμην. Ὡς[3]) εἰ καὶ ἀετοὶ πρὸς σωτηρίαν τῶν ἐν τῇ καλιᾷ νεοσσῶν, τὸν λεγόμενον ἀετίτην λίθον εὑρόντες, φέρουσιν ἐπ' αὐτὴν, πόθεν, ὅτι σοφοὶ ἀετοὶ, καὶ τῶν ἀνθρώπων σοφώτεροι, τῶν ἐκ πείρας τὸ τοῖς ἀετοῖς δοθὲν φυσικὸν βοήθημα εὑρόντων διὰ[4]) τοῦ λογισμοῦ, καὶ μετὰ νοῦ χρησαμένων;

87. Ἔστω δὲ καὶ ἄλλα ὑπὸ τῶν ζώων γιγνώσκεσθαι[5]) ἀλεξιφάρμακα, τί οὖν τοῦτο (221) πρὸς τὸ μὴ φύσιν, ἀλλὰ λόγον εἶναι τὸν[6]) εὑρίσκοντα ταῦτα ἐν τοῖς ζώοις; Εἰ μὲν γὰρ λόγος ἦν ὁ εὑρίσκων, οὐκ[7]) ἂν ἀποτεταγμένως τόδε τι μόνον[8]) εὑρίσκετο ἐν ὄφεσιν, ἔστω καὶ δεύτερον, καὶ τρίτον, καὶ ἄλλο τι ἐν[9]) ἀετῷ, καὶ οὕτως ἐν τοῖς λοιποῖς ζώοις· ἀλλὰ[10]) τοσαῦτα ἄν, ὅσα καὶ ἐν ἀνθρώποις. Νυνὶ δὲ φανερὸν ἐκ τοῦ ἀποτεταγμένως πρός[11]) τινα ἑκάστου φύσιν ζώου νενευκέναι βοηθήματα, ὅτι οὐ σοφία, οὐδὲ λόγος[12]) ἐστὶν ἐν αὐτοῖς· ἀλλά τις φυσικὴ πρὸς τὰ τοιάδε σωτηρίας ἕνεκεν τῶν ζώων κατασκευὴ, ὑπὸ τοῦ

---

[1]) Philoc. πῇ μὲν ἐκ πείρας, πῇ δὲ ἐκ λόγου.

[2]) Philoc. ἔσθ' ὅτε δὲ καὶ ἐξ ἐπιλογισμοῦ.

[3]) Vide Plin. lib. X. cap. 3., lib. XXX. cap. 14. et lib. XXXVI. cap. 21.

[4]) Sic libri editi (v. c. edd. Spenc.) in margine, in textu vero (itemq. Philoc.) διὰ τὸν λογισμόν. R.

[5]) Philoc. γινώσκεσθαι.

[6]) Philoc. τὸν εὑρίσκοντα ἐν τοῖς ζώοις ταῦτα; Εἰ μὴ γὰρ λόγος κτλ.

[7]) Philoc. οὐκ ἄν ποτε ἀποτεταγμένως.

[8]) Deest μόνον in Philoc. [9]) Philoc. ἐν αὐτῷ.

[10]) Philoc. ἄλλα τοσαῦτα κτλ.

[11]) Philoc. πρός τινα ἑκάστου ζώου φύσιν νενευκέναι κτλ.

[12]) Hoeschel. et Spenc. (in textu): λόγος ἦν ἐν αὐτοῖς. R. — Edd. Spenc. ad marg. λόγος ἐστὶν ἐν αὐτοῖς.

λόγου γεγενημένη. Καί τοί γε εἰ ἐβουλόμην ὁμόσε χωρεῖν τῷ [1]) Κέλσῳ κατὰ ταῦτα, ἐχρησάμην ἂν Σολομῶντος λέξει ἀπὸ τῶν Παροιμιῶν, οὕτως ἐχούσῃ· »τέσσαρα [2]) δ' ἐστὶν ἐλάχιστα ἐπὶ τῆς γῆς, ταῦτα δέ ἐστι σοφώτερα τῶν σοφῶν· οἱ [3]) μύρμηκες, οἷς μή ἐστιν ἰσχύς, καὶ ἑτοιμάζονται θέρους τὴν τροφήν. Καὶ οἱ χοιρογρύλλιοι, ἔθνος οὐκ ἰσχυρόν, οἳ [4]) ἐποίησαν ἐν πέτραις τοὺς ἑαυτῶν οἴκους. Ἀβασίλευτός [5]) ἐστιν ἡ ἀκρὶς, καὶ [6]) στρατεύει ἀπὸ ἑνὸς κελεύσματος εὐτάκτως. Καὶ ἀσκαλαβώτης, χερσὶν ἐρειδόμενος, καὶ εὐάλωτος ὢν, κατοικεῖ [7]) ἐν ὀχυρώμασι βασιλέως.« Ἀλλ' οὐ συγχρῶμαι ὡς [8]) σαφέσι τοῖς ῥητοῖς, ἀκολούθως δὲ τῇ ἐπιγραφῇ· (ἐπιγέγραπται γὰρ [9]) τὸ βιβλίον Παροιμίαι·) ζητῶ ταῦτα,

---

[1]) Desunt in Philoc. verba: *τῷ Κέλσῳ κατὰ ταῦτα.*

[2]) Cfr. Prov. XXX, 24—28. (XXIV.) — Philoc. *τέσσαρά ἐστιν ἐλάχιστα κτλ.*

[3]) Philoc. Mscr., Hoeschel. teste: *οἷον μύρμηκες, οἷς μὴ ἔστιν ἰσχύς· οἳ ἑτοιμάζονται ἐν θέρει τὴν τροφήν*, Philoc. vero impressa: *οἱ μύρμηκες, οἷς μὴ ἔστιν ἰσχύς· οἳ ἑτοιμάζονται ἐν θέρει τὴν τροφήν.*

[4]) Hoeschel. et Spencer. (in textu): *οἳ ἑτοιμάζονται ἐν πέτραις.* R. — Philoc. Mscr., Hoeschel. duce: *οἳ ἐποιήσαντο ἐν πέτραις*, Philoc. vero impressa, ut nos in textu. Edd. Spenc. ad marginem: »Libri editi, cfr. Prov. XXX, 26., *οἳ ἐποιήσαντο ἐν πέτραις.*«

[5]) Sic Codd. Reg. et Basileensis. Philoc. vero (itemq. edd. Spenc.) *Ἀβασίλευτόν ἐστιν ἡ ἀκρίς.* R.

[6]) Sic Codd. Reg. et Basil. (itemq. edd. Spenc. in textu). Philoc. *καὶ στρατοπεδεύει.* R. — Edd. Spenc. ad marginem: »Libri editi: *καὶ ἐκστρατεύει.*«

[7]) Libri editi (v. c. edd. Philoc. et Spenc.) in textu: *οἰκεῖ.* R. — Boherell. in notis: »Alia exemplaria habent: *κατοικεῖ.* Lege: *καὶ οἰκεῖ.*« Edd. Spenc. in margine: »Libri editi: *κατοικεῖ.*«

[8]) In Philoc. deest *ὡς*. [9]) Philoc. *δέ.*

ὡς αἰνίγματα. Ἔθος γὰρ τοῖς ἀνδράσι τούτοις[1]) τὰ ἕτερον μέν τι αὐτόθεν δηλοῦντα, ἕτερον δὲ ἐν[2]) ὑπονοίᾳ ἀπαγγέλλοντα, διαιρεῖν εἰς εἴδη πολλὰ, ὧν ἓν[3]) εἶναι τὰς παροιμίας.[4]) Διὸ καὶ[5]) ἐν τοῖς εὐαγγελίοις ἡμῶν[6]) γέγραπται ὁ σωτὴρ ἡμῶν εἰρηκέναι· »ταῦτ'[7]) ἐν παροιμίαις λελάληκα ὑμῖν· ἀλλ'[8]) ἔρχεται ὥρα, ὅτε οὐκέτι[9]) ἐν παροιμίαις λαλήσω ὑμῖν.« Οὐχ οἱ αἰσθητοὶ τοίνυν μύρμηκες σοφώτεροι[10]) καὶ τῶν σοφῶν εἰσιν, ἀλλ' οἱ δηλούμενοι ὡς ἐν εἴδει παροιμιῶν. Οὕτω δὲ λεκτέον καὶ περὶ τῶν λοιπῶν ζώων· ἀλλὰ[11]) πάνυ ἁπλούστατα νομίζει εἶναι καὶ ἰδιωτικὰ ὁ Κέλσος τὰ Ἰουδαίων καὶ Χριστιανῶν βιβλία, καὶ οἴεται τοὺς ἀλληγοροῦντας αὐτὰ, βιαζομένους τὸ βούλημα τῶν γραψάντων, τοῦτο ποιεῖν. Ἐληλέγχθω οὖν καὶ διὰ τούτων ὁ Κέλσος μάτην ἡμᾶς διαβάλλων· ἐληλέγχθω[12]) δὲ αὐτοῦ καὶ ὁ περὶ ὄφεων καὶ ἀετῶν λόγος, ἀποφηνάμενος[13]) εἶναι τούτους ἀνθρώπων σοφωτέρους.

---

[1]) Philoc. τούτοις, ἕτερον μέντοι αὐτόθεν κτλ.

[2]) Cfr. libri huj. num. 38.

[3]) Sic Philocalia. Ab antea editis (v. c. edd. Spenc.) abest: ἕν. R.

[4]) Hoeschel. in notis: »Post παροιμίας deest δῆλον, aut quid simile, ut e veteri interpretatione conjicio.«

[5]) Deest καί in Philoc.

[6]) Deest ἡμῶν in Philoc.

[7]) Cfr. ev. Joann. XVI, 25. — Philoc. ταῦτα ἐν παροιμίαις κτλ.

[8]) In edd. Spenc. uncis inclusum legitur: ἀλλ'.

[9]) Philoc. οὐκ ἔτι.

[10]) Philoc. σοφώτεροί εἰσι τῶν σοφῶν, ἀλλ' οἱ δηλούμενοι.

[11]) Philoc. ἀλλὰ πάνυ ἁπλούστατα καὶ ἰδιωτικὰ νομίζει εἶναι ὁ Κέλσος τὰ Ἰουδαίων κτλ.

[12]) Philoc. ἐληλέγχθω δ' αὐτοῦ.

[13]) Philoc. ἀποφηνάμενος τούτους εἶναι σοφωτέρους ἀνθρώπων.

88. Θέλων[1]) δ' ἔτι διὰ πλειόνων μηδὲ τὰς περὶ τοῦ θείου ἐννοίας ἐξαιρέτους εἶναι παρὰ τὰ ἀνητὰ πάντα ἐν τῷ γένει τῶν ἀνθρώπων, ἀλλὰ καὶ τῶν ἀλόγων[2]) ζώων τινὰ ἀποφῆναι ἐννοοῦντα περὶ τοῦ θεοῦ, περὶ οὗ τοιαῦται[3]) διαφωνίαι γεγόνασι καὶ τοῖς ὀξυτέροις τῶν πανταχοῦ ἀνθρώπων, Ἑλλήνων, καὶ βαρβάρων, φησίν·[4]) »Εἰ δ', ὅτι καὶ θείας ἐννοίας ἄνθρωπος ἐπείληπται,[5]) νομίζεται ὑπερέχειν τῶν λοιπῶν ζώων· ἴστωσαν οἱ τοῦτο φάσκοντες, ὅτι καὶ τούτου πολλὰ τῶν[6]) ἄλλων ζώων ἀντιποιηθήσεται·[7]) καὶ μάλα εἰκότως, τί γὰρ ἂν φαίη τις θειότερον τοῦ τὰ μέλλοντα προγιγνώσκειν[8]) τε καὶ προδηλοῦν; (222) Τοῦτο τοίνυν ἄνθρωποι παρὰ τῶν ἄλλων ζώων, καὶ μάλιστα παρ'[9]) ὀρνίθων, μανθάνουσι. Καὶ ὅσοι τῆς ἐκείνων ἐνδείξεως ἐπαΐουσιν, οὗτοι μαντικοί. Εἰ[10]) δ' ὄρνιθες ἄρα, καὶ ὅσα ἄλλα[11]) ζῶα μαντικὰ ἐκ θεοῦ προγινώσκοντα, διὰ συμβόλων ἡμᾶς διδάσκει, τοσοῦτον[12]) ἔοικεν ἐγγυτέρω

---

[1]) Libri editi (v. c. edd. Spenc.) in textu: *Θέλων δέ τι*. R. — Philoc. Mscr., Hoeschel. teste, itemq. edd. Spenc. ad marginem: *Θέλων δ' ἔτι*, Philoc. vero impressa: *Θέλων δὲ ἔτι*.

[2]) Philoc. *ἀλόγων τινὰ ἀποφῆναι ζώων ἐννοοῦντα περὶ τοῦ κτλ.*

[3]) Philoc. *τοσαῦται διαφωνίαι*.

[4]) Philoc. *φησίν· ὅτι εἰ δ' ὅτι θείας ἐννοίας κτλ.*

[5]) Philoc. Mscr., Hoesch. teste: *ἐπιλείπεται*, Philoc. vero impressa, ut nos in textu.

[6]) Philoc. Mscr., Hoesch. teste: *τῶν ἀλόγων ζώων*, Philoc. vero impressa, ut nos in textu.

[7]) Philoc. *ἀντιποιήσεται*.

[8]) Philoc. *προγινώσκειν*.

[9]) Philoc. *παρὰ ὀρνίθων*.

[10]) Philoc. *Εἰ δὲ ὄρνιθες, ἄρα καὶ ὅσα κτλ.*

[11]) Vox *ἄλλα*, quae in antea editis (v. c. edd. Spenc.) desideratur, suppletur e Philocalia. R.

[12]) Jam Boherellus, quem Ruaeus in notis sequitur, non male in notis: »Lego: *τοσούτου*,«

τῆς θείας ὁμιλίας ἐκεῖνα πεφυκέναι, καὶ εἶναι σοφώτερα, καὶ θεοφιλέστερα.[1]) Φασὶ δὲ τῶν ἀνθρώπων οἱ συνετοὶ καὶ ὁμιλίας ἐκείνοις εἶναι, δηλονότι τῶν[2]) ἡμετέρων ἱερωτέρας· καὶ αὐτοί που γνωρίζειν[3]) τὰ λεγόμενα, καὶ ἔργῳ δεικνύειν, ὅτι γνωρίζουσιν, ὅταν προειπόντες,[4]) ὅτι ἔφασαν οἱ ὄρνιθες ὡς[5]) ἀπίασί ποι, καὶ ποιήσουσι[6]) τόδε, ἢ τόδε, δεικνύωσιν[7]) ἀπελθόντας[8]) ἐκεῖ, καὶ ποιοῦντας ἃ δὴ προεῖπον. Ἐλεφάντων δὲ οὐδὲν εὐρυκότερον, οὐδὲ πρὸς τὰ θεῖα πιστότερον εἶναι δοκεῖ, πάντως δή που, διότι γνῶσιν αὐτοῦ[9]) ἔχουσιν.« Ὅρα δὲ ἐν τούτοις, ὅσα ζητούμενα παρὰ τοῖς φιλοσοφοῦσιν, (οὐ μόνον Ἑλλήνων, ἀλλὰ καὶ τῶν ἐν βαρβάροις, εἴθ'[10]) εὑρόντων, εἴτε παρά τινων δαιμόνων μαθόντων τὰ περὶ οἰωνῶν καὶ τῶν ἄλλων ζώων, ἀφ' ὧν μαντεῖαί τινες ἀνθρώποις γίνεσθαι λέγονται,)[11]) συναρπάζει, καὶ ὡς ὁμολογούμενα ἐκτίθεται. Πρῶτον μὲν γὰρ ἐζήτηται,[12]) πότερόν ἐστί τις τέχνη οἰωνιστικὴ, καὶ ἁπαξαπλῶς ἡ διὰ ζώων μαντικὴ, ἢ οὐκ ἔστι.

---

[1]) Philoc. *θεοφιλέστερα*. Hoeschel. et Spencerus: *θεοφιλέσταια*. R. — Boherell. in notis: »Lege: *θεοφιλέστερα*, e Philocalia. Sic et lib. IV. contra Cels. num. 58. et num. 97.

[2]) Philoc. Mscr., Hoeschel. teste: *τῶν παρ' ἡμῖν ἱερωτέρας*, Philoc. vero impressa, ut nos in textu.

[3]) Philocalia: *γνωρίζειν τὰ λεγόμενα*. Hoeschel. et Spencerus: *γνωρίζειν τὰ γινόμενα*. R. — Jam Boherell. in notis: »Melius: *γνωρίζειν τὰ λεγόμενα*, e Philocalia, et e libri huj. num. 97.«

[4]) Philoc. *προειπόντες, ὅ, τι ἔφασαν κτλ.*

[5]) Philoc. *ὅτι ἀπίασί που.*

[6]) Edd. Spenc. *ποιήσωσι*. Jam Boherell. vero in notis: »Lego: *ποιήσουσι*, ut libri huj. num. 97.

[7]) Philoc. *δεικνύουσιν.* [8]) Philoc. *ἀπιόντας.*

[9]) Philoc. *αὐτοὶ ἔχουσιν.*

[10]) Philoc. *εἴτε εὑρόντων.*

[11]) Philoc. *λέγεται.* [12]) Philoc. *ἐξήτηται.*

Δεύτερον δὲ παρὰ τοῖς παραδεξαμένοις εἶναι τὴν[1] *δι' ὀρνίθων μαντικὴν, οὐ συμπεφώνηται ἡ αἰτία τοῦ τρόπου τῆς μαντείας· ἐπειδήπερ*[2] *οἱ μὲν ἀπό*[3] *τινων δαιμόνων, ἢ θεῶν μαντικῶν φασι γίγνεσθαι τὰς κινήσεις τοῖς ζώοις, ὄρνισι μὲν εἰς διαφόρους πτήσεις, καὶ εἰς*[4] *διαφόρους φωνὰς, τοῖς δὲ λοιποῖς εἰς τὰς τοιάσδε*[5] *κινήσεις, ἢ τοιασδί. Ἄλλοι δὲ θειοτέρας αὐτῶν, καὶ πρὸς*[6] *τοῦτ' ἐπιτηδείους*[7] *εἶναι τὰς ψυχάς· ὅπερ ἐστὶν ἀπιθανώτατον.*

89. *Ἐχρῆν οὖν τὸν Κέλσον, διὰ τῶν προκειμένων βουλόμενον θειότερα καὶ σοφώτερα ἀποδεῖξαι τὰ ἄλογα ζῶα τῶν ἀνθρώπων, κατασκευάσαι διὰ πλειόνων, ὡς ὑπάρχουσαν τὴν τοιάνδε*[8] *μαντικήν· καὶ τὴν*[9] *ἀπολογίαν μετὰ*[10] *τοῦτ' ἐνεργεστέρως*[11] *ἀποδεῖξαι· καὶ ἀποδεικτικῶς ἀποδοκιμάσαι μὲν τοὺς λόγους τῶν ἀναιρούντων τὰς*[12] *τοιάσδε μαντείας· ἀποδεικτικῶς δ' ἀνα-*

---

[1]) Deest *τήν* in Philocalia.

[2]) Philoc. *ἐπείπερ.*

[3]) Philoc. *ἀπό τινων θεῶν ἢ δαιμόνων μαντικῶν φασι γίνεσθαι.*

[4]) Deest *εἰς* in Philoc. [5]) Philoc. *τοιασδί.*

[6]) Philoc. *πρὸς τοῦτο ἐπιτηδείους.*

[7]) Hoeschel. et Spencer. post voc. *ἐπιτηδείους* addunt vocem *αὐτῶν*, quam jure respuit Philocalia ut inutilem. R. — Item voc. *αὐτῶν* Boherellus respuit in notis suis. [8]) Philoc. *τοιανδί.*

[9]) Desunt in Philoc. verba: *τὴν ἀπολογίαν.* — Cfr. pag. huj. not. 11.

[10]) Philoc. *μετὰ τοῦτο.*

[11]) Boherell. in notis, quem Ruaeus in notis sequitur: »Forte scribendum: *ἐναργεστέρως.* Ceterum e Philoc. abest vox sequens: *ἀποδεῖξαι*, ut et praecedentes: *τὴν ἀπολογίαν*, et abesse possunt, salva sententia.« — Cfr. pag. huj. not. 9.

[12]) Ed. Ruaei ut nos in textu, in notis: »Philocalia: *τὰς τοιασδὶ μαντείας.* Libri editi (v. c. edd. Spenc.): *τὰς τοιαύτας δὴ μαντείας.*«

τρέψαι καὶ τοὺς λόγους τῶν εἰπόντων ἀπὸ [1]) δαιμόνων, ἢ θεῶν γίγνεσθαι τὰς κινήσεις τοῖς ζώοις πρὸς τὸ μαντεύσασθαι· [2]) καὶ μετὰ ταῦτα κατασκευάσαι περὶ τῆς τῶν ἀλόγων ζώων ψυχῆς ὡς θειοτέρας. Οὕτω γὰρ ἂν πρὸς τὰ πιθανὰ αὐτοῦ, ἐπιδειξαμένου [3]) φιλόσοφον περὶ τῶν τηλικούτων ἕξιν, κατὰ τὸ δυνατὸν ἡμῖν ἐνέστημεν· ἀνατρέποντες μὲν τὸ, ὅτι σοφώτερα τὰ ἄλογα ζῶα [4]) τῶν ἀνθρώπων· ψευδοποιοῦντες [5]) δὲ καὶ ὅτι ἐννοίας ἔχει τοῦ θείου ἱερωτέρας ἡμῶν, [6]) καὶ ὅτι ὁμιλίας ἔχει πρὸς ἄλληλα ἱερᾶς τινας. Νυνὶ [7]) δ' ὁ ἐγκαλῶν ἡμῖν, ὅτι πιστεύομεν τῷ ἐπὶ πᾶσι θεῷ, ἀξιοῖ ἡμᾶς πιστεύειν, ὅτι αἱ ψυχαὶ τῶν ὀρνίθων θειοτέρας ἔχουσιν ἐννοίας καὶ [8]) τρανωτέρας ἀνθρώπων. Ὅπερ εἰ (223) ἀληθές ἐστιν, ὄρνιθες μᾶλλον [9]) τρανωτέρας Κέλσου ἔχουσι περὶ θεοῦ ἐννοίας. Καὶ οὐ θαυμαστὸν, εἰ Κέλσου, τοῦ [10]) ἐπὶ τοσοῦτον τὸν [11]) ἄνθρωπον ἐξευτελίζοντος. Ἀλλὰ γὰρ, ὅσον ἐπὶ Κέλσῳ, οἱ ὄρνιθες μείζονας καὶ θειοτέρας ἔχουσιν ἐννοίας, οὐ λέγω ἡμῶν Χριστιανῶν, ἢ τῶν ταῖς [12]) αὐταῖς ἡμῖν γραφαῖς χρωμέ-

---

[1]) Philoc. ἀπὸ θεῶν, ἢ δαιμόνων γίνεσθαι τὰς κινήσεις. [2]) Philoc. μαντεύεσθαι.

[3]) Philoc. ἐνδειξαμένου.

[4]) Deest ζῶα in Philoc.

[5]) Philoc. ψευδοποιοῦντες δὲ ὅτι καὶ ἐννοίας κτλ.

[6]) Post vocem: ἡμῶν, addit Philoc. verba: ἢ οὐδὲ ὅλως ἔχει.

[7]) Philoc. Νυνὶ δὲ ὁ ἐγκαλῶν κτλ.

[8]) Philoc. καὶ τρανοτέρας ἀνθρώπων.

[9]) Geminati comparativi exempla habes passim, quae plurima congessit Taubmannus ad vers. 78. Culicis. Vide Marc. VII, 36. et Philipp. I, 23. R. — Philoc. μᾶλλον Κέλσου τρανοτέρας ἔχουσι περὶ θεοῦ ἐννοίας.

[10]) Deest τοῦ in Philoc.

[11]) Philoc. perperam: τὸν ἀνθρώπων ἐξευτελίζοντος.

[12]) Philoc. ταῖς αὐταῖς γραφαῖς ἡμῖν χρωμένων κτλ.

νων Ἰουδαίων· ἀλλὰ γὰρ [1]) καὶ τῶν παρ᾽ Ἕλλησι θεολόγων· ἄνθρωποι γὰρ ἦσαν. Μᾶλλον [2]) οὖν, κατὰ Κέλσον, κατείληφε τὴν τοῦ θείου φύσιν τὸ τῶν δῆθεν μαντικῶν ὀρνίθων γένος, ἢ Φερεκύδης, καὶ Πυθαγόρας, καὶ Σωκράτης, καὶ Πλάτων. Καὶ ἐχρῆν γε ἡμᾶς πρὸς τοὺς ὄρνιθας φοιτᾶν διδασκάλους· ἵν᾽, ὥσπερ κατὰ τὴν τοῦ [3]) Κέλσου ὑπόληψιν, διδάσκουσιν [4]) ἡμᾶς μαντικῶς τὰ [5]) ἐσόμενα· οὕτω καὶ περὶ τοῦ ἀμφιβάλλειν περὶ τοῦ θείου ἀπαλλάξωσι τοὺς ἀνθρώπους, ἣν κατειλήφασι τραγὴν περὶ αὐτοῦ ἔννοιαν παραδιδόντες. Κέλσῳ μὲν οὖν ἀκολουθεῖ, τῷ [6]) διαφέρειν ἡγουμένῳ τῶν ἀνθρώπων τοὺς [7]) ὄρνιθας, διδασκάλοις αὐτὸν χρῆσθαι [8]) τοῖς ὄρνισι, καὶ [9]) μηδενὶ ἄλλῳ τῶν φιλοσοφησάντων παρ᾽ Ἕλλησιν.

90. Ἡμῖν [10]) δ᾽ ὀλίγα πρὸς τὰ προκείμενα ἀπὸ πολλῶν λεκτέον, διελέγχουσι τὴν ἀχάριστον ψευδοδοξίαν [11]) πρὸς τὸν πεποιηκότα αὐτόν· ἄνθρωπος [12]) γὰρ

---

[1]) In edd. Spenc. uncis inclusum legitur: *γάρ*.

[2]) Philoc. *Μᾶλλον γὰρ κατὰ Κέλσον κτλ.*

[3]) Deest in Philoc. *τοῦ*. [4]) Philoc. *διδάσκωσιν*.

[5]) Philoc. Mscr., Hoeschel. teste, in textu: *τὰ ἐσόμενα, καὶ τὸ ἀμφιβάλλειν περὶ τοῦ θείου*, ad marginem: *τὰ ἐσόμενα, καὶ τοῦ ἀμφιβάλλειν περὶ τοῦ θείου*. Philoc. vero impressa: *τὰ ἐσόμενα, οὕτω καὶ τοῦ ἀμφιβάλλειν περὶ τοῦ θείου*.

[6]) Hoeschel. in textu (edd. Spencer. ad marginem): *τὸ διαφέρειν ἡγουμένων*. R.

[7]) Philoc. *τὰς ὄρνιθας*.

[8]) Philoc. Mscr., Hoeschel. teste, ut nos in textu: *χρῆσθαι τοῖς ὄρνισι*, Philoc. vero impressa: *χρῆσθαι ὄρνισι*.

[9]) Sic Philocalia. Hoeschel. et Spencerus: *καὶ μηδενὶ οὕτω τῶν φιλοσοφησάντων*.

[10]) Philoc. *Ἡμῖν δὲ ὀλίγα κτλ.*

[11]) Philoc. Mscr., Hoeschel. teste: *ψευδολογίαν*, Philoc. vero impressa, ut nos in textu.

[12]) Cfr. Psalm. XLIX, 12. coll. 20. (XLVIII.) —

καὶ Κέλσος ὢν, ἐν τιμῇ ὢν, οὐ[1]) συνῆκε· διὸ οὐδὲ παρασυνεβλήθη[2]) τοῖς ὄρνισι, καὶ τοῖς ἄλλοις ἀλόγοις[3]) ζώοις, οἷς νομίζει εἶναι μαντικοῖς· ἀλλ' ἐκείνοις παραχωρήσας τὰ πρωτεῖα, ὑπὲρ Αἰγυπτίους, τοὺς τὰ ἄλογα ζῶα ὡς θεοὺς προσκυνοῦντας, ἑαυτὸν ὑπέταξε, τὸ δ' ὅσον ἐπ' αὐτῷ, καὶ πᾶν τὸ τῶν ἀνθρώπων γένος, ὡς χεῖρον καὶ ἔλαττον νοοῦν[4]) περὶ[5]) τοῦ θείου τοῖς ἀλόγοις ζώοις. Προηγουμένως μὲν οὖν ζητείσθω,[6]) πότερον ὑπάρχει ἢ δι' ὀρνίθων καὶ τῶν λοιπῶν ζώων πεπιστευμένων εἶναι μαντικῶν μαντική, ἢ μὴ ὑπάρχει. Καὶ γὰρ οὐκ εὐκαταφρόνητός ἐστιν εἰς[7]) ἑκάτερα ἐπιχειρούμενος ὁ λόγος· ὅπου μὲν δυσωπῶν μὴ παραδέξασθαι τὸ τοιοῦτον, ἵνα μὴ τὸ λογικὸν ἀντὶ[8]) τῶν δαι-

---

Hoeschel. in notis: Ad quae alluditur hic vatis regii verba: ἄνθρωπος ἐν τιμῇ ὤν, οὐ συνῆκε, παρασυνεβλήθη (παρεσυνεβλήθη· Macar. Homil. XVI., Basil. Magnus, et Psalter. Mscr.) τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς· illa paraphrastes Mscr. hoc modo explicat: κατ' εἰκόνα γὰρ θεοῦ ὤν, οὐκ ἐπίγνω τὸν ποιήσαντα αὐτόν· ἴσος εὑρέθη τῶν ἀποσκιρτώντων καὶ ἀποστάντων κτηνῶν· quod Basil. Magn. Homil. contra ebriosos, et Isidor. Pelusiota lib. II. ep. 135. exemplis declarant.

[1]) Hoeschel. in notis: Negandi particulam Gelenius in sua interpretatione non expressit, haud scio an in ipsius Codice omissam.

[2]) Philoc. παρεσυνεβλήθη τοῖς κτήνεσι καὶ τοῖς ἄλλοις κτλ. — Cfr. pag. 143. not. 12.

[3]) Desideratur ἀλόγοις apud Hoeschel. et Spencer., sed suppletur e Philocalia. R.

[4]) Philoc. perperam: νοῦν.

[5]) Philoc. Mscr., Hoeschel. teste: περὶ τὸ θεῖον, Philoc. vero impressa, ut nos in textu.

[6]) Philoc. Mscr., Hoeschel. teste: ζητητέον, Philoc. vero impressa, ut nos in textu.

[7]) Philoc. εἰς ἑκάτερον.

[8]) Hoeschel. et Spencerus: ἀντὶ τῶν δαιμόνων. Sed Philoc. ut in nostro textu. R. — Jam Boherell. in notis: »Lege: δαιμονίων, e Philocalia.«

μονίων χρηστηρίων ὄρνισι χρήσηται, καταλιπὸν [1]) ἐκεῖνα· ὅπου [2]) δὲ διὰ [3]) μαρτυρουμένης ὑπὸ [4]) πολλῶν ἐνεργείας [5]) παριστὰς, ὅτι πολλοὶ ἀπὸ μεγίστων διεσώθησαν κινδύνων, πεισθέντες τῇ δι' ὀρνίθων μαντικῇ. Ἐπὶ δὲ τοῦ παρόντος δεδόσθω, ὑπαρκτὸν [6]) εἶναι τὴν οἰωνιστικήν· ἵνα καὶ οὕτω δείξω [7]) τοῖς προκαταληφθεῖσιν, [8]) ὅτι καὶ τούτου διδομένου πολλὴ ἐστιν ἡ τοῦ ἀνθρώπου παρὰ τὰ ἄλογα ζῶα, καὶ παρ' αὐτὰ τὰ μαντικὰ, ὑπεροχὴ, καὶ οὐδαμῶς πρὸς [9]) ἐκεῖνα συγκριτή. [10]) Λεκτέον οὖν, ὅτι εἴπερ τις θεία φύσις ἦν ἐν αὐτοῖς τῶν μελλόντων προγνωστικὴ, καὶ ἐπὶ τοσοῦτον πλουσία, ὡς ἐκ περιουσίας, καὶ τῷ βουλομένῳ τῶν ἀνθρώπων δηλοῦν τὰ ἐσόμενα· δηλονότι [11]) πολὺ [12]) πρότερον [13]) τὰ περὶ ἑαυτῶν ἐγίνωσκον· γινώσκοντα δὲ τὰ περὶ ἑαυτῶν,

[1]) Cod. Reg. recte: *καταλιπὸν ἐκεῖνα*. Hoeschel. et Spencer. (itemq. Philoc.) *καταλιπὼν ἐκεῖνα*. R.

[2]) Cod. Regius (itemq. edd. Spenc. ad marg.) recte: *ὅπου δὲ διὰ μαρτυρουμένης*. Hoeschel. et Spencer. (in textu): *ὅπου δὲ διαμαρτυρουμένης*. R. — Cfr. pag. huj. not. 3.

[3]) Philoc. Mscr., Hoesch. teste: *διὰ μαρτυρουμένης*, Philoc. vero impressa: *διαμαρτυρουμένης*. — Cfr. pag. huj. not. 2. [4]) Philoc. *ἀπὸ πολλῶν*.

[5]) Philoc. in textu, edd. Spenc. ad marginem: *ἐναργείας*.

[6]) Philoc. Mscr., Hoeschel. teste: *ὑπαρκτικὸν εἶναι*, Philoc. vero impressa, ut nos in textu.

[7]) Philoc. Mscr., Hoeschel. teste: *δείξωμεν προκαταληφθεῖσιν*, Philoc. vero impressa, ut nos in textu.

[8]) Sic Philocalia. Hoeschel. et Spencerus: *προκατειληφθεῖσιν*. R. — Cfr. pag. huj. not. 7., itemq. Boherellum, in notis suis lectionem Philoc. comprobantem.

[9]) Philoc. recte: *πρὸς ἐκεῖνα*. Hoeschel. et Spencerus: *παρ' ἐκεῖνα*. R.

[10]) Philoc. Mscr., Hoeschel. teste: *συγκριτική*, Philoc. impressa, ut nos in textu.

[11]) Philoc., itemq. edd. Spenceri: *δῆλον ὅτι*.

[12]) Deest *πολύ* in Philoc.

[13]) Philoc. Mscr., Hoeschelio teste: *πρότερον τὰ περὶ*

ἐφυλάξατο ἂν ἀναπτῆναι κατὰ τοῦδε τοῦ τόπου, ἐφ' οὗ παγίδας καὶ δίκτυα ἄνθρωποι ἔσιησαν καὶ αὐτῶν· ἢ τοξόται σκοπῷ χρώμενοι τοῖς ἱπταμένοις βέλη[1]) ἐπ' αὐτὰ ἀπέλυον. Πάντως δ' ἂν καὶ προγιγνώσκοντες[2]) ἀεποὶ τὴν κατὰ τῶν νεοσσῶν ἐπιβουλὴν, εἴτε τῶν ἀναβαινόντων πρὸς αὐτοὺς ὄφεων, καὶ (224) διαφθειρόντων αὐτοὺς, εἴτε καί τινων ἀνθρώπων, εἴτ'[3]) εἰς παιδιὰν, εἴτε καὶ εἰς ἄλλην τινὰ χρείαν καὶ θεραπείαν, λαμβανόντων αὐτούς· οὐκ ἂν ἐνόσσευσαν, ἔνθα ἔμελλον ἐπιβουλεύεσθαι· καὶ ἁπαξαπλῶς οὐκ ἂν ποτε τῶν ζώων τι τούτων ἁλωτὸν ἀνθρώποις ἦν, ὡς ἀνθρώπων θειότερον καὶ σοφώτερον.

91. Ἀλλὰ καὶ εἴπερ[4]) οἰωνοὶ οἰωνοῖς διαλέγονται,[5]) ὥς φησιν ὁ Κέλσος, θείαν φύσιν ἔχοντες οἱ μαντικοὶ[6]) ὄρνεις, καὶ τὰ ἄλλα[7]) ἄλογα ζῶα, καὶ ἐννοίας τοῦ[8]) θείου, καὶ πρόγνωσιν[9]) περὶ μελλόντων,

---

αὐτῶν ἀνεγίγνωσκον· γιγνώσκοντα δὲ τὰ περὶ αὐτῶν, ἐφυλάξαντο ἂν ἀναπτῆναι, Philoc. vero impressa: πρότερον τὰ περὶ ἑαυτῶν ἐγίνωσκον· γινώσκοντα δὲ τὰ περὶ ἑαυτῶν, ἐφυλάξαντο ἂν ἀναπτῆναι. Hoeschel. et Spencer., omissis plurimis verbis: πρότερον γιγνώσκοντά γε τὰ περὶ ἑαυτῶν, ἐφυλάξατο ἀναπτῆναι.

[1]) Philoc. βέλη ἀπέλυον ἐπ' αὐτά. Πάντως κτλ.

[2]) Philoc. προγινώσκοντες.

[3]) Philoc. εἴτε εἰς παιδιάν.

[4]) Cfr. pag. 147. not. 2.

[5]) Philoc., itemq. edd. Spenc. et Ruaei in textu: μάχονται, ed. vero Ruaei, Boherello duce, in notis: »Scribendum videtur διαλέγονται.«

[6]) Philoc. Mscr., Hoeschel. teste: μαντικοὶ ὄρνιθες, Philoc. vero impressa, ut nos in textu.

[7]) Deest ἄλλα in Philoc.

[8]) Philoc. τοῦ θεοῦ.

[9]) Philoc. πρόγνωσιν τὴν περὶ τῶν μελλόντων τὰ τοιαῦτα κτλ.

καὶ[1]) τὰ τοιαῦτα[2]) ἑτέροις προεδήλουν· οὔτ' ἂν ἡ καθ' Ὅμηρον στρουθὸς ἐνόσσευσεν ὅπου δράκων ἔμελλεν αὐτὴν, καὶ τὰ τέκνα ἀφανίσειν·[3]) οὔτ' ἂν ὁ[4]) κατὰ τὸν αὐτὸν ποιητὴν δράκων οὐκ ἐφυλάξατο[5]) ὑπὸ τοῦ ἀετοῦ ληφθῆναι. Φησὶ γὰρ ὁ ἐν ποιήσει θαυμασιὸς Ὅμηρος περὶ μὲν τοῦ προτέρου τοιαῦτα·

Ἔνθ'[6]) ἐφάνη μέγα σῆμα· δράκων ἐπὶ νῶτα δαφοινὸς,
Σμερδαλέος· τὸν[7]) δ' αὐτὸς Ὀλύμπιος ἦκε φόωσδε,
Βωμοῦ ὑπαΐξας, πρὸς ῥα πλατάνιστον ὄρουσεν.
Ἔνθα δ' ἔσαν στρουθοῖο νεοσσοὶ, νήπια τέκνα,
Ὄζῳ ἐπ' ἀκροτάτῳ πετάλοις[8]) ὑποπεπτηῶτες,
Ὀκτώ· ἀτὰρ μήτηρ ἐνάτη ἦν, ἣ τέκε τέκνα.
Ἔνθ' ὅγε τοὺς ἐλεεινὰ κατήσθιε τετριγῶτας·
Μήτηρ δ' ἀμφεποτᾶτο ὀδυρομένη φίλα τέκνα·
Τὴν δ' ἐλελιξάμενος πτέρυγος λάβεν ἀμφιαχυῖαν.
Αὐτὰρ ἐπεὶ κατὰ τέκν' ἔφαγε στρουθοῖο καὶ αὐτήν·
Τὸν μὲν ἀρίζηλον θῆκεν θεὸς, ὅσπερ[9]) ἔφηνεν·[10])
Λᾶαν γάρ μιν θῆκε[11]) Κρόνου παῖς ἀγκυλομήτεω.

---

[1]) Ab antea editis (v. c. edd. Philoc. et Spencer.) exciderat: *καί*, quod suppletur e Codd. Mss. R. — Cfr. pag. 146. not. 9.

[2]) Boherell. in notis: »Post voc. *τοιαῦτα* addendum videtur: *ἄν*. Nisi malis, quod mihi magis arridet, voc. *εἴπερ*, cfr. pag. 146. not. 4., illinc transferre in versum sequentem, ante *ὡς*, interjecto *οὖν*, ut legatur: *εἴπερ οὖν, ὡς φησιν ὁ Κέλσος.*«

[3]) Philoc. *ἀφανίζειν*. [4]) Deest ὁ in Philoc.

[5]) Philoc. *ἐφυλάξατο τὸ ὑπὸ τοῦ ἀετοῦ ληφθῆναι.*

[6]) Cfr. Homer. Iliad. lib. II. a vers. 308. seqq. coll. Ciceron. lib. II. de Divinatione.

[7]) Philoc. itemq. edd. Homer. *τόν ῥ' αὐτός*. Edd. Spenc. et Ruaei: *τὸν δ'αὐτός*.

[8]) Philoc. *πετάλοις ὕπο πεπτηῶτες.*

[9]) Ed. Ruaei: *ὅπερ*.

[10]) Edd. Spenc. et Ruaei: *ἔφηνε*.

[11]) Philoc. itemq. edd. Homer. *ἔθηκε*. Edd. Spenc. et Ruaei in textu: *θῆκε*, edd. Spenc. ad marg. *ἔθηκε*.

Ἡμεῖς δ' ἑσταότες θαυμάζομεν οἷον ἐτύχθη.
Ὡς οὖν δεινὰ πέλωρα θεῶν εἰσῆλθ' ἑκατόμβας.
Περὶ δὲ τοῦ δευτέρου, ὅτι
Ὄρνις[1] *γάρ σφιν ἐπῆλθε πτερισσέμεναι*[2] *μεμαῶσιν,*
Αἰετὸς ὑψιπέτης, ἐπ' ἀριστερὰ λαὸν ἐέργων,
Φοινήεντα δράκοντα φέρων ὀνύχεσσι πέλωρον,
Ζωὸν, ἔτ' ἀσπαίροντα· ὁ[3] *δ' οὔπω λήθετο χάρμης.*
Κόψε γὰρ αὐτὸν ἔχοντα κατὰ στῆθος παρὰ δειρὴν,
Ἰδνωθεὶς ὀπίσω· ὁ[4] *δ' ἀπὸ ἕθεν ἧκε χαμᾶζε,*
Ἀλγήσας ὀδύνῃσι, μέσῳ[5] *δ' ἐγκάβαλ' ὁμίλῳ·*
Αὐτὸς δὲ κλάγξας πέτετο[6] *πνοιῇς ἀνέμοιο.*
Τρῶες δ' ἐρρίγησαν, ὅπως ἴδον αἰόλον ὄφιν
Κείμενον ἐν μέσσοισι, Διὸς τέρας αἰγιόχοιο.
(225) *Ἆρ οὖν ὁ μὲν ἀετὸς*[7] *ἦν μαντικός· ὁ δὲ δράκων, ἐπεὶ καὶ τούτῳ χρῶνται τῷ ζώῳ οἱ οἰωνοσκόποι, οὐκ ἦν μαντικός; Τί δὲ, ἐπεὶ τὸ ἀποκληρωτικὸν εὐέλεγκτόν ἐστιν· οὐχὶ καὶ τὸ ἀμφοτέρους εἶναι μαντικοὺς ἐλεγχθείη ἄν; Οὐκ*[8] *ἂν γὰρ ὁ δράκων ὢν*[9] *μαντικὸς οὐκ ἐφυλάξατο τάδε τινὰ ἀπὸ τοῦ ἀετοῦ*[10] *παθεῖν;*

---

[1]) Cfr. Homer. Iliad. lib. XII. vers. 200. seqq.

[2]) Philoc. itemq. edd. Homeri: *περησέμεναι*. Edd. Spenc. et Ruaei in textu: *πτερισσέμεναι*, edd. Spenc. ad marg. *περησέμεναι*.

[3]) Edd. Homeri: *καὶ οὔπω λήθετο κτλ.*

[4]) Edd. Homeri (v. c. Spitzneri): *ὃ δ' ἀπὸ ἕθεν κτλ.*

[5]) Philoc. itemq. edd. Homeri: *μέσῳ δ' ἐνὶ κάββαλ' ὁμίλῳ.*

[6]) Ed. Ruaei: *πέτετο πνοιῇς ἀνέμοιο.*

[7]) Edd. Spenc. *αἰετός.*

[8]) In edd. Spenc. uncis inclusum legitur: *Οὐκ.* — Guieto totus hic locus sic videtur scribendus: *Οὐκ ἂν γὰρ ὁ δράκων μὴ ὢν μαντικὸς ἐφυλάξατο τάδε τινά.* R.

[9]) Hoeschel. et Spencer. (in textu): *ἦν μαντικός.* R. — Edd. Spenc. ad marg., ut nos in textu. Cfr. pag. huj. not. 8.

[10]) Edd. Spenc. *αἰετοῦ.*

Καὶ[1]) ἄλλα δ' ἂν μυρία τοιαῦτα εὕροι[2]) τις παραδείγματα, παριστάντα[3]) ὅτι οὐ τὰ ζῶα μέν ἐστιν ἐν ἑαυτοῖς ἔχοντα μαντικὴν ψυχήν· ἀλλὰ, κατὰ μὲν τὸν ποιητὴν, καὶ τοὺς πολλοὺς τῶν ἀνθρώπων, αὐτὸς »Ὀλύμπιος[4]) ἦκε φόωσδε.« Κατὰ δέ τι σημεῖον καὶ Ἀπόλλων ἀγγέλῳ χρῆται ἑρακι· κίρκος[5]) γὰρ[6]) Ἀπόλλωνος εἶναι λέγεται ταχὺς ἄγγελος.

92. Κατὰ δὲ ἡμᾶς, δαίμονές τινες φαῦλοι, καὶ, (ἵν' οὕτως ὀνομάσω,) τιτανικοὶ, ἢ γιγάντιοι,[7]) ἀσεβεῖς πρὸς τὸ ἀληθῶς θεῖον καὶ τοὺς ἐν οὐρανῷ ἀγγέλους γεγενημένοι, καὶ πεσόντες ἐξ οὐρανοῦ, καὶ περὶ τὰ παχύτερα τῶν σωμάτων καὶ ἀκάθαρτα ἐπὶ γῆς καλινδούμενοι· ἔχοντές τι περὶ τῶν μελλόντων διορατικὸν, ἅτε γυμνοὶ τῶν γηΐνων σωμάτων[8]) τυγχάνοντες· καὶ περὶ τὸ[9]) τοιοῦτον ἔργον καταγινόμενοι, βουλόμενοι ἀπάγειν τοῦ ἀληθινοῦ θεοῦ τὸ τῶν ἀνθρώπων γένος, ὑποδύονται τῶν ζώων τὰ ἁρπακτικώτερα καὶ ἀγριώτερα, καὶ ἄλλα πανουργότερα, καὶ κινοῦσιν αὐτὰ πρὸς ὃ βούλονται, καὶ[10]) ὅτε βούλονται· ἢ[11]) τὰς φαντασίας τῶν

---

[1]) Philoc. *Καὶ ἄλλα δε μυρία τοιαῦτα εὕροι τις ἂν παραδείγματα.*

[2]) Edd. Spenc. ad marg. *εὕρῃ.*

[3]) Philoc. *παριστάνοντα, ὅτι οὐ τὰ ζῶά ἐστιν ἔχοντα ἐν ἑαυτοῖς μαντικὴν ψυχήν.*

[4]) Cfr. Homer. Iliad. lib. II. vers. 309.

[5]) Cfr. Homer. Odyss. lib. XV. vers. 526.

[6]) Sic Philocalia. Ab aliis editionibus (v. c. edd. Spenc.) abest: *γάρ.* R. — Boherell. in notis: »Adde *γάρ*, e Philocalia.«

[7]) Philoc. *γιγαντιαῖοι.*

[8]) Philoc. Mscr., Hoeschel. teste: *σωμάτων ὑπάρχοντες*, Philoc. vero impressa, ut nos in textu.

[9]) Deest *τό* in edd. Spenceri.

[10]) Deest *καί* in edd. Spenc. Jam Boherell. vero in notis: »Adde *καί* ante *ὅτε*, e Philocalia.«

[11]) Philoc. *οἳ τὰς φαντασίας τῶν τοιῶνδε ζώων.*

τοιωνδὶ ζώων τρέπουσιν ἐπὶ πτήσεις καὶ κινήσεις τοιάσδε· ἵν'[1]) ἄνθρωποι, διὰ τῆς ἐν τοῖς ἀλόγοις ζώοις ἁλισκόμενοι μαντικῆς, θεὸν μὲν τὸν περιέχοντα τὰ[2]) ὅλα μὴ ζητῶσι, μηδὲ τὴν καθαρὰν θεοσέβειαν ἐξετάζωσι,[3]) πέσωσι δὲ τῷ λογισμῷ ἐπὶ τὴν γῆν καὶ[4]) τοὺς ὄρνεις, καὶ τοὺς δράκοντας, ἔτι[5]) δ' ἀλώπεκας καὶ λύκους. Καὶ γὰρ[6]) παρατετήρηται τοῖς περὶ ταῦτα δεινοῖς, ὅτι[7]) αἱ ἐνεργέστεραι προγνώσεις διὰ τῶν τοιούτων ζώων γίγνονται·[8]) ἅτε μὴ δυναμένων τῶν δαιμόνων ἐν τοῖς ἡμερωτέροις τῶν ζώων τοσοῦτον, ὅσον δύνανται διὰ τὸ παραπλήσιον τῆς κακίας, καὶ[9]) οὐ κακίαν μὲν, οἱονεὶ δὲ κακίαν οὖσαν ἐν τοῖς τοιοισδὶ τῶν ζώων, ἐνεργῆσαι τάδε[10]) τὰ ζῶα.

93 Ὅθεν εἴπερ ἄλλο τι Μωϋσέως[11]) τεθαύμακα, καὶ τὸ τοιοῦτον[12]) θαύματος ἀποφανοῦμαι ἄξιον εἶναι, ὅτι φύσεις κατανοήσας[13]) ζώων διαφόρους, καὶ εἴτ' ἀπὸ τοῦ θείου μαθὼν τὰ περὶ αὐτῶν, καὶ τῶν ἑκάστῳ ζώῳ[14]) συγγενῶν δαιμόνων, εἴτε καὶ αὐτὸς ἀναβαίνων

---

[1]) Philoc. ἵνα ἄνθρωποι.

[2]) Philoc. τὰ ἄλογα μὴ ζητῶσι.

[3]) Philoc. ἐξετάσωσι.

[4]) Deest καί in edd. Spenc.

[5]) Philoc. ἔτι δὲ ἀλώπεκας.

[6]) Deest in Philoc. γάρ.

[7]) Boherell. in notis: »Malim: ὅτι αἱ ἐναργέστεραι.

[8]) Philoc. γίνονται.

[9]) Desunt in Philoc. verba: καὶ οὐ κακίαν μέν.

[10]) Guieto addititia videntur et superflua verba: τάδε τὰ ζῶα.

[11]) Philoc. Μωσέως.

[12]) Philoc. τοιοῦτο θαύματος εἶναι ἀποφανοῦμαι ἄξιον· ὅτι κτλ.

[13]) Philoc. κατανοήσας διαφόρων ζώων, καὶ εἴτε ἀπὸ τοῦ θείου κτλ.

[14]) Philoc. ζώων συγγενῶν.

τῇ σοφίᾳ εὑρών,[1]) ἐν τῇ περὶ ζώων διατάξει,[2]) πάντα μὲν ἀκάθαρτα ἔφησεν εἶναι τὰ νομιζόμενα παρ' Αἰγυπτίοις καὶ τοῖς λοιποῖς τῶν ἀνθρώπων εἶναι μαντικά, ὡς ἐπίπαν δὲ εἶναι καθαρὰ τὰ μὴ τοιαῦτα. Καὶ[3]) ἐν ἀκαθάρτοις παρὰ Μωϋσῇ ἐστι λύκος, καὶ ἀλώπηξ, καὶ δράκων, ἀετός[4]) τε καὶ ἱέραξ, καὶ τὰ ὅμοια[5]) τούτοις. Καὶ ὡς ἐπίπαν οὐ μόνον ἐν τῷ νόμῳ, ἀλλὰ καὶ ἐν τοῖς προφήταις εὕροις[6]) ἂν ταῦτα τὰ ζῶα εἰς παράδειγμα τῶν κακίστων[7]) παραλαμβανόμενα, οὐδέ ποτε δὲ εἰς χρηστὸν πρᾶγμα (226) ὀνομαζόμενον λύκον, ἢ ἀλώπεκα. Ἔοικεν οὖν τις εἶναι ἑκάστῳ δαιμόνων εἴδει κοινωνία πρὸς ἕκαστον εἶδος ζώων. Καὶ ὥσπερ ἐν[8]) ἀνθρώποις ἀνθρώπων ἄνθρωποι ἰσχυρότεροί τινές εἰσιν, οὐ πάντως[9]) διὰ τὸ ἦθος· τὸν αὐτὸν τρόπον δαίμονες δαιμόνων εἶεν ἂν ἐν μέσοις δυνατώτεροι· καὶ οἵδε μὲν τοῖσδε[10]) τοῖς ζώοις χρώμενοι εἰς ἀπάτην τῶν[11]) ἀνθρώπων, κατὰ τὸ[12]) βούλημα τοῦ καλουμένου ἐν τοῖς λόγοις ἡμῶν ἄρχοντος τοῦ αἰῶνος[13]) τούτου, ἕτεροι δὲ

---

[1]) Philoc. εὗρεν. Hoeschel. et Spencerus: εὑρών. R.

[2]) Philoc. Mscr., Hoeschel. teste: τάξει, Philoc. vero impressa, ut nos in textu.

[3]) Philoc. καὶ γὰρ ἐν ἀκαθάρτοις. — Cfr. Levit. XI.

[4]) Edd. Spenc. ἀετὸς καὶ ἱέραξ.

[5]) Philoc. Mscr., Hoeschel. teste: ὅμοια αὐτοῖς, Philoc. vero impressa, ut nos in textu.

[6]) Philoc. Mscr., Hoeschel. teste: εὕροις ἂν τὰ τοιαῦτα ζῶα εἰς παράδειγμα, Philoc. vero impressa, ut nos in textu.

[7]) Philoc. κακίστων λαμβανόμενα.

[8]) Philoc. ἐν ἀνθρώποις, ἄνθρωποι ἀνθρώπων ἰσχυρότεροί τινές εἰσιν. [9]) Philoc. πάντα.

[10]) Edd. Spenc. ἐκ τοῖσδε τοῖς ζώοις. Jam Boherell. vero in notis: »Deleas voc. ἐκ, ut abest e Philocalia.

[11]) Deest τῶν in Philocalia.

[12]) Desideratur τό in Philocalia.

[13]) Cfr. ev. Joann. XII, 31. coll. II Cor. IV, 4.

δι' ἄλλου εἴδους προδηλοῦντες. Καὶ ὅρα ἐφ' ὅσον εἰσὶν οἱ δαίμονες μιαροὶ, ὡς καὶ γαλᾶς[1]) ὑπό τινων παραλαμβάνεσθαι πρὸς τὸ δηλοῦν τὰ μέλλοντα· καὶ σὺ δὲ παρὰ σαυτῷ κρῖνον ὁπότερόν ἐστι βέλτιον παραδέξασθαι, ὅτι ὁ ἐπὶ πᾶσι θεὸς καὶ[2]) τούτου ὁ υἱὸς κινοῦσι τοὺς[3]) ὄρνιθας, καὶ τὰ λοιπὰ ζῶα εἰς μαντικὴν, ἢ οἱ κινοῦντες τὰ τοιαῦτα τῶν ζώων, καὶ[4]) οὐκ ἀνθρώπους παρόντων ἀνθρώπων, δαίμονές εἰσι φαῦλοι, καὶ, ὡς ὠνόμασε τὰ ἱερὰ ἡμῶν γράμματα,[5]) ἀκάθαρτοι.

94. Εἴπερ δὲ θεία ἐστὶν ἡ τῶν ὀρνίθων ψυχὴ διὰ τὸ δι' αὐτῶν προλέγεσθαι τὰ μέλλοντα· πῶς οὐχὶ μᾶλλον, ὅπου κληδόνες ὑπ'[6]) ἀνθρώπων λαμβάνονται, θείαν εἶναι φήσομεν τὴν[7]) ψυχὴν ἐκείνην, δι' ἣν αἱ κληδόνες ἀκούονται; Θεία[8]) οὖν τις ἦν κατὰ τοὺς τοιούσδε ἡ παρὰ τῷ Ὁμήρῳ ἀλετρὶς, περὶ τῶν μνηστήρων εἰποῦσα·

Ὑστατα[9]) καὶ πύματα[10]) νῦν ἐνθάδε δειπνήσειαν.

Κἀκείνη μὲν θεία ἦν· ὁ δὲ τηλικοῦτος Ὀδυσσεὺς, ὁ τῆς Ὁμηρικῆς Ἀθηνᾶς φίλος, οὐκ ἦν θεῖος, ἀλλὰ συνεὶς

---

[1]) Edd. Spenc. et Ruaei: γαλάς.

[2]) Philoc. καὶ ὁ τούτου υἱός.

[3]) Edd. Spenc. τὰς ὄρνιθας.

[4]) Philoc. καὶ οὐκ ἀνθρώπους· παρόντων δ' ἀνθρώπων δαίμονές εἰσι φαῦλοι.

[5]) Cfr. Zachar. XIII, 2. coll. Matth. X, 1.

[6]) Philoc. ὑπὸ ἀνθρώπων. Edd. Spenceri: ἀπὸ ἀνθρώπου.

[7]) Guieto (rectius) videtur scribendum: τὴν ψυχὴν ἐκείνων, δι' ὧν. R. — Boherellus in notis: »Lego: τὴν ψυχὴν ἐκείνην, δι' ἧς.«

[8]) Philoc. Θεία οὖν τις ἡ παρὰ τῷ Ὁμήρῳ ἀλετρὶς κατὰ τοὺς τοιούσδε περὶ τῶν μνηστήρων εἰποῦσα.

[9]) Cfr. Homer. Odyss. lib. IV. vers. 685. coll. lib. XX. vers. 116. et vers. 119.

[10]) Alias (v. c. in textu edd. Spenc.) male: πήματα. R.

τῶν ἀπὸ τῆς θείας ἀλετρίδος εἰρημένων κληδόνων ἔχαιρεν, ὡς ὁ ποιητής φησι·

— χαῖρε[1]) δὲ κληδόνι δῖος Ὀδυσσεύς.

Ἤδη δὲ ὅρα, εἴπερ[2]) οἱ ὄρνιθες θείαν ἔχουσι ψυχὴν, καὶ αἰσθάνονται τοῦ[3]) θεοῦ, ἢ, (ὡς ὁ Κέλσος ὀνομάζει,) τῶν θεῶν· δηλονότι[4]) καὶ ἡμεῖς οἱ ἄνθρωποι πταρνύμενοι, ἀπό[5]) τινος ἐν ἡμῖν οὔσης θειότητος[6]) καὶ μαντικῆς περὶ τὴν ψυχὴν ἡμῶν πταρνύμεθα. Καὶ γὰρ τοῦτο μαρτυρεῖται ὑπὸ πολλῶν· διὸ καὶ ὁ ποιητὴς λέγει τό·[7])

— ὁ[8]) δ' ἔπταρεν[9]) εὐχομένοιο.

Διὸ καὶ ἡ Πηνελόπη φησίν·

Οὐχ[10]) ὁράᾳς, ὅ μοι υἱὸς ἐπέπταρε[11]) πᾶσιν ἔπεσσι;

95. Τὸ[12]) δ' ἀληθὲς θεῖον εἰς[13]) τὴν περὶ τῶν

---

[1]) Cfr. Homer. Odyss. lib. XX. vers. 120. — Edd. Homeri: χαῖρεν δὲ κληδόνι δῖος κτλ.

[2]) Philoc. εἴπερ ὄρνιθες ἔχουσι θείαν ψυχήν.

[3]) Philoc. τοῦ θείου.

[4]) Philoc. δῆλον ὅτι καὶ ἡμεῖς πταρνύμενοι, omissis verbis: οἱ ἄνθρωποι.

[5]) Philoc. ἀπό τινος οὔσης ἐν ἡμῖν θειότητος.

[6]) Philoc. (cfr. pag. huj. not. 5.) recte: θειότητος. Hoeschel. et Spencerus: ποιότητος. R. — Boherell. in notis: »Lege: θειότητος e Philocalia.«

[7]) In Philocal. deest: τό.

[8]) Cfr. Homer. Odyss. lib. XVII. vers. 541.

[9]) Edd. Spenc. ad marginem: ἐπέπταρεν.

[10]) Cfr. Homer. Odyss. lib. XVII. vers. 545.

[11]) Apud poetam nunc legitur: ἐπέπταρε πᾶσιν ἔπεσσιν. In Philoc. ἐπέπταρε σοῖς ἐπέεσσι. Apud Hoeschel. et Spencer. (in textu): ἐπέπταρε οἷσιν ἔπεσσι. R.

[12]) Philoc. Mscr., Hoeschel. teste: Τὸ δὲ ἀληθῶς θεῖον, Philoc. vero impressa: Τὸ δὲ ἀληθὲς θεῖον.

[13]) Edd. Spenc. εἰς τὴν τῶν περὶ μελλόντων. Jam

μελλόντων γνῶσιν οὔτε τοῖς ἀλόγοις χρῆται ζώοις, οὔτε[1]) τοῖς[2]) τυχοῦσι τῶν ἀνθρώπων· ἀλλὰ ψυχαῖς ἀνθρώπων ἱερωτάταις[3]) καὶ καθαρωτάταις, ἅστινας θεοφορεῖ[4]) τε καὶ προφήτας ποιεῖ. Διόπερ εἴ τι ἄλλο[5]) θαυμασίως εἴρηται ἐν τῷ Μωϋσέως νόμῳ, καὶ[6]) τὰ τοιαῦτα ἐν τοῖς τοιούτοις κατατακτέον· »οὐχ[7]) οἰωνιεῖσθε, οὐδ'[8]) ὀρνιθοσκοπήσεσθε.«[9]) Καὶ ἀλλαχοῦ· »τὰ[10]) γὰρ ἔθνη, οὓς[11]) κύριος ὁ θεός σου ἐξολοθρεύσει ἀπὸ[12]) προσώπου σου, οὗτοι κληδόνων καὶ μαντειῶν ἀκούσονται· σοὶ δὲ οὐχ[13]) οὕτως ἔδωκε κύριος ὁ θεός σου.« Εἶθ' ἑξῆς φησι· »προφήτην[14]) ἀναστήσει[15]) σοι κύριος ὁ θεός σου (227) ἐκ τῶν ἀδελφῶν σου.« Βουληθεὶς δέ ποτε ὁ θεὸς δι'[16]) οἰωνοσκόπου ἀποτρέψαι[17]) ἀπὸ

Boherell. vero in notis: »Transpone, ut legas: εἰς τὴν περὶ τῶν μελλόντων.«

[1]) Philoc. *οὐδὲ τοῖς τυχοῦσι.*

[2]) Philoc. (cfr. pag. huj. not. 1.) recte: *τοῖς τυχοῦσι.* Alias (v. c. in edd. Spenc.) male: *τοῖς τυγχάνουσι.* R. — Jam Boherell. in notis: »Lege: *τοῖς τυχουσι*, quemadmodum in Philocalia.«

[3]) Philoc. *ἱερωτάταις τε καὶ καθαρωτάταις.*

[4]) Philoc. *θεοφορεῖ καὶ προφήτας ποιεῖ.*

[5]) Philoc. *ἄλλο εἴρηται θαυμασίως ἐν τῷ κτλ.*

[6]) Philoc. *καὶ ταῦτα ἐν τούτοις κατατακτέον.*

[7]) Cfr. Levit. XIX, 26.

[8]) Philoc. *οὐδὲ ὀρνιθοσκοπήσεσθε.* — Cfr. pag. huj. not. 9.

[9]) Hoeschel. et Spenc. *ὀρνιθοσκοπήσετε.* R. — Cfr. pag. huj. not. 8.

[10]) Cfr. Deut. XVIII, 14. coll. 12.

[11]) Philoc. *οὓς ὁ κύριος ὁ θεός σου.*

[12]) Philoc. *ἐκ προσώπου, οὗτοι κτλ.*

[13]) Philoc. Mscr., Hoeschel. teste: *οὐχ οὕτω δέδωκε*, Philoc. vero impressa, ut nos in textu.

[14]) Cfr. Deut. XVIII, 15.

[15]) Philoc. *ἀναστήσει κύριος ὁ θεός σου.*

[16]) Philoc. *διὰ οἰωνοσκόπου.*

[17]) Philoc. Mscr., Hoeschel. teste: *ἀποστρέψαι*, Philoc. vero impressa, ut nos in textu.

τῆς [1]) οἰωνιστικῆς, πεποίηκε πνεῦμα ἐν τῷ οἰωνοσκόπῳ εἰπεῖν· »οὐ [2]) γάρ ἐστιν οἰωνισμὸς ἐν Ἰακώβ, οὐδὲ μαντεία ἐν Ἰσραήλ. Κατὰ καιρὸν ῥηθήσεται τῷ Ἰακώβ, καὶ τῷ Ἰσραὴλ, τί ἐπιτελέσει ὁ θεός.« Ταῦτα δὴ γιγνώσκοντες [3]) ἡμεῖς, καὶ τὰ τούτοις παραπλήσια, τηρεῖν βουλόμεθα μυστικῶς [4]) εἰρημένην ἐντολὴν τήν· »πάσῃ [5]) φυλακῇ τήρει σὴν καρδίαν·« ἵνα μὴ ἐπιβῇ τι τῶν δαιμονίων τῷ ἡγεμονικῷ ἡμῶν, ἢ πνεῦμά τι τῶν ἐναντίων πρὸς ἃ βούλεται τρέψῃ τὸ φανταστικὸν ἡμῶν. Εὐχόμεθα δὲ λάμψαι [6]) ἐν ταῖς καρδίαις ἡμῶν τὸν φωτισμὸν τῆς γνώσεως τῆς δόξης τοῦ θεοῦ, ἐπιδημοῦντος ἡμῶν τῷ φανταστικῷ πνεύματος [7]) θεοῦ, καὶ φαντάζοντος ἡμᾶς τὰ τοῦ θεοῦ· ἐπεὶ »ὅσοι [8]) πνεύματι θεοῦ ἄγονται, [9]) οὗτοι υἱοί εἰσι θεοῦ.«

96. Χρὴ [10]) δ' εἰδέναι, ὅτι τὸ τὰ μέλλοντα προγιγνώσκειν, οὐ πάντως θεῖόν ἐστι· καθ' αὑτὸ γὰρ μέσον ἐστὶ, καὶ πίπτον εἰς φαύλους καὶ ἀστείους. Καὶ ἰατροὶ γοῦν ἀπὸ ἰατρικῆς προγιγνώσκουσί [11]) τινα, κἂν φαῦλοι τὸ ἦθος τυγχάνωσιν. [12]) Οὕτω δὲ καὶ κυβερνῆται, κἂν μοχθηροὶ τυγχάνωσιν ὄντες, προγιγνώσκου-

---

[1]) Philoc. οἰωνοσκοπικῆς.

[2]) Cfr. Num. XXIII, 23.

[3]) Philoc. γινώσκοντες.

[4]) Philoc. Mscr., Hoeschel. teste: μυστικήν, Philoc. vero impressa, ut nos in textu.

[5]) Prov. IV, 23. — Philoc. τήρει τὴν καρδίαν· ἵνα κτλ. [6]) Cfr. II Cor. IV, 6.

[7]) Philoc. Mscr., Hoeschel. teste: πνεύματος θείου, Philoc. vero impressa, ut nos in textu.

[8]) Cfr. Rom. VIII, 14.

[9]) Philoc. ἄγονται, οὗτοι θεοῦ υἱοί εἰσι.

[10]) Philoc. Χρὴ δὲ εἰδέναι, ὅτι τὸ προγινώσκειν τὰ μέλλοντα, οὐ πάντως κτλ.

[11]) Philoc. προγινώσκουσί τινα.

[12]) Philoc. τυγχάνωσιν ὄντες. Οὕτω δὲ καί κτλ.

σιν[1]) ἐπισημασίας, καὶ ἀνέμων σφοδρότητας, καὶ[3]) τροπὰς περὶ τὸ περιέχον[3]) ἔκ τινος πείρας καὶ[4]) τηρήσεως· καὶ[5]) οὐ δή που παρὰ τοῦτο θείους[6]) τις ἂν αὐτοὺς εἶναι φήσει, ἂν τύχωσι μοχθηροὶ εἶναι τὸ ἦθος. Ψεῦδος οὖν τὸ παρὰ τῷ Κέλσῳ λεγόμενον, τό· »τί ἂν φαίη τις θειότερον τοῦ τὰ μέλλοντα προγιγνώσκειν[7]) τε καὶ προδηλοῦν;« Ψεῦδος δὲ καὶ τό· »πολλὰ τῶν ζώων ἀντιποιεῖσθαι θείας ἐννοίας· »οὐδὲν γὰρ τῶν ἀλόγων ἔννοιαν ἔχει τοῦ[8]) θεοῦ. Ψεῦδος δὲ καὶ τό· »ἐγγυτέρω[9]) τῆς θείας[10]) ὁμιλίας εἶναι τὰ ἄλογα ζῶα·« ὅπου γε καὶ τῶν ἀνθρώπων οἱ ἔτι φαῦλοι, κἂν ἐπ' ἄκρον προκόπτωσι,[11]) πόρρῳ εἰσὶ τῆς θείας ὁμιλίας. Μόνοι δὴ ἄρα οἱ κατὰ ἀλήθειαν σοφοὶ, καὶ ἀψευδῶς εὐσεβεῖς, ἐγγυτέρω[12]) τῆς θείας ὁμιλίας εἰσίν· ὁποῖοί εἰσιν οἱ καθ' ἡμᾶς προφῆται, καὶ Μωϋσῆς, ᾧ μεμαρτύρηκε διὰ τὴν πολλὴν καθαρότητα ὁ λόγος εἰπών· »ἐγ-

---

[1]) Philoc. προγινώσκουσιν ἐπισημασίας.

[2]) Philoc. Mscr., Hoeschel. teste: καὶ τροπὰς ἐπὶ τό, Philoc. vero impressa, ut nos in textu.

[3]) Philoc. ἔχον. [4]) Philoc. καὶ παρατηρήσεως.

[5]) Philoc. Mscr., Hoeschel. teste: καὶ οὐδείς που παρὰ τοῦτο, Philoc. vero impressa: καὶ οὐ δή που παρὰ τούτου.

[6]) Philoc. Mscr., Hoeschel. teste: θείους τινὰς αὐτοὺς εἶναί φησιν, ἐὰν τύχωσι, Philoc. vero impressa: θείους τις ἂν αὐτοὺς φήσειεν εἶναι, ἐὰν τύχωσι. — Edd. Spenc. in textu: θείους τις αὐτοὺς εἶναι φήσει, ἂν τύχωσι, ad marginem: θείους τις αὐτοὺς εἶναί φησιν, ἂν τύχωσι. [7]) Philoc. προγινώσκειν.

[8]) Deest τοῦ in Philocalia.

[9]) Philoc. Mscr., Hoeschel. teste: ἐγγὺ τῆς θείας, Philoc. vero impressa, ut nos in textu.

[10]) Philoc. θείας εἶναι ὁμιλίας τὰ ἄλογα κτλ.

[11]) Philoc. προσκόπτωσι.

[12]) Philoc. Mscr., Hoeschel. teste: ἐγγὺ τῆς θείας κτλ., Philoc. vero impressa, ut nos in textu. — Cfr. pag. huj. not. 9.

γιεῖ [1]) Μωϋσῆς [2]) μόνος πρὸς τὸν θεὸν, οἱ δὲ λοιποὶ οὐκ ἐγγιοῦσι.«

97. Πῶς δὲ ἀσεβῶς [3]) ὑπὸ τοῦ ἀσέβειαν ἡμῖν ἐγκαλοῦντος εἴρηται τό· »οὐ μόνον σοφώτερα εἶναι τὰ ἄλογα τῶν ζώων τῆς τῶν ἀνθρώπων φύσεως· ἀλλὰ καὶ θεοφιλέστερα;« Καὶ τίς οὐκ ἂν ἀποτραπείη, προσέχων [4]) ἀνθρώπῳ λέγοντι δράκοντα, καὶ ἀλώπεκα, καὶ λύκον, καὶ ἀετὸν, καὶ ἔρακα τῆς τῶν [5]) ἀνθρώπων φύσεως εἶναι θεοφιλέστερα; [6]) Ἀκολουθεῖ δ' αὐτῷ τὸ λέγειν, ὅτι, εἴπερ θεοφιλέστερα [7]) τάδε τὰ ζῶα τῶν ἀνθρώπων, δῆλον ὅτι καὶ Σωκράτους, καὶ Πλάτωνος, καὶ [8]) Πυθαγόρου, καὶ Φερεκύδου, [9]) καὶ ὧν πρὸ βραχέος ὕμνησε θεολόγων, [10]) θεοφιλέστερά ἐστι ταῦτα τὰ ζῶα. Καὶ ἐπεύξαιτό [11]) γε ἄν τις αὐτῷ λέγων· εἴπερ θεοφιλέστερά ἐστι τάδε τὰ ζῶα τῶν ἀνθρώπων, γένοιο μετ' ἐκείνων θεοφιλὴς, (228) καὶ ἐξομοιωθείης τοῖς κατὰ σὲ ἀνθρώπων θεοφιλεστέροις. Καὶ μὴ ὑπολαμβανέτω [12]) γε ἀρὰν εἶναι τὸ τοιοῦτον· τίς γὰρ οὐκ ἂν εὔξαιτο οἷς πείθεται εἶναι θεοφιλεστέροις γενέσθαι πάντη παραπλήσιος, ἵνα καὶ αὐτὸς ὡς ἐκεῖνοι γένηται θεοφιλής;

---

[1]) Cfr. Exod. XXIV, 2. [2]) Philoc. *Μωσῆς*.

[3]) Hoeschel. et Spencerus: *ἀσεβὲς ὑπὸ τοῦ ἀσέβειαν ἐγκαλοῦντος*, sed Philocal. ut in textu nostro. R. — Jam Boherell. in notis: »Lege: *ἀσεβῶς*, e Philocalia, et post voc. *ἀσέβειαν*, adde: *ἡμῖν*.«

[4]) Philoc. *προσέχειν*. Hoeschel. et Spencerus: *προσέχων*. R.

[5]) Deest *τῶν* in edd. Spenceri.

[6]) Philoc. *θεοφιλέστερον*.

[7]) Cfr. libr. huj. num. 88.

[8]) Desunt in Philoc. verba: *καὶ Πυθαγόρου*.

[9]) Philoc. *Φερεκύδους*.

[10]) Hoeschel. et Spencer. in margine: *θεολογῶν*. R.

[11]) Philoc. *ἐπεύξαιτό γ' ἄν τις αὐτῷ κτλ.*

[12]) Philoc. *ὑπολαμβανέτω σε ἀρὰν εἶναι τὸ τοιοῦτο· τίς γὰρ κτλ.*

Θέλων δὲ τὰς ὁμιλίας τῶν ἀλόγων ζώων εἶναι τῶν ἡμετέρων ἱερωτέρας ὁ Κέλσος, οὐ τοῖς τυχοῦσιν ἀνατίθησι[1] *τὴν ἱστορίαν ταύτην, ἀλλὰ τοῖς συνετοῖς. Συνετοὶ*[2] *δὲ κατὰ ἀλήθειάν εἰσιν οἱ σπουδαῖοι· οὐδεὶς γὰρ φαῦλος συνετός. Λέγει τοίνυν τὸν τρόπον τοῦτον· »ὅτι φασὶ δὲ τῶν ἀνθρώπων οἱ συνετοὶ, καὶ ὁμιλίας ἐκείνοις εἶναι, δηλονότι*[3] *τῶν ἡμετέρων ἱερωτέρας· καὶ αὐτοί που γνωρίζειν τὰ λεγόμενα,*[3] *καὶ ἔργῳ δεικνύειν, ὅτι*[5] *οὐκ ἀγνοοῦσιν, ὅταν προειπόντες, ὅτι ἔφασαν οἱ ὄρνιθες ὡς*[6] *ἀπίασί ποι, καὶ ποιήσουσι τόδε, ἢ τόδε, δεικνύωσιν*[7] *ἀπελθόντας ἐκεῖ, καὶ ποιοῦντας ἃ ἤδη*[8] *προεῖπον.« Κατὰ μὲν οὖν τὸ ἀληθὲς οὐδεὶς συνετὸς τοιαῦτα*[9] *ἱστόρησε, καὶ οὐδεὶς σοφὸς ἱερωτέρας εἶπεν εἶναι τὰς τῶν ἀλόγων ζώων ὁμιλίας τῆς τῶν ἀνθρώπων. Εἰ*[10] *δ' ὑπὲρ τοῦ ἐξετάσαι*[11] *τὰ Κέλσου, τἀκόλουθον*[12] *σκοποῦμεν, δῆλον ὅτι*[13] *κατ' αὐτὸν ἐ-*

---

[1]) Philoc. Mscr., Hoeschel. teste: *ἀνατίθησι τὰ γεγραμμένα, ἤτοι τὴν ἱστορίαν κτλ.*, Philoc. vero impressa, ut in textu nostro.

[2]) Philoc. *Συνετοὶ δέ εἰσι κατὰ ἀλήθειαν οἱ σπουδαῖοι· οὐδείς κτλ.*

[3]) Hoeschel. et Spencer. hoc loco habent: *δῆλον ὅτι*, tametsi supra num. 88. legunt: *δηλονότι.*

[4]) Cfr. libri huj. num. 88.

[5]) Supra num. 88. legitur: *ὅτι γνωρίζουσιν.*

[6]) Philoc. *ὅτι ἀπιᾶσί που.* — Cfr. pag. 159. not. 4.

[7]) Philoc. *δεικνύουσιν.*

[8]) Cfr. libr. huj. num. 88.

[9]) Philoc. impressa: *ταῦτα ἱστορήσει*, Philoc. vero Mscr., Hoeschel. teste: *τὰ τοιαῦτα κτλ.*

[10]) Philoc. *Εἰ δὲ ὑπὲρ τοῦ κτλ.*

[11]) Hoeschel. in textu, edd. Spenc. ad marginem: *ἐξετάσαι τοῦ Κέλσου.*

[12]) Philoc. *τὸ ἀκόλουθον.*

[13]) Philoc. *ὅτι κατ' αὐτῶν ἱερώτεραι.*

ρώτεραι τῶν σεμνῶν Φερεκύδου,[1]) καὶ Πυθαγόρου, καὶ[2]) Σωκράτους, καὶ Πλάτωνος, καὶ τῶν φιλοσόφων ὁμιλιῶν[3]) εἰσιν αἱ τῶν ἀλόγων ζώων· ὅπερ ἐστὶ καὶ αὐτόθεν οὐ μόνον ἀπεμφαῖνον, ἀλλὰ καὶ ἀτοπώτατον. Ἵνα δὲ καὶ πιστεύσωμεν, τινὰς ἐκ τῆς ἀσήμου φωνῆς τῶν ὀρνίθων μαθόντας,[4]) ὅτι ἀπίασί ποι οἱ ὄρνιθες, καὶ ποιήσουσι[5]) τόδε, ἢ τόδε, προδηλοῦν· καὶ[6]) τοῦτ' ἐροῦμεν ἀπὸ τῶν δαιμόνων συμβολικῶς ἀνθρώποις δεδηλῶσθαι,[7]) κατὰ σκοπὸν τὸν περὶ τοῦ ἀπατηθῆναι ὑπὸ τῶν δαιμόνων τὸν ἄνθρωπον, καὶ κατασπασθῆναι αὐτοῦ τὸν νοῦν ἀπ' οὐρανοῦ καὶ[8]) θεοῦ ἐπὶ γῆν, καὶ τὰ ἔτι κατωτέρω.

98. *Οὐκ οἶδα δ' ὅπως ὁ Κέλσος καὶ*[9]) ὅρκου ἐλεφάντων ἤκουσε, καὶ ὅτι εἰσὶν οὗτοι πιστότεροι πρὸς τὸ θεῖον ἡμῶν, καὶ γνῶσιν ἔχουσι τοῦ θεοῦ. Ἐγὼ γὰρ πολλὰ μὲν καὶ θαυμαστὰ[10]) οἶδα περὶ τῆς φύσεως τοῦ ζώου καὶ τῆς ἡμερότητος ἱστορούμενα, οὐ μὴν καὶ περὶ

---

[1]) Philoc. *Φερεκύδους.*

[2]) Desunt in Philoc. verba: *καὶ Σωκράτους.*

[3]) Philoc. *ὁμιλιῶν εἰσι καὶ τῶν κτλ.*

[4]) Philoc. *μαθόντας ὅτι καὶ ἀπιᾶσί που οἱ ὄρνιθες.* — Cfr. pag. 158. not. 6.

[5]) Hoeschel. et Spencerus: *τάδε, ἢ τόδε.*

[6]) Philoc. *καὶ τοῦτο ἐροῦμεν.*

[7]) Philoc. *δεδηλῶσθαι κατὰ σκοπὸν, περὶ τοῦ ἀπατηθῆναι.* [8]) Philoc. *καὶ τοῦ θεοῦ.*

[9]) Plin. lib. VIII. cap. 1. Alienae quoque religionis intellectu creduntur maria transituri non ante naves conscendere, quam invitati rectoris jurejurando de reditu. Spenc.

[10]) Illa qui volet, ex Aristotele, Diodoro Siculo, Aeliano, Philostrato et Plinio petat. De mutuo elephantorum in lapsu auxilio scribit Clemens Alexandrinus Stromat. 1. De draconibus mole ipsorum corporea pereuntibus Philo scribit libro *περὶ ἀφθαρσίας κόσμου.* De eorundem in militia usu, vitae diuturnitate etc. Basil. Magnus scribit Hom. IX. in Hexaëmeron. Hoeschel.

ὅρκων ἐλέφαντος σύνοιδα εἰρῆσθαι παρά τινι· εἰ μὴ ἄρα τὸ ἥμερον,[1]) καὶ τὴν ὡσπερεὶ πρὸς ἀνθρώπους αὐτῶν συνθήκην ἅπαξ γενομένων[2]) ὑπ' αὐτοῖς, εὐορκίαν τηρουμένην ὠνόμασεν, ὅπερ καὶ αὐτὸ ψεῦδός ἐστιν. Εἰ[3]) γὰρ σπανίως, ἀλλ'[4]) οὖν γε ἱστόρηται, ὅτι μετὰ τὴν δοκοῦσαν ἡμερότητα ἐξηγριώθησαν ἐλέφαντες κατὰ τῶν ἀνθρώπων, καὶ[5]) φόνους ἐποίησαν, καὶ διὰ τοῦτο κατεδικάσθησαν ἀναιρεθῆναι, ὡς[6]) οὐκέτι χρήσιμοι. Ἐπεὶ δὲ παραλαμβάνει μετὰ ταῦτα, εἰς τὸ κατασκευάσαι, (ὡς οἴεται,) εὐσεβεστέρους εἶναι τοὺς πελαργοὺς τῶν ἀνθρώπων, τὰ περὶ τοῦ ζώου ἱστορούμενα ἀντιπελαργοῦντος,[7]) καὶ τροφὰς φέροντος τοῖς γεγεννηκόσι· λεκτέον, ὅτι[8]) καὶ τοῦτ' οὐκ ἀπὸ θεωρήματος τοῦ περὶ τοῦ καθήκοντος ποιοῦσιν οἱ πελαργοὶ, οὐδ' ἀπὸ[9]) λογισμοῦ· ἀλλ' ἀπὸ φύσεως, βουληθείσης τῆς κατασκευαζούσης αὐτοὺς φύσεως παράδειγμα ἐν (229) ἀλόγοις ζώοις δυσωπῆσαι[10]) δυνάμενον ἀνθρώπους ἐκθέσθαι περὶ τοῦ χάριτας[11]) ἀποτινύειν τοῖς γεγεννηκόσιν. Εἰ δὲ ἤδει Κέλσος, ὅσῳ διαφέρει λόγῳ ταῦτα ποιεῖν,

---

[1]) Edd. Spenc. ad marginem: *ἡμέτερον.*

[2]) Hoeschel. in textu, (edd. Spenc. ad marginem): *ταττομένων.* R. — Philoc. Mscr., Hoeschel. teste: *γενομένην*, Philoc. vero impressa, ut in nostro textu.

[3]) Philoc. itemq. edd. Spenceri: *Εἰ γὰρ καὶ σπανίως.* [4]) Philoc. *ἀλλ' οὖν ἱστόρηται, ὅτι κτλ.*

[5]) Verba: *καὶ φόνους ἐποίησαν*, quae apud Hoeschel. et Spencer. desunt, supplentur e Philocalia. R.

[6]) Philoc. *ὡς μηκέτι χρήσιμοι.*

[7]) Cfr. Basil. Magnus Homil. VIII. in Hexaëmeron.

[8]) Philoc. *ὅτι καὶ τοῦτο οὐκ ἀπό κτλ.*

[9]) Philoc. Mscr., Hoeschel. teste: *ἀπὸ λογισμῶν*, Philoc. vero impressa, ut in nostro textu.

[10]) Deest in Philocalia: *δυσωπῆσαι.*

[11]) Philoc. Mscr., Hoeschel. teste: *χάριν*, Philoc. vero impressa, ut in nostro textu.

τοῦ [1]) ἀλόγως αὐτὰ καὶ φυσικῶς ἐνεργεῖν· οὐκ ἂν εὐσεβεστέρους εἶπε τοὺς πελαργοὺς τῶν ἀνθρώπων. Ἔτι δὲ, ὡς ὑπὲρ εὐσεβείας τῶν ἀλόγων ζώων μαχόμενος [2]) ὁ Κέλσος, παραλαμβάνει τὸ [3]) Ἀράβιον ζῶον, τὸν [4]) φοίνικα, διὰ πολλῶν ἐτῶν ἐπιδημοῦν Αἰγύπτῳ, καὶ [5]) φέρον ἀποθανόντα τὸν πατέρα, καὶ ταφέντα ἐν [6]) σφαίρᾳ σμύρνης, καὶ ἐπιτιθὲν [7]) ὅπου τὸ τοῦ ἡλίου τέμενος. Καὶ τοῦτο [8]) ἱστόρηται μὲν, δύναται δὲ, ἐάν περ ᾖ ἀληθὲς, καὶ αὐτὸ φυσικὸν τυγχάνειν· [9]) ἐπιδαψιλευσαμένης τῆς θείας προνοίας καὶ ἐν ταῖς διαφοραῖς τῶν ζώων παραστῆσαι τοῖς ἀνθρώποις τὸ ποικίλον τῆς τῶν ἐν τῷ [10]) κόσμῳ κατασκευῆς, φθάνον καὶ

---

[1]) Philoc. τοῦ ἀλόγως καὶ φυσικῶς αὐτὰ ἐνεργεῖν.

[2]) Philoc. ἱστάμενος.

[3]) Philoc. Mscr., Hoeschel. teste: τὸ Ἀραβικὸν ζῶον, Philoc. vero impressa: τὸ Ἀράβων ζῶον.

[4]) De Phoenice vide, si vacat, Plinium lib. X. cap. 2., Tacit. lib. VI. cap. 28., Dion. lib. 57., Pompon. Mel. lib. III. cap 8. coll. Horapoll. lib. I. Hieroglyph. cap. 35., Physiolog. Epiphanii, et aliis.

[5]) De patris obitu et sepultura vide lib. II. cap. 57. Horapoll. Falsum ergo est illud Ovidii:

Una est quae reparet, seque ipsa reseminet ales;
Assyrii Phoenica vocant.

Atque hoc ejusdem:

Et vivax Phoenix unica semper avis:

nisi dicas, mortuo patre, unicam semper esse alitem ejus generis superstitem. Unigenam negat et Max. Martyr, cujus locum insignem ad Photii bibliothecam annotavi pag. 940. Hoeschel.

[6]) Philoc. ἐν σφαίραις σμύρνης.

[7]) Recte omnino Philocalia: ἐπιτιθέν, male autem Hoeschel. et Spencerus: ἐπιτιθέντα. R. — Jam Bohe-rell. in notis: »Lege: ἐπιτιθέν, e Philocalia.«

[8]) Philoc. τοῦτο δὴ ἱστόρηται μέν.

[9]) Philoc. τυγχάνειν· ἐπὶ δαψιλευσαμένης τῆς θείας κτλ.

[10]) Deest τῷ in Philoc.

ἐπὶ τὰ ὄρνεα· καὶ ζῷόν τι μονογενὲς ὑπέστησεν, ἵνα [1]) κἂν τούτῳ ποιήσῃ θαυμασθῆναι οὐ τὸ ζῷον, ἀλλὰ τὸν πεποιηκότα αὐτό.

99. Ἐπεὶ [2]) οὖν τούτοις πᾶσιν ἐπιφέρει ὁ Κέλσος τό· »Οὔκουν ἀνθρώπῳ πεποίηται [3]) τὰ πάντα, ὥσπερ οὐδὲ λέοντι, οὐδὲ ἀετῷ, οὐδὲ δελφῖνι· ἀλλ' ὅπως ὅδε ὁ κόσμος ὡς ἂν θεοῦ ἔργον ὁλόκληρον καὶ τέλειον ἐξ ἁπάντων γένηται· τούτου χάριν μεμέτρηται τὰ πάντα οὐκ ἀλλήλων, ἀλλ' [4]) εἰ μὴ πᾶν ἔργον, ἀλλὰ τοῦ ὅλου· καὶ μέλει τῷ θεῷ τοῦ ὅλου, καὶ [5]) τοῦτ' οὔ ποτε ἀπολείπει πρόνοια, οὐδὲ κάκιον γίνεται, οὐδὲ διὰ χρόνου πρὸς [6]) ἑαυτὸν ὁ θεὸς ἐπιστρέφει, [7]) οὐδ' [8]) ἀνθρώπων ἕνεκα ὀργίζεται· ὥσπερ οὐδὲ πιθήκων, οὐδὲ [9]) μυιῶν· οὐδὲ [10]) τούτοις ἀπειλεῖ, ὧν ἕκαστον ἐν τῷ μέρει τὴν [11])

---

[1]) Philoc. ἵνα κἂν τούτῳ ποιήσῃ. Hoeschel. et Spencerus: ἵνα καὶ τοῦτο ποιήσῃ. R.

[2]) Philoc. Ἐπὶ οὖν τούτοις κτλ. — In seqq. Philoc., itemq. edd. Spenc. et Ruaei: Οὔκουν.

[3]) Philoc. πεποίηται τὰ πάντα κτλ., Hoeschel. autem et Spencerus: πεποίηται ταῦτα. R.

[4]) Verba: ἀλλ' εἰ μὴ πᾶν ἔργον, a Gelenio non agnoscuntur, et Guieto videntur superflua. R. — Boherell. in notis: »Lege: ἀλλ' εἰ μὴ παρέργον.«

[5]) Philoc. καὶ τοῦτο οὔ ποτε ἀπολείπει.

[6]) Philoc., itemq. edd. Spenc. et Ruaei in textu: πρὸς αὐτό, ed. vero Ruaei in notis: »Lege cum Boherello: πρὸς αὑτόν, vel: πρὸς ἑαυτόν. Sic enim infra habetur: καὶ διὰ χρόνου ἐπιστρέφειν τὸ ὅλον πρὸς ἑαυτόν.« — Cfr. pag. 164. not. 1.

[7]) Philoc. ἐπιστρέψει.

[8]) Philoc. οὐδὲ ἀνθρώπων κτλ.

[9]) Philoc. οὐδὲ μυιῶν. Hoeschel. et Spencerus: οὐδὲ μυῶν. R.

[10]) Philoc., itemq. edd. Spenc. in textu: οὐδὲ τούτοις κτλ., Hoeschel. vero in textu, edd. Spenc. ad marginem: οὐδὲ τούτων.

[11]) Philoc. τὴν ἑαυτοῦ μοῖραν εἴληχε.

αὐτοῦ μοῖραν εἴληφε· « φέρε, κἂν διὰ βραχέων πρὸς [1]) ταῦτ' ἀπαντήσωμεν. Οἶμαι [2]) δὴ ἀποδεδειχέναι ἐκ τῶν προειρημένων, πῶς ἀνθρώπῳ καὶ παντὶ λογικῷ τὰ πάντα πεποίηται· προηγουμένως [3]) γὰρ διὰ τὸ λογικὸν ζῶον τὰ πάντα δεδημιούργηται. Κέλσος μὲν οὖν λεγέτω, ὅτι [4]) οὐκ ἀνθρώπῳ, ὡς οὐδὲ λέοντι, οὐδ' οἷς ὀνομάζει· ἡμεῖς [5]) δ' ἐροῦμεν, οὐ λέοντι ὁ δημιουργὸς, οὐδὲ ἀετῷ, οὐδὲ δελφῖνι ταῦτα πεποίηκεν· ἀλλὰ πάντα διὰ τὸ λογικὸν ζῶον, καὶ »ὅπως ἂν [6]) ὅδε ὁ κόσμος ὡς ἂν θεοῦ ἔργον ὁλόκληρον καὶ τέλειον ἐξ ἁπάντων γένηται.« Τούτῳ γὰρ συγκαταθετέον ὡς [7]) καλῶς εἰρημένῳ. Μέλει δὲ τῷ θεῷ οὐχ, ὡς [8]) Κέλσος οἴεται, μόνου [9]) τοῦ ὅλου, ἀλλὰ [10]) παρὰ τὸ ὅλον ἐξαιρέτως παντὸς λογικοῦ. Καὶ οὐδέ ποτε ἀπολείψει πρόνοια [11]) τὸ ὅλον· οἰκονομεῖ γὰρ, (κἂν κάκιον γίνηται, [12]) διὰ τὸ

---

[1]) Philoc. πρὸς ταῦτα ἀπαντήσωμεν. Hoeschel. in textu, edd. Spenc. ad marginem: πρὸς τοῦτ' ἀπαντήσωμεν.

[2]) Hoeschel. et Spencer. in marg. Οἶμαι δέ.

[3]) Hoeschel. in textu, edd. Spenc. ad marginem: προειρημένως.

[4]) Hoeschel. et Spencerus: ὅτι οὔτως οὐκ ἀνθρώπῳ, οὐδὲ λέοντι, κτλ. — Jam Boherell. vero in notis: »Praepone ὡς, e Philocalia: ὡς οὐδὲ λέοντι,« κτλ.

[5]) Philoc. ἡμεῖς δὲ ἐροῦμεν, οὐ λέοντι, οὐδ' ἀετῷ, οὐδὲ δελφῖνι ταῦτα πεποίηκεν ὁ δημιουργός· ἀλλὰ πάντα κτλ. [6]) Deest ἄν in Philoc.

[7]) In antea editis (v. c. edd. Spenc.) deest: ὡς, quod suppletur e Philocalia. R.

[8]) Philoc. ὡς ὁ Κέλσος οἴεται.

[9]) Philoc. μόνον τοῦ ὅλου.

[10]) Philoc. Mscr., Hoeschel. teste: ἀλλὰ πρὸς τὸ ὅλον ἐξαιρέτως παντὸς λογισμοῦ, Philoc. vero impressa, ut in nostro textu.

[11]) Philoc. πρόνοια τοῦ ὅλου.

[12]) Philoc., itemq. edd. Spenc. ad marginem: γένηται.

λογικὸν ἁμαρτάνον, μέρος τι τοῦ ὅλου,) καθάρσιον αὐτοῦ ποιεῖν, καὶ [1]) διὰ χρόνου ἐπιστρέφειν τὸ ὅλον πρὸς [2]) ἑαυτόν. Ἀλλ' οὐδὲ πιθήκων μὲν ἕνεκα ὀργίζεται, οὐδὲ [3]) μυιῶν· ἀνθρώποις δὲ ἐπάγει, ἅτε παραβᾶσι τὰς φυσικὰς ἀφορμὰς, δίκην καὶ κόλασιν, καὶ τούτοις διὰ προφητῶν ἀπειλεῖ, καὶ διὰ τοῦ ἐπιδημήσαντος (230) ὅλῳ τῷ γένει τῶν ἀνθρώπων σωτῆρος· ἵνα διὰ τῆς ἀπειλῆς ἐπιστραφῶσι μὲν οἱ ἀκούσαντες· οἱ [4]) δὲ ἀμελήσαντες τῶν ἐπιστρεπτικῶν λόγων, δίκας κατ' ἀξίαν τίσωσιν, ἃς πρέπον [5]) θεὸν ἐπιτιθέναι κατὰ [6]) τὸ ἑαυτοῦ συμφερόντως [7]) τῷ [8]) παντὶ βούλημα [9]) τοῖς τοιαύτης καὶ οὕτως ἐπιπόνου δεομένοις θεραπείας, καὶ διορθώσεως. Ἀλλὰ γὰρ καὶ τοῦ τετάρτου Τόμου αὐτάρκη περιγραφὴν εἰληφότος, αὐτοῦ που καταπαύσωμεν [10]) τὸν λόγον. Θεὸς δὲ δοίη [11]) διὰ τοῦ υἱοῦ αὐτοῦ, ὅς ἐστι θεὸς [12]) λόγος, καὶ σοφία, [13]) καὶ ἀλήθεια, καὶ

---

1) Cfr. pag. 162. not. 6.

2) Philoc. πρὸς ἑαυτό. Ἀλλ' οὐδέ κτλ.

3) Hoeschel. et Spencerus: οὐδὲ μυῶν.

4) Philoc. οἱ δ' ἀμελήσαντες.

5) Philoc. πρέπον θεῷ ἐπιτιθέναι· κατά κτλ.

6) Philoc. recte: κατὰ τὸ ἑαυτοῦ, male autem Hoeschel. et Spencerus: κατὰ τῶν ἑαυτοῦ. R. — Jam Boherell. in notis: »Lege, e Philocalia: κατὰ τὸ ἑαυτοῦ.«

7) Philoc. ἐπιφερόντως.

8) Philoc. recte: τῷ παντὶ βούλημα, male autem Hoeschel. et Spencerus: τῷ παντὶ βουλήματι. R. — Jam Boherell. in notis: »Lege: τῷ παντὶ βούλημα, e Philocalia.« — Cfr. pag. huj. not. 6.

9) Philoc. βούλημα· τῆς τοιαύτης κτλ.

10) Hoeschel. et Spencerus: καταπαύσομεν.

11) Philoc. δῴη.

12) Cfr. ev. Joann. I, 1. coll. XIV, 6.

13) Cfr. 1 Cor. I, 24. coll. 30.

δικαιοσύνη, καὶ [1]) πᾶν ὅ, τί ποτε θεολογοῦσαι [2]) περὶ αὐτοῦ φασιν ἱεραὶ γραφαὶ, ἄρξασθαι ἡμᾶς καὶ τοῦ πέμπτου Τόμου, ἐπ᾽ ὠφελείᾳ τῶν ἐντευξομένων, καὶ διανύσαι κἀκεῖνον, μετὰ τῆς τοῦ λόγου αὐτοῦ εἰς τὴν ἡμετέραν ψυχὴν ἐπιδημίας, [3]) καλῶς.

---

[1]) Philoc. καὶ πᾶν ὅ, τί ποτε θεολογοῦσαί φασι περὶ αὐτοῦ αἱ ἱεραὶ γραφαί, ἄρξασθαι κτλ.

[2]) Sic Codd. Regius et Basileens. (itemq. edd. Spenc. ad margin.) Hoeschel. autem et Spencer. (in textu): περὶ αὐτοῦ θεολογοῦσιν αἱ ἱεραὶ γραφαὶ, ἄρξασθαι κτλ. R.

[3]) Philoc. male: ἐπιδημίαν.

ΩΡΙΓΕΝΟΥΣ

ΚΑΤΑ ΚΕΛΣΟΥ

Τόμος πέμπτος.

1. (231) Οὐ τὴν ἀπηγορευμένην πολυλογίαν[1]) μεταδιώκοντες, ἀφ' ἧς οὐκ ἔστι φυγεῖν τὴν ἁμαρτίαν, ἤδη πέμπτου ἀρχόμεθα βιβλίου, πρὸς τὸ Κέλσου σύγγραμμα, ἱερὲ Ἀμβρόσιε· ἀλλ', ὅση δύναμις, πειρώμενοι μηδὲν τῶν ὑπ' αὐτοῦ λεχθέντων παρελθεῖν ἀβασάνιστον, καὶ μάλιστα ἐν οἷς δόξαι ἄν τισι συνετῶς ἡμῶν καὶ Ἰουδαίων κατηγορηκέναι. Καὶ εἰ μὲν οἷόν τ' ἦν μετὰ τοῦ λόγου εἰσελθόντα[2]) εἰς τὴν παντὸς οὑτινοσοῦν συνείδησιν τῶν ἐντυγχανόντων τῷ ἐκείνου συγγράμματι, ἕκαστον ἐξελκύσαι βέλος τιτρῶσκον τὸν οὐ πάντη πεφραγμένον τῇ πανοπλίᾳ[3]) τοῦ θεοῦ, καὶ ἐπιθεῖναι λογικὸν φάρμακον, θεραπεῦον τὸ ἀπὸ Κέλσου τραῦμα, ποιοῦν μὴ ὑγιαίνειν[4]) τῇ πίστει τοὺς προσέρχοντας αὐτοῦ τοῖς λόγοις· τοῦτ' ἂν πεποιήκειμεν. Ἐπεὶ δὲ τοῦτο μὲν θεοῦ ἔργον ἐστὶν, ἀοράτως ἐπιδημεῖν κατὰ τὸ ἑαυτοῦ πνεῦμα μετὰ τοῦ πνεύματος Χριστοῦ, οἷς κρίνει δεῖν ἐπιδημεῖν· ἡμῖν δὲ, διὰ λόγων

[1]) Cfr. Prov. X, 19.

[2]) Melius scriberetur: εἰσελθόντας, ut monet Boherellus, vel: εἰσελθόντος. R.

[3]) Cfr. Ephes. VI, 11. [4]) Cfr. Tit. II, 2.

καὶ συγγραμμάτων πειρωμένοις ἀνθρώπους πιστοποιεῖν, πρόκειται πάντα ποιεῖν ὑπὲρ τοῦ χρηματίσαι ἐργάτας[1]) ἀνεπαισχύντους,[2]) ὀρθοτομοῦντας τὸν λόγον τῆς ἀληθείας. Ἐν δὲ τῶν πάντων εἶναι ἡμῖν φαίνεται, καὶ τὰ πιθανὰ[3]) τῷ Κέλσῳ κατὰ τὸ δυνατὸν ἡμῖν λύσαι πιστῶς[4]) ποιοῦσι τὸ προσιταγμένον ὑπὸ σοῦ. Φέρ' ἐκθέμενοι τὰ ἐξῆς τοῖς Κέλσου λόγοις, πρὸς οὓς φθάσαντες ἀπηντήσαμεν· (κρινεῖ δὲ ὁ ἐντυγχάνων, εἰ[5]) καὶ ἀνετρέψαμεν·) τὰ πρὸς αὐτὰ ἐπαγάγωμεν. Θεὸς δὲ δῴη,[6]) μὴ ψιλῷ καὶ γυμνῷ θειότητος τῷ ἡμετέρῳ νῷ καὶ λόγῳ πρὸς τὸ προκείμενον γενέσθαι· ἵν' ἡ πίστις τῶν, οὓς εὐχόμεθα ὠφεληθῆναι, μὴ ᾖ ἐν σοφίᾳ[7]) ἀνθρώπων· νοῦν[8]) δὲ Χριστοῦ λαβόντες ἀπὸ τοῦ μόνου διδόντος αὐτὸν πατρὸς αὐτοῦ, καὶ πρὸς τὴν μετοχὴν τοῦ λόγου τοῦ θεοῦ βοηθηθέντες, πᾶν[9]) ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ θεοῦ καθέλοιμεν· καὶ τὸ οἴημα[10]) Κέλσου καθ' ἡμῶν καὶ κατὰ τοῦ Ἰησοῦ ἡμῶν ἐπαιρομένου, ἔτι δὲ καὶ[11]) κατὰ Μωϋσέως,

---

[1]) Cfr. II Tim. II, 15.

[2]) Mss. ἀνεπαισχύντως. R.

[3]) Boherellus, quem Ruaeus sequitur, in notis: »Malim: πιθανὰ τοῦ Κέλσου.

[4]) Edd. Spenc. ad marg. ποιοῦσι τὸ πιστῶς προστεταγμένον κτλ.

[5]) Ita recte, ut mihi quidem videtur, Codd. Anglicani habent in margine. Libri editi (v. c. edd. Spenc.): εἰ καὶ καλῶς ἀνεγράψαμεν. Verum ab omnibus Mss. abest: καλῶς, quo sublato nullum hic locum habere potest: ἀνεγράψαμεν. R.

[6]) Edd. Spenc. in textu: δοίη, ad marg. vero: δῴη.

[7]) Cfr. I Cor. II, 5. [8]) Cfr. I Cor. II, 16.

[9]) Cfr. II Cor. X, 5.

[10]) Boherellus, quem Ruaeus sequitur, in notis: »Lege: νόημα, e II Cor. X, 5.«

[11]) Deest καί in edd. Spenc.

καὶ τῶν προφητῶν· ἵνα τοῦ διδόντος [1]) »ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ,« καὶ ἡμῖν τοῦτ' ἐπιχορηγοῦντος, καὶ τὴν πολλὴν δύναμιν δωρουμένου, ἐγγένηται πίστις τοῖς ἐντευξομένοις ἐν λόγῳ καὶ δυνάμει τοῦ θεοῦ.

2. Πρόκειται οὖν νῦν τὴν οὕτως ἔχουσαν αὐτοῦ ἀνατρέψαι λέξιν· »θεὸς μὲν, ὦ Ἰουδαῖοι καὶ Χριστιανοὶ, καὶ θεοῦ (232) παῖς οὐδεὶς οὔτε κατῆλθεν, οὔτε κατέλθοι. Εἰ δέ τινας ἀγγέλους φατὲ, τίνας τούτους λέγετε, θεοὺς, ἢ ἄλλο τι γένος; Ἄλλο [2]) τι, ὡς εἰκὸς, τοὺς δαίμονας.« Πρὸς ταῦτα δὲ παλιλλογοῦντι τῷ Κέλσῳ· (ἀνωτέρω γὰρ ἤδη πολλάκις [3]) ταῦτ' αὐτῷ λέλεκται·) οὐκ ἀναγκαῖον ἐπὶ πλεῖον διαλεχθῆναι· ἀρκέσει γὰρ τὰ εἰς τοῦθ' [4]) ἡμῖν λελεγμένα. Ὀλίγα δ' ἀπὸ πλειόνων, ἃ δοκοῦμεν εἶναι συνᾴδοντα μὲν τοῖς προειρημένοις, οὐ τὸν αὐτὸν δὲ πάντη ἐκείνοις ἔχοντα νοῦν, ἐκθησόμεθα· ἐν οἷς παραστήσομεν, ὅτι καθολικῶς ἀποφηνάμενος θεὸν οὐδένα πρὸς ἀνθρώπους κατεληλυθέναι, ἢ θεοῦ παῖδα, ἀναιρεῖ καὶ τὰ ὑπὸ τῶν πολλῶν περὶ θεοῦ ἐπιφανείας δοξαζόμενα, καὶ ὑπ' αὐτοῦ ἐν τοῖς ἀνωτέρω προειρημένα. Εἰ γὰρ καθόλου λελεγμένον τό· »θεὸς καὶ θεοῦ παῖς οὐδεὶς κατῆλθεν, οὐδὲ κατέλθοι·« ἀληθῶς τῷ Κέλσῳ εἴρηται· δηλονότι ἀνή-

---

[1]) Cfr. Psalm. LXVIII, 11. (LXVII.)

[2]) Sic libri editi (v. c. edd. Spenc.) habent in margine, sicque legitur infra num. 4., ubi eadem phrasis occurrit. Male ergo hic libri editi (v. c. edd. Spenc.) in textu habent: ἀλλ' ὅτι. R.

[3]) Cod Basil. recte omnino: πολλάκις ταῦτ' αὐτῷ κτλ., cum proxime eodem numero praecedant verba: Πρὸς ταῦτα δὲ παλιλλογοῦντι, et quod sequitur: εἰς τοῦθ' ἡμῖν, vertendum sit: *hactenus*. Libri editi (v. c. edd. Spenc.) hoc loco habent: πολλάκις τοῦτ' αὐτῷ. R.

[4]) Edd. Spenc. ad marg. ταῦτ'. — Cfr. pag. huj. not. 3., cum, me saltem judice, ad illum potius spectet locum, quam ad nostrum haec lectio.

ρηται τὸ, εἶναι θεοὺς ἐπὶ γῆς, κατελθόντας ἐξ οὐρανοῦ, ἵνα ἤτοι μαντεύσωνται τοῖς ἀνθρώποις, ἢ διὰ χρησμῶν θεραπεύσωσι· καὶ οὔτε ὁ Πύθιος, οὔτ' Ἀσκληπιὸς, οὔτ' ἄλλος τις τῶν νενομισμένων τὰ τοιαῦτα ποιεῖν, θεὸς ἂν εἴη καταβὰς ἐξ οὐρανοῦ· ἢ θεὸς μὲν ἂν [1]) εἴη, ἀεὶ δὲ λαχὼν οἰκεῖν τὴν γῆν, καὶ ὥσπερεὶ φυγὰς τοῦ τόπου τῶν θεῶν· ἢ τις τῶν μὴ ἐξουσίαν ἐχόντων κοινωνεῖν τοῖς ἐκεῖ θεοῖς [2]) εἴη ἄν· ἢ οὐ θεοὶ εἶεν ὁ Ἀπόλλων καὶ ὁ Ἀσκληπιὸς, καὶ ὅσοι ἐπὶ γῆς τι ποιεῖν πεπιστευμένοι εἰσίν· ἀλλά τινες δαίμονες τῶν ἐν ἀνθρώποις σοφῶν, καὶ ἐπὶ τὴν ἀψίδα τοῦ οὐρανοῦ διὰ τὴν ἀρετὴν ἀναβαινόντων, πολλῷ χείρους.

3. Ὅρα δὴ ὅτι βουλόμενος τὰ ἡμέτερα ἀνελεῖν, ὁ μὴ ὁμολογήσας δι' ὅλου τοῦ συγγράμματος Ἐπικούρειος εἶναι, πρὸς τὸν Ἐπίκουρον αὐτομολῶν ἐλέγχεται. Ὥρα δή σοι τῷ ἐντυγχάνοντι τοῖς Κέλσου λόγοις, καὶ συγκατατιθεμένῳ τοῖς προκειμένοις, ἤτοι ἀναιρεῖν τὸ θεὸν ἐπιδημεῖν, προνοούμενον ἀνθρώπων τῶν καθ' ἕνα· ἢ τιθέντι τὸ τοιοῦτον, ψευδοποιεῖν τὸν Κέλσου λόγον. Εἰ μὲν οὖν πάντη πρόνοιαν ἀναιρεῖς, ψευδοποιήσεις αὐτοῦ τοὺς λόγους, ἐν οἷς τίθησι »θεοὺς καὶ πρόνοιαν,« ἵνα ταῦτα φήσῃς εἶναι ἀληθῆ· εἰ δὲ τίθης οὐδὲν ἧττον πρόνοιαν, ὡς οὐ συγκατατιθέμενος Κέλσῳ λέγοντι »μήτε θεὸν, μήτε θεοῦ παῖδα κατεληλυθέναι, ἢ κατέρχεσθαι πρὸς ἀνθρώπους·« διὰ τί οὐχὶ ἐπιμελῶς ἐξετάσεις ἐκ τῶν περὶ Ἰησοῦ ἡμῖν λελεγμένων, καὶ τῶν περὶ αὐτοῦ προφητευομένων, τίνα μᾶλλον χρὴ νομίζειν θεὸν, καὶ θεοῦ παῖδα κατεληλυθέναι πρὸς ἀνθρώπους, τὸν τοσαῦτα οἰκονομήσαντα καὶ ποιήσαντα Ἰησοῦν, ἢ τοὺς προφάσει χρησμῶν καὶ μαντειῶν μὴ ἐπανορθοῦντας μὲν τὰ ἤθη τῶν θεραπευομένων, καὶ προσέτι δ' ἀποστάντας τῆς εἰλικρινοῦς καὶ καθαρᾶς

---

[1]) Edd. Spenc. ad marg. εἴη ἄν.

[2]) Edd. Spenc. et Ruaei: θείοις.

πρὸς[1]) τὸν τῶν ὅλων ποιητὴν σεβασμίου τιμῆς· καὶ σχίζοντας (233) τὴν τῶν προσεχόντων αὐτοῖς ψυχὴν προφάσει τιμῆς πλειόνων θεῶν, ἀπὸ τοῦ ἑνὸς καὶ μόνου ἐναργοῦς καὶ ἀληθινοῦ θεοῦ;

4. Ἐπεὶ δὲ μετὰ ταῦτα, ὡς ἀποκριναμένων ἂν Ἰουδαίων ἢ Χριστιανῶν περὶ τῶν πρὸς ἀνθρώπους καταβαινόντων, ὅτι εἶεν ἄγγελοι, φησίν· »εἰ δέ τινας ἀγγέλους φατέ·« καὶ προσεπερωτᾷ λέγων· »τίνας τούτους λέγετε; θεοὺς, ἢ ἄλλο τι γένος;« εἶτα πάλιν οἱονεὶ ἀποκριναμένους[2]) ἄγει· »ὅτι[3]) ἄλλο τι, ὡς εἰκὸς, τοὺς δαίμονας·« φέρε, καὶ ταῦτα κατανοήσωμεν. Ὁμολογουμένως μὲν γὰρ ἀγγέλους φαμὲν »λειτουργικὰ[4]) ὄντας πνεύματα,« καὶ »εἰς[5]) διακονίας ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν·« ἀναβαίνειν μὲν προσάγοντας[6]) τὰς τῶν ἀνθρώπων ἐντεύξεις, ἐν τοῖς καθαρωτάτοις τοῦ κόσμου χωρίοις ἐπουρανίοις, ἢ καὶ τοῖς τούτων καθαρωτέροις ὑπερουρανίοις· καταβαίνειν δ' αὖ ἐκεῖθεν, φέροντας[7]) ἑκάστῳ κατ' ἀξίαν τῶν ἀπὸ θεοῦ τι αὐτοῖς διακονεῖν τοῖς εὐεργετουμένοις προστασσομένων. Τούτους δὴ ἀγγέλους ἀπὸ τοῦ ἔρ-

---

[1]) Edd. Spenc. in textu: *πρὸς τήν*. Jam Boherell. vero in notis: »Lege: *πρὸς τόν*.«

[2]) Sic Mss. Libri vero editi (v. c. edd. Spenc.) in textu: *ἀποκριναμένοις ἄγει*, et in margine: *ἀποκριναμένοις λέγει*. R.

[3]) Cfr. libr. huj. num. 2.

[4]) Cfr. Hebr. I, 14.

[5]) Sic Hoeschel. et Mss. (itemq. edd. Spenc. ad marginem). Spencer. vero (in textu): *εἰς διακονίαν*. R. — Cfr. Hebr. I, 14.

[6]) Vide Origenianorum Huetii lib. II. quaest. II.

[7]) Boherell., quem Ruaeus sequitur, in notis: »Verborum haec est constructio: *φέροντας ἑκάστῳ κατ' ἀξίαν τι τῶν αὐτοῖς προστασσομένων ἀπὸ θεοῦ διακονεῖν τοῖς εὐεργετουμένοις*, ut *τῶν προστασσομένων* sit in neutro. Vide Huetii lib. II. Origenianorum quaest. V. num. XXXVI.«

γου αὐτῶν μεμαθηκότες καλεῖν, εὑρίσκομεν αὐτοὺς, διὰ τὸ θείους εἶναι, καὶ θεοὺς[1]) ἐν ταῖς ἱεραῖς ποτε ὀνομαζομένους γραφαῖς· ἀλλ' οὐχ ὥστε προστάσσεσθαι ἡμῖν τοὺς διακονοῦντας, καὶ φέροντας ἡμῖν τὰ τοῦ θεοῦ, σέβειν[2]) καὶ προσκυνεῖν ἀντὶ τοῦ θεοῦ. Πᾶσαν μὲν γὰρ δέησιν, καὶ προσευχὴν, καὶ ἔντευξιν, καὶ εὐχαριστίαν, ἀναπεμπτέον τῷ ἐπὶ πᾶσι θεῷ, διὰ τοῦ ἐπὶ πάντων ἀγγέλων ἀρχιερέως, ἐμψύχου λόγου καὶ θεοῦ. Λεησόμεθα δὲ καὶ αὐτοῦ τοῦ λόγου, καὶ ἐντευξόμεθα αὐτῷ, καὶ εὐχαριστήσομεν, καὶ προσευξόμεθα δὲ, ἐὰν[3]) δυνώμεθα κατακούειν τῆς περὶ προσευχῆς κυριολεξίας καὶ καταχρήσεως.

5. Ἀγγέλους[4]) γὰρ καλέσαι[5]) μὴ ἀναλαβόντας τὴν ὑπὲρ ἀνθρώπους περὶ αὐτῶν ἐπιστήμην, οὐκ εὔλογον. Ἵνα[6]) δὲ καθ' ὑπόθεσιν ἡ περὶ αὐτῶν ἐπιστήμη, θαυμάσιός τις οὖσα καὶ ἀπόῤῥητος, καταληφθῇ· αὕτη ἡ ἐπιστήμη, παραστήσασα τὴν φύσιν αὐτῶν, καὶ ἐφ' οἷς εἰσιν ἕκαστοι τεταγμένοι, οὐκ ἐάσει ἄλλῳ θαῤῥεῖν εὔχεσθαι, ἢ τῷ πρὸς πάντα διαρκεῖ ἐπὶ πᾶσι θεῷ, διὰ τοῦ Σωτῆρος ἡμῶν υἱοῦ τοῦ θεοῦ· ὅς ἐστι λόγος,[7])

---

[1]) Cfr. Psalm. L, 1. (XLIX.) LXXXVI, 8. (LXXXV.) XCVI, 4. (XCV.) CXXXVI, 2. (CXXXV.)

[2]) Hoeschel. in notis: *Οἱ γὰρ τῷ νόμῳ συνηγοροῦντες, καὶ τοὺς ἀγγέλους σέβειν εἰσηγοῦντο, ὅτι δι' αὐτῶν καὶ ὁ νόμος ἐδόθη. Ἔμεινε δὲ τοῦτο κατὰ Φρυγίαν τὸ ἔθος, ὡς καὶ τὴν ἐν Λαοδικείᾳ σύνοδον νόμῳ κωλύσαι τὸ προσιέναι ἀγγέλοις καὶ προσεύχεσθαι· ἀφ' οὗ καὶ ναοὶ παρ' αὐτοῖς τοῦ ἀρχιστρατήγου Μιχαὴλ πολλοί.* Oecumen. Mscr. cap. 2. ad Coloss., quod in editis libris desideratur.

[3]) Vide lib. II. Origenianor. quaest. II. num. XXIX.

[4]) Vide lib. II. Origenianor. quaest. V. num. XXXVI.

[5]) Boherell. in notis: »Pro Composito: *ἐπικαλέσαι*.«

[6]) Edd. Spenc. *Ἵνα δὲ καὶ καθ' ὑπόθεσιν.*

[7]) Cfr. ev. Joann I, 1.

καὶ σοφία,[1]) καὶ ἀλήθεια,[2]). καὶ ὅσα ἄλλα λέγουσι περὶ αὐτοῦ αἱ τῶν προφητῶν τοῦ θεοῦ καὶ τῶν ἀποστόλων τοῦ Ἰησοῦ γραφαί. Ἀρκεῖ δὲ πρὸς τὸ ἵλεως ἡμῖν τοὺς ἁγίους ἀγγέλους εἶναι τοῦ θεοῦ, καὶ πάντα πράττειν αὐτοὺς ὑπὲρ ἡμῶν, ἡ πρὸς τὸν θεὸν διάθεσις ἡμῶν, ὅση[3]) δύναμις ἀνθρωπίνη[4]) φύσει, μιμουμένη τὴν ἐκείνων προαίρεσιν, μιμουμένων αὐτῶν τὸν θεόν· καὶ[5]) ἡ πρὸς τὸν υἱὸν αὐτοῦ λόγον, κατὰ τὸ ἐφικτὸν ἡμῖν, διάληψις, οὐκ ἐναντιουμένη τῇ τρανωτέρᾳ περὶ αὐτοῦ διαλήψει τῶν ἁγίων ἀγγέλων, ἀλλ' ἐπ' ἐκείνην ὁσημέραι τῇ τρανότητι καὶ διαρθρώσει σπεύδουσα. Ὡς μὴ ἀναγνοὺς δὲ τὰς ἱερὰς ἡμῶν γραφὰς ὁ Κέλσος ἑαυτῷ ἀποκρίνεται ὡς ἀφ' ἡμῶν, ὅτι »ἄλλο τι γένος παρὰ[6]) θεοὺς φαμεν τοὺς καταβαίνοντας (234) ἐπ' εὐεργεσίᾳ τῶν ἀνθρώπων ἀγγέλους,« καί φησιν, ὡς »τὸ εἰκὸς, λεχθῆναι ἂν αὐτοὺς ὑφ' ἡμῶν δαίμονας· « οὐχ ὁρῶν, ὅτι τὸ τῶν δαιμόνων ὄνομα οὐδὲ μέσον ἐστὶν, ὡς τὸ τῶν ἀνθρώπων, ἐν οἷς τινες μὲν ἀστεῖοι,[7]) τινὲς δὲ φαῦλοί εἰσιν· οὔτ' ἀστεῖον, ὁποῖόν ἐστι τὸ τῶν θεῶν,

---

[1]) Cfr. I Cor. I, 24. 30.

[2]) Cfr. ev. Joann. XIV, 6.

[3]) Sic Mss., et recte omnino: libri autem editi (v. c. edd. Spenc.) in textu habent: ὅσῃ δυνάμις ἀνθρωπίνη φύσις μιμουμένη τὴν ἐκείνων αὐτῶν προαίρεσιν, μιμουμένων τὸν θεόν. R. — Cfr. pag. huj. not. 4.

[4]) Edd. Spenc. ad marginem: ἀνθρωπίνῃ φύσει μιμουμένῃ. Jam Boherell. vero in notis: »Lege: ἀνθρωπίνῃ φύσει, ut est ad oram: sed retine: μιμουμένη, in casu recto.« — Cfr. pag. huj. not. 3.

[5]) Guieto scribendum videtur: καὶ ἡ περὶ τοῦ υἱοῦ αὐτοῦ λόγου κτλ. R.

[6]) Edd. Spenc. et Ruaei in textu: παρὰ θεοῦ φαμεν, ed. vero Ruaei in notis: »Lege cum Boherello et Guieto: παρὰ θεούς φαμεν, vel: παρὰ θεόν φαμεν.«

[7]) Hoeschel. in notis: ἀστεῖοι sunt auctori nostro, ut et Philoni passim, iidem qui Aristoteli: οἱ τὴν ἀρετὴν ἔχοντες, σπουδαῖοι.

ταασσόμενον οὐκ ἐπὶ φαύλων [1]) δαιμονίων, ἢ ἐπὶ ἀγαλμάτων, ἢ ἐπὶ ζώων· ἀλλ' ὑπὸ [2]) τῶν τὰ θεοῦ ἐγνωκότων, ἐπὶ τῶν ἀληθῶς θειοτέρων, καὶ μακαρίων. Ἀεὶ δ' ἐπὶ τῶν φαύλων ἔξω τοῦ παχυτέρου σώματος δυνάμεων τάσσεται τὸ τῶν δαιμόνων ὄνομα, πλανώντων καὶ περισπώντων τοὺς ἀνθρώπους, καὶ καθελκόντων ἀπὸ τοῦ θεοῦ καὶ τῶν ὑπερουρανίων ἐπὶ τὰ τῇδε πράγματα.

6. Μετὰ ταῦτα δὲ τοιαύτην ἐκτίθεται περὶ Ἰουδαίων λέξιν· »Πρῶτον οὖν τῶν Ἰουδαίων θαυμάζειν ἄξιον, εἰ τὸν μὲν οὐρανὸν, καὶ τοὺς ἐν τῷδε ἀγγέλους σέβουσι· τὰ σεμνότατα δὲ αὐτοῦ μέρη καὶ δυνατώτατα, ἥλιον, καὶ σελήνην, καὶ τοὺς ἄλλους ἀστέρας, ἀπλανεῖς τε καὶ πλανήτας, ταῦτα παραπέμπουσιν. Ὡς [3]) ἐνδεχόμενον, τὸ μὲν ὅλον εἶναι θεὸν, τὰ δὲ μέρη αὐτοῦ μὴ θεῖα· ἢ τοὺς μὲν ἐν σκότῳ που ἐκ γοητείας οὐκ ὀρθῆς τυφλώττουσιν, ἢ δι' ἀμυδρῶν φασμάτων ὀνειρώττουσιν ἐγχρίμπτειν λεγομένους, εὖ μάλα θρησκεύειν· τοὺς δ' ἐναργῶς οὕτω καὶ λαμπρῶς ἅπασι προφητεύοντας, δι' ὧν ὑετούς τε καὶ θάλπη, καὶ νέφη, καὶ βροντὰς, (ἃς προσκυνοῦσι,) καὶ ἀστραπὰς, καὶ καρποὺς, καὶ γονὰς ἁπάσας ταμιεύεσθαι, [4]) δι' ὧν αὐτοῖς ἀνακαλύπτεσθαι τὸν θεὸν, τοὺς φανερωτάτους τῶν ἄνω κήρυκας, τοὺς ὡς ἀληθῶς οὐρανίους ἀγγέλους, τούτους ἡγεῖσθαι τὸ μηδέν.« Ἐν τούτοις δὲ δοκεῖ μοι συγκεχύσθαι ὁ Κέλσος, καὶ ἀπὸ παρακουσμάτων, ἃ μὴ ᾔδει,

---

[1]) Edd. Spenc., uncis voc. ἐπί appositis: φαύλων ἐπὶ δαιμονίων.

[2]) Spencer. in notis: »Gelenius legit: ἐπί. Christophor. Persona ὑπό retinuit.«

[3]) Ruaeus, Boherello duce, in notis: »Accusativus casus, absolute positus, quamquam Guieto scribendum videtur: Ὡς ἐνδεχομένου.«

[4]) Boherellus, quem Ruaeus sequitur, in notis: »Addendum, vel subaudiendum: δῆλον, aut quid simile.«

γεγραφέναι· σαφὲς γὰρ τοῖς τὰ Ἰουδαίων ἐξετάζουσι, καὶ τὰ Χριστιανῶν ἐκείνοις συνάπτουσιν, ὅτι τῷ μὲν νόμῳ ἀκολουθοῦντες Ἰουδαῖοι λέγονται ἐκ προσώπου Θεοῦ· »οὐκ[1]) ἔσονταί σοι θεοὶ[2]) ἕτεροι πλὴν ἐμοῦ. Οὐ ποιήσεις σεαυτῷ εἴδωλον, οὐδὲ παντὸς ὁμοίωμα, ὅσα ἐν τῷ οὐρανῷ ἄνω, καὶ ὅσα ἐν τῇ γῇ κάτω, καὶ ὅσα ἐν τοῖς ὕδασιν ὑποκάτω τῆς γῆς· οὐ προσκυνήσεις αὐτοῖς, οὐδὲ μὴ λατρεύσεις αὐτοῖς·« οὐδὲν ἄλλο σέβουσιν, ἢ τὸν ἐπὶ πᾶσι θεὸν, ὃς ἐποίησε τὸν οὐρανὸν, καὶ τὰ λοιπὰ πάντα. Δῆλον δ' ὅτι οἱ κατὰ τὸν νόμον βιοῦντες, σέβοντες τὸν ποιήσαντα τὸν οὐρανὸν, οὐ συσσέβουσι τῷ θεῷ τὸν οὐρανόν. Ἀλλὰ καὶ τοὺς ἐν τῷ οὐρανῷ ἀγγέλους οὐδεὶς τῶν δουλευόντων τῷ Μωϋσέως νόμῳ προσκυνεῖ· ὁμοίως δὲ τῷ μὴ προσκυνεῖν ἥλιον, καὶ σελήνην, καὶ τοὺς ἀστέρας, τὸν κόσμον τοῦ οὐρανοῦ, ἀπέχονται τοῦ προσκυνεῖν οὐρανὸν, καὶ τοὺς ἐν αὐτῷ ἀγγέλους, πειθόμενοι τῷ λέγοντι νόμῳ· »καὶ[3]) μὴ ἀναβλέψας εἰς τὸν οὐρανὸν, καὶ ἰδὼν τὸν ἥλιον, καὶ τὴν σελήνην, καὶ τοὺς ἀστέρας,[4]) πάντα τὸν κόσμον τοῦ οὐρανοῦ, πλανηθεὶς προσκυνήσεις αὐτοῖς, καὶ λατρεύσεις αὐτοῖς· ἃ ἀπένειμε κύριος ὁ θεός σου αὐτὰ πᾶσι τοῖς ἔθνεσιν.«

7. Ἀλλὰ καὶ ἑαυτῷ λαβὼν, ὡς ἄρα θεὸν νομίζουσι τὸν οὐρανὸν Ἰουδαῖοι, τοῦτο (235) ὡς ἄτοπον ἐπιφέρει, ἐγκαλῶν τοῖς προσκυνοῦσι μὲν τὸν οὐρανὸν, οὐχὶ δὲ καὶ τὸν ἥλιον, καὶ τὴν σελήνην, καὶ τοὺς ἀστέρας, ὅτι τοῦτο ποιοῦσιν Ἰουδαῖοι, ὡς ἐνδεχόμενον, τὸ μὲν ὅλον εἶναι θεὸν, τὰ μέρη δ' αὐτοῦ μὴ θεῖα· καὶ ὅλον μὲν ἔοικε λέγειν τὸν οὐρανὸν, μέρη δ' αὐτοῦ ἥλιον, καὶ

---

[1]) Cfr. Exod. XX, 3. 4. 5.

[2]) In edd. Spenc. uncis inclusum legitur: θεοί.

[3]) Cfr. Deut. IV, 19.

[4]) Edd. Spenc., uncis voc. καί appositis: ἀστέρας, καὶ πάντα κτλ.

σελήνην, καὶ ἀστέρας. Οὐ λέγουσι μὲν οὖν σαφῶς οὔτ' Ἰουδαῖοι, οὔτε Χριστιανοὶ τὸν οὐρανὸν θεόν. Ἀλλὰ δεδόσθω κατ' αὐτὸν, λέγεσθαι ὑπὸ Ἰουδαίων θεὸν εἶναι τὸν οὐρανόν· ἔστω δὲ καὶ μέρη τοῦ οὐρανοῦ ἥλιος, καὶ σελήνη, καὶ ἀστέρες· (ὅπερ οὐ πάντως ἐστὶν ἀληθές· οὐδὲ γὰρ τὰ ἐπὶ γῆς ζῶα καὶ φυτὰ μέρη γῆς·) πόθεν δὴ καὶ καθ' Ἕλληνας ἀληθὲς, ὅτι, ἐὰν ὅλον τι θεὸς ᾖ, ἤδη καὶ τὰ μέρη αὐτοῦ ἐστι θεῖα; Σαφῶς δὴ τὸν ὅλον κόσμον λέγουσιν εἶναι θεὸν, Στωϊκοὶ [1]) μὲν τὸν πρῶτον· οἱ δ' ἀπὸ Πλάτωνος [2]) τὸν δεύτερον· τινὲς δ' αὐτῶν τὸν τρίτον. [3]) Ἆρ' οὖν κατὰ τοὺς τοιούτους, ἐπεὶ τὸ ὅλον ὁ κόσμος θεός ἐστιν· ἤδη καὶ τὰ μέρη αὐτοῦ θεῖα· ὡς εἶναι θεῖα, οὐ μόνον ἀνθρώπους, ἀλλὰ καὶ πάντα τὰ ἄλογα ζῶα, μέρη ὄντα τοῦ κόσμου, πρὸς δὲ

---

[1]) Spencer. in notis: Plutarch. lib. I. cap. 7. de Placitis philosophorum: Θεὸν δὲ, καὶ τὸν κόσμον, καὶ τοὺς ἀστέρας, καὶ τὴν γῆν, τὸν δὲ ἀνωτάτω πάντων νοῦν, ἐν αἰθέρι. Vide quae profert ex Chrysippo in libro de Stoicorum repugnantiis, Laërt. in Zen., Lactant. lib. VII. cap. 3.

[2]) Spencer. in notis: Plato de anima mundi pag. 94. (ex recens. Bekkeri Part. III. Vol. III. pag. 380.) Δηλόμενος ὧν ἄριστον γένναμα ποιῆν, τοῦτον ἐποίη θεὸν γεννατὸν, οὔ ποκα φθαρησούμενον ὑπ' ἄλλω αἰτίω ἔξω τῶ αὐτὸν συντεταγμένω θεῶ, εἴ ποκα δήλετο αὐτὸν διαλύεν. Ἀλλ' οὐ γὰρ τἀγαθῶ ἐστιν ὁρμὰ ἐπὶ φθορὰν γεννάματος καλλίστω· διαμένει ἄρα, τοιόσδε ὤν, ἄφθαρτος καὶ ἀνώλεθρος καὶ μακάριος· κράτιστος δ' ἐστὶ γενναιτῶν, ἐπεὶ ὑπὸ τῶ κρατίστω αἰτίω ἐγένετο. Plato in Timaeo, pag. 40., cum multa dixerat de creatione mundi, adjungit: Ἀλλὰ ταῦτά τε ἱκανῶς ἡμῖν ταύτη καὶ τὰ περὶ θεῶν ὁρατῶν καὶ γεννητῶν εἰρημένα φύσεως, ἐχέτω τέλος.

[3]) Plotin. lib. V. Ennead. 3. Ἢ εἰσι καὶ ἐνταῦθα θεοὶ, καὶ ὁ κόσμος θεὸς, ὥσπερ σύνηθες λέγειν, τρίτος, καὶ εἰ μέχρι σελήνης ἕκαστος θεός. Spencer.

τοῖς ἔθνεσι, τοῖς ὑποκάτω παντὸς τοῦ οὐρανοῦ. Ἡμᾶς [1]) δ' ἔλαβε κύριος ὁ θεὸς, καὶ ἐξήγαγεν ἡμᾶς ἐκ τῆς καμίνου τῆς σιδηρᾶς, [2]) ἐξ Αἰγύπτου, εἶναι λαὸν αὐτῷ ἔγκληρον, ὡς ἐν τῇ ἡμέρᾳ ταύτῃ.« Γένος [3]) τοίνυν ἐκλεκτὸν, καὶ βασίλειον ἱεράτευμα, καὶ ἔθνος ἅγιον, καὶ λαὸς εἰς περιποίησιν κληθέντες ὑπὸ θεοῦ εἶναι ὁ Ἑβραίων λαὸς, περὶ οὗ τῷ Ἀβραὰμ προείρητο ἀπὸ τῆς πρὸς αὐτὸν τοῦ κυρίου φωνῆς· »ἀνάβλεψον [4]) εἰς τὸν οὐρανὸν, καὶ ἀρίθμησον τοὺς ἀστέρας, εἰ δυνήσῃ ἐξαριθμῆσαι αὐτούς. Καὶ εἶπεν αὐτῷ· οὕτως ἔσται τὸ σπέρμα σου·« οὐκ ἔμελλε τὴν ἐλπίδα ἔχων οὕτω γενέσθαι, ὡς οἱ ἐν οὐρανῷ ἀστέρες, προσκυνεῖν ἐκείνους, οἷς ἐκ τοῦ συνιέναι καὶ τηρεῖν τὸν νόμον τοῦ θεοῦ ἐξομοιοῦσθαι ἔμελλε. Καὶ γὰρ λέλεκται πρὸς αὐτούς· »κύριος [5]) ὁ θεὸς ἡμῶν ἐπλήθυνεν ὑμᾶς, καὶ ἰδοὺ, ἐστὲ σήμερον ὡσεὶ τὰ ἄστρα τοῦ οὐρανοῦ τῷ πλήθει.« Καὶ ἐν τῷ Δανιὴλ δὲ προφητεύεται τοιαῦτα περὶ τῶν κατὰ τὴν ἀνάστασιν· »καὶ [6]) ἐν τῷ καιρῷ ἐκείνῳ σωθήσεται ὁ λαός σου πᾶς [7]) ὁ γεγραμμένος ἐν τῇ βίβλῳ. Καὶ πολλοὶ τῶν καθευδόντων ἐν γῆς χώματι ἐξεγερθήσονται, οὗτοι εἰς ζωὴν αἰώνιον, καὶ οὗτοι εἰς ὀνειδισμὸν, καὶ αἰσχύνην αἰώνιον. Καὶ οἱ συνιέντες ἐκλάμψουσιν ὡς ἡ λαμπρότης τοῦ στερεώματος· καὶ ἀπὸ τῶν δικαίων τῶν πολλῶν ὡς οἱ ἀστέρες εἰς τοὺς αἰῶνας, καὶ ἔτι.« Ὅθεν καὶ ὁ Παῦλος λαβὼν ἐν τοῖς περὶ ἀναστάσεώς φησι· »καὶ [8]) σώματα

---

[1]) Vulgatus bibliorum textus habet: Ὑμᾶς δὲ ἔλαβεν ὁ θεὸς, καὶ ἐξήγαγεν ὑμᾶς.

[2]) Ed. Ruaei absque jure in notis: »Forsitan scribendum: σιδηρᾶς, καὶ ἐξ Αἰγύπτου.«

[3]) Cfr. I Petr. II, 9. [4]) Cfr. Gen. XV, 5.

[5]) Cfr. Deut. I, 10. — Vulgatus bibliorum textus habet: κύριος ὁ θεὸς ὑμῶν.

[6]) Cfr. Dan. XII, 1. 2. 3.

[7]) Vulgata biblia graeca: πᾶς εὑρεθεὶς γεγραμμένος.

[8]) Cfr. I Cor. XV, 40. 41. 42.

ἐπουράνια, καὶ σώματα ἐπίγεια· ἀλλ' ἑτέρα μὲν ἡ τῶν ἐπουρανίων δόξα, ἑτέρα δὲ ἡ τῶν ἐπιγείων. Ἄλλη δόξα ἡλίου, καὶ ἄλλη δόξα σελήνης, καὶ ἄλλη δόξα ἀστέρων· ἀστὴρ γὰρ ἀστέρος διαφέρει ἐν δόξῃ. Οὕτω καὶ ἡ ἀνάστασις τῶν νεκρῶν.« Οὐ[1]) τοίνυν ἦν εὔλογον, τοὺς διδαχθέντας μεγαλοφυῶς ὑπεραναβαίνειν πάντα τὰ δημιουργήματα, καὶ ἐλπίζειν τὰ ἄριστα περὶ[2]) αὐτῶν παρὰ τῷ θεῷ ἐπὶ τῷ καλλίστῳ βίῳ· καὶ ἀκούσαντας τό· »ὑμεῖς[3]) ἐστε τὸ φῶς τοῦ κόσμου·« καὶ τό· »λαμψάτω[4]) τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ὑμῶν ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν, τὸν ἐν τοῖς οὐρανοῖς·« ἀσκοῦντας ἔχειν τὴν λαμπρὰν καὶ ἀμάραντον σοφίαν, ἢ[5]) καὶ ἀνειληφότας αὐτὴν οὖσαν ἀπαύγασμα[6]) φωτὸς ἀϊδίου· καταπλαγῆναι τὸ αἰσθητὸν ἡλίου, καὶ σελήνης, καὶ ἄστρων φῶς ἐπὶ τοσοῦτον, ὥστε διὰ τὸ αἰσθητὸν φῶς ἐκείνων νομίσαι ἑαυτοὺς κάτω που εἶναι, ἔχοντας τηλικοῦτον νοητὸν γνώσεως φῶς, καὶ φῶς ἀληθινὸν, καὶ φῶς τοῦ κόσμου, καὶ φῶς τῶν ἀνθρώπων, κἀκείνοις προσκυνῆσαι· οὓς εἰ ἄρα προσκυνεῖσθαι ἐχρῆν, οὐ διὰ τὸ θαυμαζόμενον ὑπὸ τῶν πολλῶν αἰσθητὸν φῶς ἐχρῆν προσκυνεῖσθαι, ἀλλὰ διὰ[7]) τὸ νοητὸν καὶ ἀληθινόν· εἴπερ καὶ οἱ ἐν

---

[1]) Sic recte omnes Codd. Mss. Libri autem editi (v. c. edd. Spenc.) *Οὐ τοίνυν οὖν εὔλογον.*

[2]) Boherell. in notis: »Lege: *περὶ αὐτῶν.*«

[3]) Matth. V, 14. [4]) Cfr. Matth. V, 16.

[5]) Ita Cod. Regius. Alii vero (itemq. edd. Spenc.) *εἰ καί κτλ.* R. — Jam Boherell. in notis: »Lego: *ἢ καί*« *κτλ.* [6]) Cfr. Hebr. I, 3.

[7]) Spencer. in notis: Orig. lib. I. cap. 7. de Principiis: »Stellae vero cum tanto ordine, ac tanta ratione moveantur, ut in nulla prorsus cursus earum aliquando visus sit impeditus: quomodo non est ultra omnem stoliditatem tantum ordinem, tantumque disciplinae rationis observantiam dicere ab irrationabilibus exigi, vel expleri?« Verum in Prooemio libri I. de Principiis videtur aliter

οὐρανῷ ἀστέρες (238) ζῶά εἰσι λογικά, καὶ σπουδαῖα, καὶ ἐφωτίσθησαν τῷ φωτὶ τῆς γνώσεως ὑπὸ τῆς σοφίας, ἥτις ἐστὶν ἀπαύγασμα[1]) φωτὸς ἀϊδίου. Καὶ γὰρ τὸ μὲν αἰσθητὸν φῶς αὐτῶν ἔργον ἐστὶ τοῦ τῶν ὅλων δημιουργοῦ· τὸ δὲ νοητὸν, τάχα καὶ αὐτῶν, καὶ ἐκ τοῦ ἐν αὐτοῖς αὐτεξουσίου ἐλήλυθός.

11. Οὐ χρὴ[2]) δ' οὐδ' αὐτὸ προσκυνεῖσθαι ὑπὸ τοῦ βλέποντος καὶ συνιέντος τὸ ἀληθινὸν φῶς· οὗ[3]) μετοχῇ καὶ ταυτὶ ἄρα πεφώτισται· οὐδ' ὑπὸ τοῦ βλέ-

---

sentire: »De sole autem, et luna, et stellis: utrum animantia sint, an exanima, manifeste non traditur.« Vide etiam Pamphili Martyris Apologetic. pro Origene. Huic dogmati favent cum multis aliis Bodinus (in Theatro naturae), Ricius (de anima coeli), Pythagoras (Laërt. in Pythag.), Tullius (in Timaeo, lib. II. de natura deorum), Stoici apud Tullium (lib. IV. Acad. quaest.), Plato (in Epinom. pag. 982.), Lucilius Stoicus apud Ciceron. (lib. II. de natura deorum), Plato (lib. X. de legibus; in Timaeo pag. 36.). Vide Aristotelem lib. II. cap. 2. de coelo. Eandem opinionem ei Plutarchus adscribit lib. II. cap. 3. de placitis philosophorum. Contrarium statuunt Cyrill. Alexandrin. lib. II. contra Julianum, Lactantius lib. II. cap. 5., Hieronymus ad Avitum, quid »cavendum sit in libris περὶ ἀρχῶν. Solem quoque, et lunam, et astra cetera esse animantia.« — Vide insuper Huetii quaestionem octavam lib. II. Origenianorum.

[1]) Cfr. Hebr. I, 3.

[2]) Edd. Spenc. χρὴ δὲ οὐδ' αὐτό.

[3]) Hoeschel., uncis voc. οὐ appositis, in textu: οὐ οὗ μετοχῇ καὶ ταῦτ' εἰ ἄρα πεφώτισται. Ad marg. vero conjicit legendum, vel: οὗ μετοχῇ καὶ ταυτὶ ἄρα πεφώτισται vel: οὗ μετέχει καὶ ταῦτ' εἰ ἄρα πεφώτισται. R. — Edd. Spenc., uncis voc. οὐ appositis, in textu: οὐ οὗ μετοχῇ καὶ ταυτὶ ἄρα πεφώτισται, ad marg. vero: οὗ μετοχῇ καὶ ταῦτ' εἰ ἄρα πεφώτισται, vel: μετέχει καὶ ταῦτ' εἰ ἄρα πεφώτισται.

ποντος τὸν πατέρα τοῦ ἀληθινοῦ φωτὸς θεὸν, περὶ οὗ καλῶς λέλεκται τό· »ὁ [1]) θεὸς φῶς ἐστι, καὶ σκοτία ἐν αὐτῷ οὐκ ἔστιν οὐδεμία.« Καὶ ὥσπερ οἱ, διὰ τὸ φῶς αἰσθητὸν καὶ οὐράνιον εἶναι, προσκυνοῦντες ἥλιον, καὶ σελήνην, καὶ ἄστρα, οὐκ ἂν προσκυνήσαιεν σπινθῆρα πυρὸς, ἢ λύχνον ἐπὶ γῆς, ὁρῶντες τὴν ἀσύγκριτον ὑπεροχὴν τῶν νομιζομένων ἀξίων προσκυνεῖσθαι παρὰ τὸ τῶν σπινθήρων καὶ τῶν λύχνων φῶς· οὕτως οἱ νοήσαντες, πῶς ὁ θεὸς φῶς [2]) ἐστι· καταλαβόντες δὲ, πῶς ὁ υἱὸς τοῦ θεοῦ »φῶς [3]) ἀληθινόν ἐστιν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον·« συνιέντες δὲ καὶ, πῶς οὗτός φησι τό· »ἐγώ [4]) εἰμι τὸ φῶς τοῦ κόσμου·« οὐκ ἂν εὐλόγως προσκυνήσαιεν τὸν οἱονεὶ βραχὺν σπινθῆρα, ὡς πρὸς φῶς τὸν θεὸν ἀληθινοῦ φωτὸς, ἐν ἡλίῳ, καὶ σελήνῃ, καὶ ἄστροις. Καὶ οὐκ ἀτιμάζοντές γε τὰ τηλικαῦτα τοῦ θεοῦ δημιουργήματα, οὐδ' Ἀναξαγορίως [5]) μύδρον διάπυρον λέγοντες εἶναι τὸν ἥλιον, καὶ σελήνην, καὶ ἀστέρας, τοιαῦτά φαμεν περὶ ἡλίου, καὶ σελήνης, καὶ ἀστέρων· ἀλλ' αἰσθανόμενοί γε τῆς ἀφάτῳ ὑπεροχῇ ὑπερεχούσης θειότητος τοῦ θεοῦ, ἔτι δὲ καὶ τοῦ μονογενοῦς αὐτοῦ ὑπερέχοντος τὰ λοιπά. Πειθόμενοι δὲ καὶ αὐτὸν ἥλιον, καὶ σελήνην, καὶ ἀστέρας εὔχεσθαι [6]) τῷ ἐπὶ πᾶσι θεῷ διὰ τοῦ μονογενοῦς αὐτοῦ, κρίνομεν μὴ δεῖν εὔχεσθαι τοῖς εὐχομένοις· ἐπεὶ καὶ αὐτοὶ ἀναπέμπειν ἡμᾶς βούλονται μᾶλλον ἐπὶ τὸν θεὸν, ᾧ εὔχονται, ἢ [7]) κατάγειν πρὸς ἑαυτούς, ἢ μερί-

---

[1]) I Joann. I, 5. [2]) Cfr. I Joann. I, 5.

[3]) Cfr. ev. Joann. I, 9.

[4]) Ev. Joann. VIII, 12.

[5]) Forte scribendum: Ἀναξαγορείως μύδρον διάπυρον. R. — Vide Philon. περὶ ἀφθαρσίας κόσμου, Laërt. in Anaxagorae vita, Scholiast. Pindar. Od. I. Olymp., Plutarch. de superstit., et Suidam in ἄναξ.

[6]) Vide lib. II. Origenianor. quaest. VIII. num. I.

[7]) Libri editi (v. c. edd. Spenc.) in margine: ἢ κατὰ τὸν πρὸς ἑαυτούς. R.

ζειν ἡμῶν τὴν εὐκτικὴν δύναμιν ἀπὸ τοῦ θεοῦ καὶ πρὸς ἑαυτούς. Χρήσομαι δὲ καὶ τούτῳ περὶ αὐτῶν κατὰ τὸν τόπον παραδείγματι· ὁ [1]) σωτὴρ ἡμῶν καὶ κύριος, ἀκούσας ποτέ· »διδάσκαλε [2]) ἀγαθέ·« ἀναπέμπων τὸν λέγοντα τοῦτο ἐπὶ τὸν ἑαυτοῦ πατέρα, φησί· »τί [3]) με λέγεις ἀγαθόν; Οὐδεὶς ἀγαθὸς, εἰ μὴ εἷς, ὁ θεὸς ὁ πατήρ.« Εἴπερ δὲ τοῦτ' εὐλόγως, ὡς εἰκὼν τῆς ἀγαθότητος τοῦ θεοῦ τυγχάνων, εἴρηκεν ὁ υἱὸς τῆς ἀγάπης τοῦ πατρός· πῶς οὐχὶ εὐλογώτερον ἂν τοῖς προσκυνοῦσιν εἶπεν ἥλιος· τί με προσκυνεῖς; »κύριον [4]) γὰρ τὸν θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις·« ᾧ κἀγὼ καὶ πάντες οἱ σὺν ἐμοὶ προσκυνοῦμεν καὶ λατρεύομεν. Κἂν μὴ τηλικοῦτος δέ τις ᾖ, οὐδὲν ἧττον καὶ ὁ τοιοῦτος εὐχέσθω τῷ λόγῳ τοῦ θεοῦ, δυναμένῳ αὐτὸν ἰάσασθαι· καὶ πολλῷ πλέον τῷ πατρὶ αὐτοῦ, ὃς καὶ τοῖς πρότερον δικαίοις »ἐξαπέστειλε [5]) τὸν λόγον αὐτοῦ, καὶ ἰάσατο αὐτοὺς, καὶ ἐῤῥύσατο (239) αὐτοὺς ἐκ τῶν διαφθορῶν [6]) αὐτῶν.«

12. Θεὸς οὖν κατὰ τὴν χρηστότητα αὐτοῦ οὐ τοπικῶς, ἀλλὰ προνοητικῶς, συγκαταβαίνει τοῖς ἀνθρώποις· καὶ ὁ τοῦ θεοῦ παῖς οὐ τότε μόνον, ἀλλὰ καὶ ἀεὶ μετὰ τῶν ἰδίων μαθητῶν ἐστι, πληρῶν τό· »ἰδοὺ, [7]) ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας, ἕως τῆς συντελείας τοῦ αἰῶνος.« Καὶ εἴπερ κλῆμα [8]) καρπὸν οὐ δύναται φέρειν, ἐὰν [9]) μὴ ἐμμείνῃ τῇ ἀμπέλῳ· δῆλον ὅτι

---

[1]) Vide Origenianor. lib. II. quaest. II. num. XV.
[2]) Cfr. Matth. XIX, 16. coll. Marc. X, 17.
[3]) Cfr. Matth. XIX, 17. coll. Marc. X, 18.
[4]) Cfr. Deut. VI, 13. coll. Matth. IV, 10.
[5]) Cfr. Psalm. CVII, 20. (CVI.)
[6]) Hoeschel. in textu, edd. Spenc. ad marg. διαφορῶν.
[7]) Matth. XXVIII, 20.
[8]) Cfr. ev. Joann. XV, 4—6.
[9]) Hoeschel. in textu, edd. Spenc. ad marg. ἐὰν εἰ μὴ ἐμμείνῃ.

καὶ οἱ τοῦ λόγου μαθηταὶ, τὰ νοητὰ τῆς ἀληθινῆς ἀμπέλου τοῦ λόγου κλήματα, οὐ δύνανται φέρειν τοὺς καρποὺς τῆς ἀρετῆς, ἐὰν μὴ μένωσιν ἐν τῇ ἀληθινῇ ἀμπέλῳ, τῷ [1]) Χριστῷ τοῦ Θεοῦ, καὶ [2]) μεθ' ἡμῶν τοπικῶς κάτω ἐπὶ γῆς τυγχάνοντι, ὃς μετὰ τῶν πανταχοῦ προσπεφυκότων αὐτῷ ὢν, ἤδη δὲ καὶ μετὰ τῶν οὐκ εἰδότων αὐτὸν πανταχοῦ ἐστι. Καὶ τοῦτό γε ὁ τὸ εὐαγγέλιον γράψας Ἰωάννης ἐκ προσώπου τοῦ βαπτιστοῦ Ἰωάννου δηλοῖ, λέγοντος· »μέσος [3]) ὑμῶν ἕστηκεν, ὃν ὑμεῖς οὐκ οἴδατε· αὐτός [4]) ἐστιν ὁ ὀπίσω μου ἐρχόμενος.« Ἄτοπον δ' ἐστὶ, τοῦ πληρώσαντος τὸν οὐρανὸν, καὶ τὴν γῆν, καὶ εἰπόντος· »οὐχὶ [5]) τὸν οὐρανὸν, καὶ τὴν γῆν, ἐγὼ πληρῶ; λέγει κύριος·« ὄντος μεθ' ἡμῶν, καὶ πλησίον ἡμῶν τυγχάνοντος· (πιστεύω γὰρ αὐτῷ λέγοντι· »Θεὸς [6]) ἐγγίζων ἐγώ εἰμι, καὶ οὐ θεὸς πόρρωθεν, λέγει κύριος·«) ζητεῖν εὔχεσθαι τῷ μὴ φθάνοντι ἐπὶ τὰ σύμπαντα ἡλίῳ, ἢ σελήνῃ, ἤ τινι τῶν ἀστέρων. Ἔστω δὲ, ἵνα αὐταῖς ταῖς λέξεσι Κέλσου χρήσωμαι, προφητεύοντας »εἶναι ὑετοὺς, καὶ θάλπη, καὶ νέφη, καὶ βροντὰς, ἥλιον, καὶ σελήνην, καὶ ἀστέρας·« ἆρ' οὖν, εἰ προφητεύουσιν οὗτοι τὰ τηλικαῦτα, οὐχὶ μᾶλλον τῷ θεῷ, ᾧ ὑπουργοῦντες προφητεύουσι, προσκυνητέον, κἀκεῖνον σεπτέον, [7]) ἤπερ τοῖς προφή-

---

[1]) Hoeschel. in textu, edd. Spenc. ad marg. τῷ Χριστῷ τῷ Θεοῦ. — Ruaeus in notis: »An scribendum, ut innuit Guietus: τῷ Χριστῷ τῷ μετὰ τοῦ Θεοῦ καὶ μεθ' ἡμῶν τοπικῶς κάτω ἐπὶ γῆς τυγχάνοντι;«

[2]) Edd. Spenceri: καὶ μεθ' ἡμῶν τῶν τοπικῶς κάτω κτλ.

[3]) Cfr. ev. Joann. I, 26. 27.

[4]) In edd. Spenc. uncis inclusa leguntur verba: αὐτός ἐστιν ὁ. [5]) Cfr. Jerem. XXIII, 24.

[6]) Cfr. Jerem. XXIII, 23.

[7]) In omnibus Mss. et libris editis (v. c. edd. Spenc.) legitur: σκεπτέον, sed in Cod. Joliano punctis notatur litera κ, tanquam delenda, nec dubito, (Boherello duce,)

ταις αὐτοῦ; Προφητευέτωσαν οὖν καὶ ἀστραπὰς, καὶ καρποὺς, καὶ γονὰς ἁπάσας, καὶ πάντα ταμιεύεσθωσαν τὰ τοιαῦτα· ἀλλ' οὐ διὰ τοῦτο προσκυνήσομεν τοὺς προσκυνοῦντας, ὡς οὐδὲ Μωϋσέα, καὶ τοὺς μετ' αὐτὸν ἐκ θεοῦ προφητεύσαντας τὰ κρείττονα ὑετῶν τε καὶ θάλπους, καὶ νεφῶν, καὶ βροντῶν, καὶ ἀστραπῶν, καὶ καρπῶν, καὶ πασῶν γονῶν αἰσθητῶν. Ἀλλὰ κἂν ἔχωσιν ἥλιος, καὶ σελήνη, καὶ ἀστέρες προφητεύειν προφητείας κρείττονας ὑετῶν· οὐδ' οὕτως αὐτοὺς, ἀλλὰ τὸν πατέρα τῶν ἐν αὐτοῖς προφητειῶν, καὶ[1]) τὸν διάκονον αὐτῶν λόγον τοῦ θεοῦ προσκυνήσομεν. Ἀλλ' ἔστω καὶ κήρυκας αὐτοῦ εἶναι, καὶ ἀληθῶς οὐρανίους ἀγγέλους· πῶς οὖν οὐχὶ καὶ οὕτω τὸν κηρυσσόμενον ὑπ' αὐτῶν θεὸν, καὶ τὸν ἀγγελλόμενον μόνον μᾶλλον προσκυνητέον, ἢ τοὺς κήρυκας καὶ τοὺς ἀγγέλους αὐτοῦ;

13. Ἑαυτῷ δὲ λαμβάνει Κέλσος, ὅτι ἥλιον, καὶ σελήνην, καὶ ἀστέρας ἡγούμεθα εἶναι τὸ μηδέν. Περὶ[2]) ὧν ὁμολογοῦμεν, ὅτι καὶ αὐτοὶ τὴν ἀποκάλυψιν[3]) τῶν

---

quin scribendum sit: *σεπτέον*, a *σέβομαι*. Vide Henr. Stephani thesaurum linguae graecae in voc. *σεπτός*. Cod. Reg. loco *σεπτέον* habet: *ὑμνητέον*. R.

[1]) An scribendum: *καὶ τὸν διάκονον αὐτοῦ λόγον προσκυνήσομεν;* Guieto locus interpretatus fuisse videtur a posterioribus Origene Christianis, qui *αὐτοῦ* in *αὐτῶν* mutarunt, et post voc. *λόγον* addiderunt: *τοῦ θεοῦ*. Quidquid est, voce *διάκονον* offensum fuisse posteriorum Christianorum vulgus, indicat scholion, quod in margine libror. editorum (v. c. edd. Spencer.) et Cod. Anglicani primi legitur: *Μὴ λέγε διάκονον· ὁ γὰρ τοῦ πατρὸς λόγος αὐθέντης τῶν ἑαυτοῦ ἔργων, ἀλλ' οὐ διάκονος. Ἡ γὰρ σημασία αὕτη τάξις δουλική, ἀλλ' οὐκ αὐθεντική.* Vide quaestionem secundam lib. II. Origenianorum num. XIII. R.

[2]) Vide insuper Huetii quaestionem octavam lib. II. Origenianorum.

[3]) Cfr. Rom. VIII, 19. 20. 21.

υἱῶν τοῦ θεοῦ ἀπεκδέχονται, τῇ τῶν ὑλικῶν σωμάτων ματαιότητι ἐπὶ τοῦ παρόντος ὑποτεταγμένοι, διὰ τὸν ἐπ' ἐλπίδι ὑποτάξαντα. Εἰ δ' ἀνεγνώκει ὁ Κέλσος καὶ ἄλλα μὲν μυρία, ὅσα περὶ (240) ἡλίου, καὶ σελήνης, καὶ ἄστρων φαμὲν, καὶ τό· »αἰνεῖτε[1]) αὐτὸν πάντα τὰ ἄστρα, καὶ τὸ φῶς·« καὶ τό· »αἰνεῖτε[2]) αὐτὸν οἱ οὐρανοὶ τῶν οὐρανῶν·« οὐκ ἂν περὶ ἡμῶν ἀπεφήνατο, ὅτι λέγομεν τὰ τηλικαῦτα, αἰνοῦντα μεγάλως τὸν θεὸν, εἶναι τὸ μηδέν. Οὐκ οἶδε δὲ ὁ Κέλσος οὐδὲ τό· »ἡ[3]) γὰρ ἀποκαραδοκία τῆς κτίσεως τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ θεοῦ ἀπεκδέχεται. Τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη, οὐχ ἑκοῦσα, ἀλλὰ διὰ τὸν ὑποτάξαντα, ἐπ' ἐλπίδι, ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ θεοῦ.« Καὶ ἐν τούτοις δὴ τέλος ἐχέτω ἡ περὶ τοῦ μὴ σέβειν ἡμᾶς ἥλιον, καὶ σελήνην, καὶ ἀστέρας ἀπολογία. Ἐκθώμεθα δὲ καὶ τὴν ἑξῆς λέξιν, ἵνα μετὰ τοῦτο πρὸς αὐτὸν, θεοῦ διδόντος, εἴπωμεν τὰ ἀπὸ τοῦ τῆς ἀληθείας φωτὸς δοθησόμενα ἡμῖν.

14. Λέγει οὖν ταῦτα· »Ἥλιόν δ' αὐτῶν καὶ τὸ νομίζειν, ἐπειδὰν ὁ θεὸς ὥσπερ μάγειρος ἐπενέγκῃ τὸ πῦρ, τὸ μὲν ἄλλο πᾶν ἐξοπτηθήσεσθαι γένος· αὐτοὺς δὲ μόνους διαμενεῖν, οὐ μόνον τοὺς ζῶντας, ἀλλὰ καὶ τοὺς πάλαι ποτὲ ἀποθανόντας αὐταῖς σαρξὶν ἐκείναις ἀπὸ τῆς γῆς ἀναδύντας, ἀτεχνῶς σκωλήκων ἡ ἐλπίς. Ποία γὰρ ἀνθρώπου ψυχὴ ποθήσειεν ἔτι σῶμα σεσηπός; Ὁπότε μηδ' ὑμῶν[4]) τοῦτο τὸ δόγμα καὶ τῶν Χρι-

---

[1]) Boherellus, quem Ruaeus sequitur, in notis: »Supplendum quod ante haec verba deest: αἰνεῖτε αὐτὸν ἥλιος καὶ σελήνη.« — Psalm. CXLVIII, 3.

[2]) Psalm. CXLVIII, 4.

[3]) Cfr. Rom. VIII, 19. 20. 21.

[4]) Hoeschel. in textu (edd. Spenc. ad marg.): ἡμῶν, sicque Codd. Reg. et Basileensis. R. — Cfr. pag. 188, notis 2.

στιανῶν ἐνίοις κοινόν ἐστι· καὶ[1]) τὸ σφόδρα μιαρὸν αὐτοῦ καὶ ἀπόπτυστον ἅμα καὶ ἀδύνατον ἀποφαίνουσι·[2]) ποῖον γὰρ σῶμα πάντη διαφθαρὲν οἷόν τε ἐπανελθεῖν εἰς τὴν ἐξ ἀρχῆς φύσιν, καὶ αὐτὴν ἐκείνην, ἐξ ἧς ἐλύθη, τὴν πρώτην σύστασιν; Οὐδὲν ἔχοντες ἀποκρίνασθαι, καταφεύγουσιν εἰς ἀτοπωτάτην ἀναχώρησιν, ὅτι πᾶν δυνατὸν τῷ θεῷ. Ἀλλ' οὔτι γε τὰ αἰσχρὰ ὁ θεὸς δύναται, οὐδὲ τὰ παρὰ φύσιν βούλεται· οὐδ', ἂν σύ τι ἐπιθυμήσῃς κατὰ τὴν σαυτοῦ μοχθηρίαν βδελυρὸν, ὁ θεὸς τοῦτο δυνήσεται, καὶ χρὴ πιστεύειν εὐθὺς, ὅτι ἔσται. Οὐ γὰρ τῆς πλημμελοῦς ὀρέξεως, οὐδὲ τῆς πεπλανημένης ἀκοσμίας, ἀλλὰ τῆς ὀρθῆς καὶ δικαίας φύσεως θεός ἐστιν ἀρχηγέτης. Καὶ ψυχῆς[3]) μὲν αἰώνιον βιοτὴν δύναιτ' ἂν παρασχεῖν· νέκυες δὲ, φησὶν Ἡράκλειτος,[4]) κοπρίων ἐκβλητότεροι. Σάρκα δή, μεστὴν ὧν οὐδὲ εἰπεῖν καλὸν, αἰώνιον ἀποφῆναι[5]) παρὰ λόγον, οὔτε βουλήσεται ὁ θεὸς, οὔτε δυνήσεται. Αὐτὸς γάρ ἐστιν ὁ πάντων τῶν ὄντων λόγος· οὐδὲν οὖν οἷός τε παρὰ[6]) λόγον, οὐδὲ παρ' ἑαυτὸν ἐργάσασθαι.«

15. Ὅρα δὴ ἐντεῦθεν ἀπ' ἀρχῆς πῶς τὴν καὶ παρ'

---

[1]) Boherell. in notis: »Malim: οὗ τὸ σφόδρα« κτλ.

[2]) Codd. Reg. et Basileensis: ἀποφαίνει. Hoeschel. in textu (edd. Spenc. ad marg.): ἀποφαίνεις. Sunt qui hoc loco sequi malint lectionem Codd. Reg. et Basileensis, ita ut haec non putent esse Celso tribuenda, sed ab ipso Origene Celsi verbis interjecta. Quam ob rem supra pro: ὁπότε μηδ' ὑμῶν, legunt: ὁπότε μηδ' ἡμῶν. R. — Cfr. pag. 187. not. 4.

[3]) Boherell. in notis: »Malim: ψυχῇ. Sic tamen et libri hujus num. 24.

[4]) Vide Suidam in voc. Ἡράκλειτος, ὄνομα κύριον.

[5]) Edd. Spenceri: ἀποφῆναι παραλόγως.

[6]) Libri editi (v. c. edd. Spenc.) una voce: παράλογον. R. — Jam Boherell. in notis: »Malim: παρὰ λόγον, sicut et libri huj. num. 24. in fine.«

Ἑλλήνων τισὶν οὐκ εὐκαταφρονήτως φιλοσοφήσασιν εἰσαγομένην τοῦ κόσμου ἐκπύρωσιν μετὰ χλεύης διαβάλλων, θέλει ἡμᾶς, ὥσπερεὶ »μάγειρον ποιοῦντας τὸν θεὸν, εἰσάγειν τὰ περὶ τῆς ἐκπυρώσεως·« οὐ συνιδὼν, ὅτι, ὥσπερ Ἑλλήνων τισὶν ἔδοξε·[1]) (τάχα παρὰ τοῦ ἀρχαιοτάτου ἔθνους Ἑβραίων λαβοῦσι·) τὸ πῦρ[2]) καθάρσιον ἐπάγεται τῷ κόσμῳ· εἰκὸς δ' ὅτι (241) καὶ ἑκάστῳ τῶν δεομένων τῆς διὰ τοῦ πυρὸς δίκης ἅμα καὶ ἰατρείας· καίοντος μὲν καὶ οὐ κατακαίοντος τοὺς μὴ ἔχοντας ὕλην δεομένην ἀναλοῦσθαι ὑπ' ἐκείνου τοῦ πυρός· καίοντος δὲ καὶ κατακαίοντος τοὺς ἐν τῇ διὰ τῶν πράξεων, καὶ λόγων, καὶ νοημάτων τροπικῶς λεγομένῃ οἰκοδομῇ ξύλα,[3]) χόρτον, ἢ καλάμην οἰκοδομήσαντας. Φασὶ δ' οἱ θεῖοι λόγοι τὸν κύριον, ὡς πῦρ[4]) χωνευτηρίου, καὶ ὡς πόαν πλυνόντων, ἑκάστῳ τῶν δεομένων ἐπιδημήσειν, διὰ τὸ ἀναμεμίχθαι οἱονεὶ φαύλην χυτὴν ὕλην τὴν ἀπὸ τῆς κακίας, δεομένων[5]) δὲ λέγω πυρὸς, οἱονεὶ χωνεύοντος τοὺς ἀναμεμιγμένους χαλκῷ, καὶ κασσιτέρῳ, καὶ μολίβδῳ. Καὶ ταῦτα τὸν βουλόμενόν ἐστιν ἀπὸ τοῦ προφήτου Ἰεζεκιὴλ[6]) μαθεῖν. Ὅτι[7]) δὲ, οὐχ ὡς μάγειρον, φαμὲν τὸ πῦρ ἐπιφέρειν τὸν θεὸν, ἀλλ' ὡς θεὸν εὐεργέτην τῶν χρηζόντων πόνου καὶ πυρὸς, μαρτυρήσει καὶ ὁ προφήτης Ἡσαΐας, ἐν ᾧ γέγραπται λελέχθαι πρός τι ἔθνος ἁμαρτωλόν· »ὅτι[8]) ἔχεις ἄνθρακας πυρός, καθίσαι ἐπ' αὐτοῖς· οὗτοι ἔσονταί σοι

---

[1]) Edd. Spenc. ἔνδοξε. Jam Boherell. vero in notis: »Lege: ἔδοξε.

[2]) Vide lib. IV. contra Cels. num. 12. et 13.

[3]) Cfr. I Cor. III, 12. [4]) Cfr. Malach. III, 2.

[5]) Ita habent Codd. Reg. et Basileensis. Hoeschel. autem (itemq. edd. Spenc. ad marg.): *δεομένῳ δὲ λόγῳ*. R. — Edd. Spenc. in textu: *δεομένην δὲ λόγῳ*.

[6]) Cfr. Ezech. XXII, 18. 20.

[7]) Libri editi (v. c. edd. Spenc.) ad oram: *Οὕτω δέ*. R. [8]) Cfr. Jesai. XLVII, 14. 15.

βοήθεια.« Οἰκονομούμενος δ' ὁ[1]) λόγος ἁρμοζόντως πλήθεσιν ἐντευξομένοις τῇ γραφῇ, ἐπικεκρυμμένως μετὰ σοφίας λέγει τὰ σκυθρωπὰ, εἰς φόβον τῶν μὴ δυναμένων ἄλλως ἐπιστρέψειν ἀπὸ τῆς χύσεως[2]) τῶν ἁμαρτημάτων· πλὴν καὶ οὕτως ὁ τηρῶν εὑρήσει ἐμφαινόμενον τὸ ἀπὸ τῶν σκυθρωπῶν καὶ ἐπιπόνων ἐπαγόμενον τοῖς ἀλγοῦσι τέλος. Ἀρκεῖ δ' ἐπὶ τοῦ παρόντος παραθέσθαι ἀπὸ τοῦ Ἡσαΐου τό· »ἕνεκεν[3]) τοῦ ἐμοῦ ὀνόματος δείξω σοι θυμόν μου, καὶ τὰ ἔνδοξά μου ἐπάξω ἐπὶ σὲ, ἵνα μὴ ἐξολοθρεύσω σε.« Ἠναγκάσθημεν δὴ τὰ μὴ[4]) ἁρμόζοντα τοῖς ἁπλούστερον πιστεύουσι, καὶ δεομένοις τῆς ἁπλουστέρας ἐν λόγοις οἰκονομίας ἀνίξασθαι,[5]) ἵνα μὴ δοκῶμεν ἀνεξέλεγκτον ἐᾶν τὴν τοῦ Κέλσου κατηγορίαν, λέγοντος· »ἐπειδὰν ὁ θεὸς ὥσπερ μάγειρος ἐπενέγκῃ τὸ πῦρ.«

16. Ἐκ δὲ τῶν εἰρημένων τοῖς[6]) συνετώτερον ἀκούουσι δῆλον, πῶς ἀπαντητέον καὶ πρὸς τό· »τὸ μὲν ἄλλο πᾶν ἐξοπτηθήσεσθαι γένος, αὐτοὺς δὲ μόνους διαμενεῖν.« Οὐ θαυμαστὸν δ', εἰ ταῦτα[7]) νενόηκε[8]) τὰ[9])

---

[1]) Ita Codd. Reg. et Basileensis; at Spencer. (in textu): ὁ λόγος ἁρμόζοντα. Non male. Pessime vero Hoeschel. in textu (edd. Spenc. ad marg.) ὅλως ἁρμόζοντα.

[2]) Libri editi (v. c. edd. Spenc.) ad oram: συγχύσεως. R. [3]) Cfr. Jesai. XLVIII, 9.

[4]) In edd. Spenc. uncis inclusum legitur μή.

[5]) Codd. Regius, Basileensis, et duo Anglicani (itemq. edd. Spenc. ad marg.) αἰνίξασθαι. Libri impressi (v. c. edd. Spenc.) in textu habent: ἐνδείξασθαι. R.

[6]) Cfr. pag. huj. not. 8.

[7]) Libri impressi (v. c. edd. Spenc.) ad oram: τοιαῦτα. R.

[8]) Boherell. in notis: »Hoc de Celso intellexit interpres. Sed refer, ut et sequens ὑπείληφε, ad τὰ ἐν ἡμῖν μωρά, opposita τοῖς συνετώτερον ἀκούουσι. Vide sequentia verba: Οὕτως οἷς ὠνόμασεν ὁ λόγος μωροῖς« κτλ.

[9]) Cfr. I Cor. I, 27. 28. — Cfr. pag. huj. not. 8.

ἐν ἡμῖν ὑπὸ τοῦ λόγου μωρὰ τοῦ κόσμου ὀνομαζόμενα, καὶ ἀγενῆ,[1]) καὶ ἐξουδενημένα,[2]) καὶ μὴ ὄντα· ἅτε[3]) »διὰ τῆς μωρίας τοῦ κηρύγματος εὐδόκησεν ὁ θεὸς σῶσαι τοὺς πιστεύοντας αὐτῷ, ἐπεὶ μὴ ἐν τῇ σοφίᾳ τοῦ θεοῦ ἔγνω ὁ κόσμος διὰ τῆς σοφίας τὸν θεόν·« οὐ[4]) δυνάμενα διαρθρῶσαι τὰ κατὰ τοὺς τόπους, οὐδὲ βουληθέντα[5]) σχολάσαι τῇ ἐρεύνῃ τῆς γραφῆς· καί τοί γε τοῦ Ἰησοῦ λέγοντος· »ἐρευνᾶτε[6]) τὰς γραφάς.« Καὶ τοιαῦτα ὑπείληφε[7]) περὶ τοῦ ἐπαγομένου πυρὸς ὑπὸ τοῦ θεοῦ, καὶ περὶ τῶν συμβησομένων τοῖς ἁμαρτήσασι.[8]) Καὶ τάχα ὥσπερ τοῖς παισὶν ἁρμόζει τινὰ λέγεσθαι κατάλληλα τῇ νηπιότητι αὐτῶν, πρὸς τὸ, ὡς παῖδας κομιδῇ νηπίους, ἐπιστρέφειν αὐτοὺς ἐπὶ τὸ βέλτιον· οὕτως[9]) οἷς (242) ὠνόμασεν ὁ λόγος μωροῖς[10]) τοῦ κόσμου, καὶ ἀγενέσι,[11]) καὶ ἐξουδενωμένοις, ἡ πρόχειρος ἁρμόζει περὶ τῶν κολάσεων ἐκδοχή, οὐ χωροῦσιν ἄλλην, ἢ τὴν διὰ φόβου καὶ φαντασίας τῶν κολάσεων ἐπιστροφήν, καὶ τῶν πολλῶν κακῶν ἀποχήν.

---

[1]) Edd. Spenc. et Ruaei: ἀγεννῆ.

[2]) Hoeschel. in textu, edd. Spenc. ad marg. ἐξουδενωμένα.

[3]) Hoeschel. in textu (edd. Spenc. ad marg.) ἅτινα διὰ τῆς μωρίας, sicque magna pars Mss. Quid si legatur: οἷς διὰ τῆς μωρίας; R. — Cfr. I Cor. I, 21.

[4]) Boherell. in notis: »Lege: οὐ δυνάμενα, in plurali, ut est sequens: βουληθέντα, quae ad τὰ μωρά referenda sunt. Qui ad Celsum putarunt pertinere, ut putavit interpres, qui hic nihil vidit, τὸ δυνάμενα mutarunt in δυνάμενον, ut cum τῷ βουληθέντα conveniret, quod in singulari esse existimarunt. Male. Deberet enim esse in recto.« [5]) Cfr. pag. huj. not. 4.

[6]) Ev. Joann. V, 39. [7]) Cfr. pag. 190. not. 8.

[8]) Libri editi (v. c. edd. Spenc.) in margine: ἁμαρτήμασι. R. [9]) Cfr. pag. 190. not. 8.

[10]) Cfr. I Cor. I, 27. 28.

[11]) Edd. Spenc. et Ruaei: ἀγεννέσι.

Ὁ λόγος οὖν μόνους μὲν ἀγεύστους τοῦ πυρὸς καὶ τῶν κολάσεών φησι διαμενεῖν,[1]) τοὺς τὰ δόγματα, καὶ τὰ ἤθη, καὶ τὸ ἡγεμονικὸν ἄκρως κεκαθαρμένους· τοὺς δὲ μὴ τοιούτους, κατὰ τὴν ἀξίαν χρήζοντας τῆς διὰ πυρὸς κολάσεως οἰκονομίας ἐν τούτοις ἐπί[2]) τινι τέλει φησὶν ἔσεσθαι, ὃ τῷ θεῷ ἁρμόζει ἐπάγειν τοῖς κατ' εἰκόνα αὐτοῦ πεποιημένοις, καὶ παρὰ τὸ βούλημα τῆς κατ' εἰκόνα φύσεως βεβιωκόσι. Καὶ ταῦτα δὲ πρὸς τό· »τὸ μὲν ἄλλο πᾶν ἐξοπτηθήσεσθαι γένος, αὐτοὺς δὲ μόνους διαμενεῖν.«

17. Εἶτα τούτοις ἑξῆς παρακούσας ἤτοι τῶν ἱερῶν γραμμάτων, ἢ τῶν μὴ νενοηκότων τὰ ἱερὰ γράμματα, φησίν· »ὑφ' ἡμῶν λέγεσθαι μόνους διαμενεῖν[3]) κατὰ τὸν καιρὸν τοῦ ἐπαχθησομένου τῷ κόσμῳ διὰ πυρὸς καθαρσίου, οὐ μόνον τοὺς ζῶντας τότε, ἀλλὰ καὶ τοὺς πάλαι ποτὲ ἀποθανόντας·« οὐχ ὑπολαβών, μετά[4]) τινος ἀποῤῥήτου σοφίας λελέχθαι παρὰ τῷ ἀποστόλῳ τοῦ Ἰησοῦ τό· »οὐ[5]) πάντες κοιμηθησόμεθα, πάντες δὲ ἀλλαγησόμεθα, ἐν ἀτόμῳ, ἐν ῥιπῇ ὀφθαλμοῦ, ἐν τῇ ἐσχάτῃ σάλπιγγι· σαλπίσει γὰρ, καὶ οἱ νεκροὶ ἐγερθήσονται ἄφθαρτοι, καὶ ἡμεῖς ἀλλαγησόμεθα.« Ἐχρῆν δ' αὐτὸν ἐπιστῆσαι, τί νοήσας ὁ λέγων ταῦτα, ὡς οὐδαμῶς νεκρὸς ὤν,[6]) χωρίσας ἑαυτὸν ἀπ' ἐκείνων, καὶ τοὺς παραπλησίους ἑαυτῷ, ἔλεγε μετὰ τό· »καὶ[7]) οἱ νεκροὶ

---

[1]) Edd. Spenc. διαμένειν. Jam Boherell. vero in notis: »Lege: διαμενεῖν.«

[2]) Vide lib. IV. contra Celsum num. 10.

[3]) Edd. Spenc. διαμένειν. Jam Boherell. vero in notis: »Lege: διαμενεῖν.«

[4]) Libri editi (v. c. edd. Spenc.) μετά τινος ἀπορίας, sed lectio, quam sequimur, reperitur in Codd. Reg. et Basil., et agnoscitur ab interprete Gelenio. R.

[5]) Cfr. I Cor. XV, 51. 52.

[6]) Vocula ὤν, quae exstat in Codd. Reg. et Basil., desideratur in impressis (v. c. edd. Spenc.) R.

[7]) I Cor. XV, 52.

ἐγερθήσονται ἄφθαρτοι· « »καὶ [1]) ἡμεῖς ἀλλαγησόμεθα.« Εἰς δὲ βεβαίωσιν τοῦ τοιαῦτά τινα νενοηκότα τὸν ἀπόστολον γεγραφέναι, ἃ παρεθέμην ἐκ τῆς πρὸς Κορινθίους προτέρας, παραθήσομαι καὶ τὰ ἐκ τῆς πρὸς Θεσσαλονικεῖς προτέρας, ἐν ᾗ φησιν ὁ Παῦλος, ὡς ζῶν, καὶ ἐγρηγορὼς, καὶ ἕτερος ὢν τῶν κοιμηθέντων, τοιαῦτα· »τοῦτο [2]) γὰρ ὑμῖν λέγομεν ἐν λόγῳ κυρίου, ὅτι ἡμεῖς, οἱ ζῶντες, οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν τοῦ κυρίου, οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας· ὅτι αὐτὸς ὁ κύριος ἐν κελεύσματι, ἐν φωνῇ ἀρχαγγέλου, καὶ ἐν σάλπιγγι θεοῦ καταβήσεται ἀπ᾽ οὐρανοῦ.« Εἶτα πάλιν ἑξῆς τούτοις ἄλλους ἐπιστάμενος τοὺς ἐν Χριστῷ νεκροὺς παρ᾽ ἑαυτὸν, καὶ τοὺς παραπλησίους αὐτῷ, ἐπιφέρει λέγων· »οἱ [3]) νεκροὶ ἐν Χριστῷ, ἀναστήσονται πρῶτον· ἔπειτα ἡμεῖς οἱ ζῶντες, οἱ περιλειπόμενοι, ἅμα σὺν αὐτοῖς ἁρπαγησόμεθα ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ κυρίου εἰς ἀέρα.«

18. Ἐπεὶ δ᾽ ἐπὶ πλέον κεκωμῴδηκε τὴν κεκηρυγμένην μὲν τῆς σαρκὸς ἀνάστασιν ἐν ταῖς ἐκκλησίαις, ὑπὸ δὲ τῶν συνετωτέρων τρανότερον νενοημένην, καὶ οὐ χρὴ αὖθις ἐκτίθεσθαι τὴν λέξιν αὐτοῦ ἅπαξ προειρημένην· φέρε, καὶ περὶ τοῦ προβλήματος τούτου, (ὡς ἐν τῇ πρὸς ἀλλότριον τῆς πίστεως (243) ἀπολογίᾳ γραφομένῃ, διὰ τοὺς ἔτι »νηπίους, [4]) καὶ κλυδωνιζομένους, καὶ περιφερομένους παντὶ ἀνέμῳ διδασκαλίας, ἐν τῇ κυβείᾳ τῶν ἀνθρώπων, ἐν [5]) πανουργίᾳ πρὸς τὴν μεθοδίαν [6]) τῆς πλάνης,«) ὀλίγα ἐστοχασμένως τῶν ἐντευ-

---

[1]) I Cor. XV, 52.

[2]) Cfr. I Thessal. IV, 15. 16.

[3]) Cfr. I Thess. IV, 16. 17.

[4]) Cfr. Ephes. IV, 14.

[5]) Verba: ἐν πανουργίᾳ desiderantur in omnibus Mss., et uncinulis in libris editis (v. c. edd. Spenc.) includuntur. R. [6]) Sic edd. Spenc. et Ruaei.

ξομένων, κατὰ τὸ δυνατὸν ἡμῖν, ἐκθώμεθα καὶ παραστήσωμεν. Οὔτε μὲν οὖν ἡμεῖς, οὔτε τὰ θεῖα γράμματα αὐταῖς φησι σαρξὶ, μηδεμίαν μεταβολὴν ἀνειληφυίαις τὴν ἐπὶ τὸ βέλτιον, ζήσεσθαι »τοὺς πάλαι ἀποθανόντας, ἀπὸ τῆς γῆς ἀναδύντας·« ὁ δὲ Κέλσος συκοφαντεῖ ἡμᾶς, ταῦτα λέγων. Ἀκούομεν γὰρ καὶ πολλῶν γραφῶν περὶ ἀναστάσεως ἀξίως θεοῦ λεγουσῶν· ἀρκεῖ δ' ἐπὶ τοῦ παρόντος τὴν Παύλου παραθέσθαι ἀπὸ τῆς πρὸς Κορινθίους προτέρας λέξιν, φάσκοντος· »Ἀλλὰ [1]) ἐρεῖ τις· πῶς ἐγείρονται οἱ νεκροί; ποίῳ δὲ σώματι ἔρχονται; Ἄφρον! σὺ ὃ σπείρεις οὐ ζωοποιεῖται, ἐὰν μὴ ἀποθάνῃ. Καὶ ὃ σπείρεις, οὐ τὸ σῶμα τὸ γενησόμενον σπείρεις, ἀλλὰ γυμνὸν κόκκον, εἰ τύχοι, σίτου, ἢ τινος τῶν λοιπῶν. Ὁ δὲ θεὸς δίδωσιν αὐτῷ σῶμα, καθὼς ἠθέλησε, καὶ ἑκάστῳ τῶν σπερμάτων τὸ [2]) ἴδιον σῶμα.« Ὅρα γὰρ τίνα τρόπον ἐν τούτοις οὐ τὸ γενησόμενον σῶμά φησι σπείρεσθαι· ἀλλ' ἀπὸ τοῦ σπειρομένου καὶ γυμνοῦ βαλλομένου ἐπὶ τὴν γῆν λέγει, διδόντος τοῦ θεοῦ ἑκάστῳ τῶν σπερμάτων ἴδιον σῶμα, οἱονεὶ ἀνάστασιν γίγνεσθαι· ἀπὸ τοῦ καταβεβλημένου σπέρματος, ἐγειρομένου στάχυος ἐν τοῖς τοιοῖσδε· οἱονεὶ ἐν νάπυϊ, ἢ ἐπὶ μείζονος δένδρου ἐν ἐλαίας πυρῆνι, [3]) ἢ τινι τῶν ἀκροδρύων.

19. Ὁ θεὸς [4]) οὖν δίδωσιν ἑκάστῳ σῶμα, καθὼς ἠθέλησεν, ὥσπερ ἐπὶ τῶν σπειρομένων, οὕτω καὶ ἐπὶ τῶν οἱονεὶ σπειρομένων ἐν τῷ ἀποθνήσκειν, καὶ καιρῷ ἐπιτηδείῳ ἀναλαμβανόντων ἐκ τῶν σπειρομένων τὸ περιτιθέμενον ἑκάστῳ κατὰ τὴν ἀξίαν σῶμα ὑπὸ τοῦ θεοῦ. Ἀκούομεν δὲ καὶ τοῦ διὰ πλειόνων διδάσκοντος

---

[1]) Cfr. I Cor. XV, 35. 36. 37. 38. — Edd. Spenc. Ἀλλ' ἐρεῖ τις.

[2]) In edd. Spenc. uncis inclusum legitur: τό.

[3]) Libri editi (v. c. edd. Spenc.) in margine: πυρίνῃ. R.

[4]) Cfr. I Cor. XV, 38.

λόγου τὴν διαφορὰν τοῦ οἱονεὶ σπειρομένου πρὸς τὸ ὡσπερεὶ ἐγειρόμενον ἀπ' αὐτοῦ, καὶ λέγοντος· »σπείρεται[1]) ἐν φθορᾷ, ἐγείρεται ἐν ἀφθαρσίᾳ· σπείρεται ἐν ἀτιμίᾳ, ἐγείρεται ἐν δόξῃ· σπείρεται ἐν ἀσθενείᾳ, ἐγείρεται ἐν δυνάμει· σπείρεται σῶμα ψυχικὸν, ἐγείρεται σῶμα πνευματικόν.« Ὁ δὲ δυνάμενος ἔτι καταλαμβανέτω, τί νενόηται τῷ λέγοντι· »οἷος[2]) ὁ χοϊκὸς, τοιοῦτοι καὶ οἱ χοϊκοί· καὶ οἷος ὁ ἐπουράνιος, τοιοῦτοι καὶ οἱ ἐπουράνιοι. Καὶ καθὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, οὕτω φορέσωμεν[3]) καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου.« Καί τοι δὲ βουλόμενος κρύπτειν ὁ ἀπόστολος τὰ κατὰ τὸν τόπον ἀπόῤῥητα, καὶ μὴ ἁρμόζοντα τοῖς ἁπλουστέροις καὶ τῇ πανδήμῳ ἀκοῇ τῶν διὰ τοῦ πιστεύειν ἀγομένων ἐπὶ τὸ βέλτιον· ὅμως ἠναγκάσθη ὕστερον, ὑπὲρ τοῦ μὴ παρακοῦσαι ἡμᾶς τῶν λόγων αὐτοῦ, εἰπεῖν μετὰ τό· »φορέσωμεν[4]) τὴν εἰκόνα τοῦ ἐπουρανίου·« τό· »τοῦτο[5]) δέ φημι, ἀδελφοὶ, ὅτι σὰρξ καὶ αἷμα βασιλείαν θεοῦ κληρονομῆσαι οὐ δύνανται,[6]) οὐδ' ἡ φθορὰ τὴν ἀφθαρσίαν κληρονομεῖ.« Εἶτ' ἐπιστάμενος ἀπόῤῥητόν τι καὶ μυστικὸν (244) κατὰ τὸν τόπον, ὡς ἔπρεπε διὰ γραμμάτων καταλιπόντι τοῖς μετ' αὐτὸν τὰ νενοημένα ῥήματα,[7]) ἐπιφέρει καὶ λέ-

---

[1]) 1 Cor. XV, 42. 43. 44.

[2]) Cfr. 1 Cor. XV, 48. 49.

[3]) Sic omnes Codd. Mss. Libri impressi (v. c. edd. Spenc.) φορέσομεν. R. — Cfr. pag. huj. not. 4.

[4]) Sic omnes Codd. Mss. Libri impressi (v. c. edd. Spenc.) φορέσομεν. R. — Cfr. 1 Cor. XV, 49. coll. pag. huj. not. 3.

[5]) Cfr. 1 Cor. XV, 50.

[6]) Libri editi (v. c. edd. Spenc.) in margine: δύναται. R.

[7]) Loco: ῥήματα, Hoeschel. in textu (edd. Spenc. ad marg.): εἰρημένα. In Codd. Regio et Basil. neque ῥήματα, neque εἰρημένα reperias. R.

γει· »ἰδοὺ,[1]) μυστήριον ὑμῖν λέγω·« [2]) ὅ, τί περ ἔθος ἐστὶν ἐπιφέρεσθαι τοῖς βαθυτέροις καὶ μυστικωτέροις, καὶ καθηκόντως ἀπὸ τῶν πολλῶν κρυπτομένοις· ὥσπερ[3]) καὶ ἐν τῷ Τωβὴτ γέγραπται· »μυστήριον[4]) βασιλέως καλὸν ἐστι κρύπτειν·« πρὸς δὲ τὸ ἔνδοξον καὶ ἁρμόζον τοῖς πολλοῖς μετὰ τοῦ οἰκονομικῶς ἀληθῶς τὰ ἔργα τοῦ θεοῦ ἀνακαλύπτειν[5]) ἐνδόξως, καλόν. Οὐ »σκωλήκων οὖν ἡ ἐλπὶς ἡμῶν, οὐδὲ ποθεῖ ἡμῶν ἡ ψυχὴ τὸ σεσηπὸς σῶμα·« ἀλλὰ, κἂν θέηται σώματος διὰ τὰς τοπικὰς μεταβάσεις, νοεῖ ἡ μεμελετηκυῖα τὴν σοφίαν κατὰ τό· »στόμα[6]) δικαίου μελετήσει σοφίαν·« διαφορὰν ἐπιγείου οἰκίας, ἐν ᾗ ἐστι τὸ σκῆνος[7]) καταλυομένης, καὶ σκήνους, ἐν ᾧ οἱ ὄντες δίκαιοι στενάζουσι,[8]) βαρούμενοι, μὴ θέλοντες τὸ σκῆνος ἀπεκδύσασθαι, ἀλλὰ τῷ σκήνει ἐπενδύσασθαι, ἵν' ἐκ τοῦ ἐπενδύσασθαι καταποθῇ τὸ θνητὸν ὑπὸ τῆς ζωῆς. Δεῖ γὰρ τῷ πᾶσαν φύσιν σώματος εἶναι φθαρτὴν, τὸ φθαρτὸν[9]) τοῦτο σκῆνος ἐνδύσασθαι ἀφθαρσίαν· καὶ τὸ ἕτερον αὐτοῦ, τυγχάνον θνητὸν,[10]) καὶ δεκτικὸν τοῦ ἐπακολουθοῦν-

---

[1]) I Cor. XV, 51.

[2]) Ed. Ruaei in textu: λέγω· ὅτι περ ἔθος κτλ., in notis: »Sic optime Cod. Vaticanus. Male libri editi: λέγω· ὅτι παρ' ἔθος.« — Edd. Spenc. in textu: λέγω· ὅ, τι παρ' ἔθος. Jam Boherell. vero in notis: »Lego: λέγω· ὅ, τί περ ἔθος.«

[3]) Libri impressi (v. c. edd. Spenc.) in textu habent: ὡς γὰρ καί, in marg. vero: ὥσπερ καί, quod sequimur. R. [4]) Tob. XII, 7.

[5]) Codd. Reg. et Basileensis: ἀνακηρύττειν. R. — Cfr. Tob. XII, 7.

[6]) Psalm. XXXVII, 30. (XXXVI.)

[7]) Cfr. II Cor. V, 1. — Hoeschel. in notis: »Gelenius hic lapsus est, non animadvertendo petita esse illa ex ep. II. ad Corinth. cap. 5., quae Apostoli verba explicat Macarius Homil. V. et Methodius in Photii bibliotheca pag. 486. et pag. 487.«

[8]) Cfr. II Cor. V, 2. 4. [9]) Cfr. I Cor. XV, 53.

[10]) Cfr. I Cor. XV, 53.

τος τῷ ἁμαρτάνειν θανάτου, ἐνδύσασθαι ἀθανασίαν· ἵν', ὅτε [1]) τὸ φθαρτὸν ἐνδύσεται [2]) τὴν ἀφθαρσίαν, καὶ τὸ θνητὸν τὴν ἀθανασίαν, τότε γενήσηται [3]) τὸ πάλαι ὑπὸ τῶν προφητῶν προειρημένον, [4]) ἀναίρεσις τῆς νίκης τοῦ θανάτου, καθὸ νικήσας ἡμᾶς ἑαυτῷ ὑπέταξε· καὶ τοῦ ἀπ' αὐτοῦ κέντρου, ᾧ κεντῶν τὴν οὐ πάντη πεφραγμένην ψυχὴν, ἐμποιεῖ αὐτῇ τὰ ἀπὸ τῆς ἁμαρτίας τραύματα.

20. Ἀλλ' ἐπεὶ τὰ μὲν ἡμέτερα περὶ ἀναστάσεως, ὡς ἐνεχώρει, ἀπὸ τοῦ μέρους ἐπὶ τοῦ παρόντος λέλεκται· (συντέτακται γὰρ ἡμῖν περὶ ἀναστάσεως ἐν ἄλλοις, ἐπὶ πλεῖον ἐξετάσασι τὰ κατὰ τόπον·) τὰ δὲ τοῦ Κέλσου νῦν χρὴ κατὰ τὸ εὔλογον διαβαλεῖν, [5]) μήτε νοήσαντος τὸ παρ' ἡμῖν γεγραμμένον, μήτε κρίναι δυναμένου, ὅτι οὐ δεῖ τὸ βούλημα τῶν σοφῶν ἐκείνων ἀνδρῶν νομίζειν πρεσβεύεσθαι ὑπὸ τῶν πλεῖον πίστεως μηδὲν ἐπαγγελλομένων τῆς πρὸς τὸν Χριστιανῶν λόγον· φέρε, παραστήσωμεν, ὅτι ἀνδράσιν, οὐκ εὐκαταφρονήτοις τῆς λογικῆς ἕνεκεν θεωρίας καὶ τῶν διαλεκτικῶν σκεμμάτων, σφόδρ' ἀπεμφαίνοντα λέλεκται. Καὶ εἰ χρὴ μυχθίζειν ὡς ταπεινοὺς καὶ γραώδεις λόγους, ἐκείνους μᾶλλον χρὴ, ἢ τοὺς ἡμετέρους. Φασὶ [6]) δὴ

---

[1]) Cfr. 1 Cor. XV, 54.

[2]) Libri editi (v. c. edd. Spenc.) in textu: ἐνδύσηται. R. — Edd. Spenc. ad marg. ἐνδύσεται.

[3]) Libri editi (e. c. edd. Spenc.) in textu: γενήσεται. R. — Edd. Spenc. ad marg. γενήσηται.

[4]) Cfr. Hos. XIII, 14.

[5]) Forte scribendum: διαλαβεῖν. R.

[6]) Spencer. in notis: »Lactant lib. VII. cap. 23. Melius Chrysippus, quem Cicero ait fulcire porticum Stoicorum, qui in libris, quos de providentia scripsit, cum de innovatione mundi loqueretur, haec intulit: Τούτου δὲ οὕτως ἔχοντος, δῆλον ὡς οὐδὲν ἀδύνατον, καὶ ἡμᾶς, μετὰ τὸ τελευτῆσαι, πάλιν, περιόδων τινῶν εἱλημμέ-

οἱ ἀπὸ τῆς Στοᾶς, κατὰ περίοδον ἐκπύρωσιν τοῦ παντὸς γίνεσθαι, καὶ ἐξῆς αὐτῇ διακόσμησιν πάντ' ἀπα-

---

νων χρόνου, εἰς ὃ νῦν ἐσμεν ἀποκαταστήσεσθαι σχῆμα. Tull. lib. II. de natura deorum: Sunt autem stellae natura flammeae; quocirca terrae, maris, aquarum vaporibus aluntur iis, qui a sole ex agris tepefactis, et ex aquis excitantur, quibus altae renovataeque stellae, atque omnis aether, refundunt eadem, et rursum trahunt in idem; nihil ut fere intereat, aut admodum paululum, quod astrorum ignis, et aetheris flamma consumat. Ex quo eventurum nostri putant id, de quo Panaetium addubitare dicebant, ut ad extremum omnis mundus ignesceret, cum, humore consumto, neque terra ali posset, neque remearet aër, cujus ortus, aqua omni exhausta, esse non posset; ita relinqui nihil praeter ignem: a quo rursum animante, ac Deo, renovatio mundi fieret, atque idem ornatus oriretur. Et lib. III. de natura deorum. Clemens Stromat. lib. V. pag. 549. loquens de Heraclito Ephesio: *Οἶδεν γὰρ καὶ οὗτος, ἐκ τῆς βαρβάρου φιλοσοφίας μαθών, τὴν διὰ πυρὸς κάθαρσιν τῶν κακῶς βεβιωκότων, ἣν ὕστερον ἐκπύρωσιν ἐκάλεσαν οἱ Στωϊκοί· καθ' ὃν καὶ τὸν ἴδιος ποιὸν ἀναστήσεσθαι δογματίζουσι· τοῦτ' ἐκεῖνο, τὴν ἀνάστασιν, περιέποντες.* Vide quae refert de eodem pag. 599. Plutarch. lib. I. cap. 3. de Placitis philosophorum, Tatian. contra Graecos pag. 143. et pag. 145., Justin. Apolog. I. pag. 45., Apolog. II. pag. 66., Minutius in Octavio pag. 39. et 40. Euseb. lib. XV. cap. 19. Praepar. Evang. ex Numenio, de iterato universi ortu ex sententia Stoicorum: *Ἐπὶ τοσοῦτο δὲ προελθὼν ὁ κοινὸς λόγος, καὶ κοινὴ φύσις μείζων καὶ πλείων γενομένη, τέλος ἀναξηράνασα πάντα, καὶ εἰς ἑαυτὴν ἀναλαβοῦσα, ἐν τῇ πάσῃ οὐσίᾳ γίνεται, ἐπανελθοῦσα εἰς τὸν πρῶτον ῥηθέντα λόγον, καὶ εἰς τὴν ἀνάστασιν ἐκείνην τὴν ποιοῦσαν ἐνιαυτὸν τὸν μέγιστον, καθ' ὃν ἀπ' αὐτῆς μόνης εἰς αὐτὴν πάλιν γίνεται ἡ ἀποκατάστασις· ἐπανελθοῦσα δὲ διὰ τάξιν, ἀφ' οἵας διακοσμεῖν ὡσαύ-*

ράλλακτα ἔχουσαν, ὡς πρὸς τὴν προτέραν διακόσμησιν. Ὅσοι δ' αὐτῶν ἠδέσθησαν τὸ δόγμα, ὀλίγην εἰρήκασι παραλλαγὴν καὶ σφόδρα βραχεῖαν γίνεσθαι,[1]) κατὰ περίοδον τοῖς[2]) ἐπὶ τῆς πρὸ αὐτῆς περιόδου. Οὗτοι δ' οἱ ἄνδρες φασὶ τῇ ἑξῆς περιόδῳ τοιαῦτα ἔσεσθαι, καὶ Σωκράτην[3]) μὲν πάλιν Σωφρονίσκου (245) υἱὸν καὶ Ἀθηναῖον ἔσεσθαι, καὶ τὴν Φαιναρέτην, γηγαμένην Σωφρονίσκῳ, πάλιν αὐτὸν γεννήσειν. Κἂν μὴ ὀνομάζωσιν οὖν τὸ τῆς ἀναστάσεως ὄνομα, τῷ[4]) πράγματί γε δηλοῦσιν, ὅτι Σωκράτης ἀπὸ σπερμάτων ἀρξάμενος ἀνασιήσεται τῶν Σωφρονίσκου, καὶ ἐν τῇ ὑστέρᾳ Φαιναρέτης διαπλασθήσεται,[5]) καὶ ἀνατραφεὶς Ἀθήνησι φιλοσοφήσει· οἱονεὶ καὶ τῆς πρότερον φιλοσοφίας ἀνισταμένης, καὶ ὁμοίως ἀπαραλλάκτου τῇ[6]) προτέρᾳ ἐσομένης. Καὶ Ἄνυτος δὲ καὶ Μέλιτος ἀνασιήσονται, πάλιν Σωκράτους κατήγοροι, καὶ ἡ ἐξ Ἀρείου πάγου βουλὴ καταδικάσεται τὸν Σωκράτην. Τὸ δὲ τούτων γελοιότερον, τὰ ἀπαράλλακτα ἱμάτια τοῖς ὡς πρὸς τὴν προτέραν περίοδον Σωκράτης ἐνδύσεται, ἐν ἀπαραλλάκτῳ πενίᾳ, καὶ ἀπαραλλάκτῳ πόλει ταῖς Ἀθήναις τῇ

τως ἤρξατο, κατὰ λόγον πάλιν τὴν αὐτὴν διεξαγωγὴν ποιεῖται, τῶν τοιούτων περιόδων ἐξ ἀϊδίου γινομένων ἀκαταπαύστως. Vide quae Eusebius habet lib. XV. cap. 15. ex Arii Didymi epitome.«

[1]) Libri editi (v. c. edd. Spenc.) in margine: *γενέσθαι*. R.

[2]) Libri editi in margine: *τοῖς ἐπὶ τοῖς πρὸ αὐτῆς*. R. — Edd. Spenc. ad marg. *τοῖς ἐπεὶ τοῖς*.

[3]) Vide lib. IV. contra Cels. num. 67. et 68.

[4]) Codd. Reg. et Basileensis: *τῷ πράγματί γε δηλοῦσιν*. Libri editi (v. c. edd. Spenc.): *τὸ πρᾶγμά γε δηλοῦσιν*. R.

[5]) Cod. Julian. recte: *διαπλασθήσεται*. Libri editi (v. c. edd. Spenc.) *διπλασιασθήσεται*. R.

[6]) Edd. Spenc. et Ruaei in textu: *τῆς προτέρας*, ed. vero Ruaei in notis: »Lege cum Guieto et Boherello: *τῇ προτέρᾳ*.«

πρὸς τὴν προτέραν περίοδον ἐσόμενος. Καὶ Φάλαρις μὲν τυραννήσει πάλιν, ὁ δὲ χάλκεος αὐτοῦ ταῦρος τῶν ἀπαραλλάκτων τῇ προτέρᾳ ἀνθρώπων περιόδῳ κατακριθέντων μυκήσεται ἀπὸ τῆς τῶν ἔνδον[1]) φωνῆς. Ἀλέξανδρός τε ὁ Φεραῖος[2]) πάλιν τυραννήσει, τὴν ἀπαράλλακτον ἔχων ὠμότητα τῇ προτέρᾳ, καὶ τοὺς ἀπαραλλάκτους καταδικάζων ὡς καὶ τοὺς προτέρους. Καὶ τί με δεῖ καταλέγειν τὸ περὶ[3]) τῶν τοιούτων δόγμα τοῖς ἀπὸ τῆς Στοᾶς περιλοσοφημένον, καὶ μὴ γελώμενον ὑπὸ Κέλσου, ἀλλὰ τάχα καὶ σεμνυνόμενον· ἐπεὶ δοκεῖ αὐτῷ ὁ Ζήνων τοῦ Ἰησοῦ εἶναι σοφώτερος;

21. Καὶ οἱ ἀπὸ τοῦ Πυθαγόρου[4]) δὲ καὶ Πλά-

---

[1]) Edd. Spenc. et Ruaei: ἔνδων.

[2]) Hoeschel. in textu, edd. Spenc. ad marg. Φερρᾶιος.

[3]) Hoeschel. in textu, edd. Spenc. ad marg. περὶ τῶν τοιούτων δογμάτων.

[4]) Spencer. in notis: Lactant. lib. VII. cap. 23. »Qua de anastasi philosophi quoque dicere aliquid conati sunt tam corrupte, quam poetae. Nam Pythagoras transire animas in nova corpora disputavit, sed inepte, quod ex hominibus in pecudes, et ex pecudibus in homines, et se ipsum ex Euphorbo esse reparatum.« Minutius in Octavio pag. 40. »Sic etiam conditionem renascendi sapientium clariores, Pythagoras primus, et praecipuus Plato, corrupta et dimidiata fide tradiderunt: nam corporibus dissolutis solas animas volunt et perpetuo manere, et in alia nova corpora saepius commeare. Addunt istis et illa ad detorquendam veritatem, in pecudes, aves, belluas, hominum animas redire.« Hieronym. in Apolog. adversus Rufinum: »Audi quid apud Graecos Pythagoras primus invenerit, immortales esse animas. et de aliis corporibus transire in alia. Quod quidem et Virgilius, in sexto Aeneidos volumine vers. 748. seqq. sequens loquitur:

Has omnes, ubi mille rotam volvere per annos,
Letheum ad fluvium Deus evocat agmine magno:
Scilicet immemores supera ut convexa revisant

τωνος, [1]) εἰ καὶ δοκοῦσιν ἄφθαρτον τηρεῖν τὸν κόσμον,

Rursus, et incipiant in corpora velle reverti.
Se primum fuisse Euphorbum, secundo Callidem, tertio Hermotinum, quarto Pyrrhum, ad extremum Pythagoram: et post temporum certos circulos ea, quae fuerant, rursum fieri, nihilque in mundo videri novum. Ovid. Metamorph lib. V. fab. 3. et 4., Tertull. Apologet. cap. 48, et de anima cap. 24., Theodoret. serm. XI. de fine et judicio, Tatian. contra Graecos, Just. quaest. ad Graecos, Lactant. lib. III. cap. 18., Arnob. lib. II., Diodor. lib. V. Bibl. Hist. A. Gellius lib. IV. cap. 11., Tull. Tusculan. quaest. lib I., Philostrat. lib. III cap. 6. Idem in Heroicis, de Euphorbo, Laertius in Pythagora.

[1]) Spencer. in notis: Clemens Stromat. lib. V. pag. 549. Ὁ δὲ Πλάτων τὴν γῆν χρόνοις τισὶ διὰ πυρὸς καθαίρεσθαι καὶ ὕδατος. Huc etiam detorquet illud Platonis in Timaeo pag. 22. (ex recens. Bekkeri Part. III. Vol. II. pag. 13) Πολλαὶ καὶ κατὰ πολλὰ φθοραὶ γεγόνασιν ἀνθρώπων, καὶ ἔσονται, πυρὶ μὲν καὶ ὕδατι μέγισται, μυρίοις δὲ ἄλλοις ἕτεραι βραχύτεραι. Τὸ γὰρ οὖν καὶ παῦ ὑμῖν λεγόμενον, ὡς ποτε Φαέθων, Ἡλίου παῖς, τὸ τοῦ πατρὸς ἅρμα ζεύξας, διὰ τὸ μὴ δυνατὸς εἶναι κατὰ τὴν τοῦ πατρὸς ὁδὸν ἐλαύνειν, τά τ' ἐπὶ γῆς ξυνέκαυσε, καὶ αὐτὸς κεραυνωθεὶς διεφθάρη· τοῦτο μύθου μὲν σχῆμα ἔχον λέγεται, τὸ δ' ἀληθές ἐστι τῶν περὶ γῆν καὶ κατ' οὐρανὸν ἰόντων παράλλαξις, καὶ διὰ μακρῶν χρόνων γινομένη τῶν ἐπὶ γῆς πυρὶ πολλῷ φθορά. Et Minutius in Octavio pag. 39. Forsan rectius ad praesens institutum retulisse poterat, quae sequuntur, pag. 42 (cfr. ed. Bekker. Part. III. Vol. II. pag. 45.) in Timaeo (coll. Phaedro, ex recens. Bekker. Part. I. Vol. I. pag. 45.) Χιλιοστῷ δὲ ἔτει ἀμφότεραι, ἀφικνούμεναι ἐπὶ κλήρωσιν καὶ αἵρεσιν τοῦ δευτέρου βίου, αἱροῦνται ὃν ἂν ἐθέλῃ βίον ἑκάστη. Ἔνθα καὶ εἰς θηρίου βίον ἀνθρωπίνη ψυχὴ ἀφικνεῖται. Μὴ παυόμενος δὲ ἐν τούτοις ἔτι κακίας, τρόπον ὃν κακύνοιτο, κατὰ τὴν ὁμοιότητα τῆς τοῦ τρόπου γενέσεως, εἴς τινα τοιαύτην ἀεὶ

ἀλλὰ τοῖς παραπλησίοις γε περιπίπτουσι. [1]) Τῶν γὰρ ἀστέρων κατά τινας περιόδους τεταγμένας τοὺς αὐτοὺς σχηματισμοὺς καὶ σχέσεις πρὸς ἀλλήλους λαμβανόντων, πάντα τὰ ἐπὶ γῆς ὁμοίως ἔχειν φασὶ τοῖς ὅτε τὸ αὐτὸ σχῆμα τῆς σχέσεως τῶν ἀστέρων περιεῖχεν ὁ κόσμος. Ἀνάγκη τοίνυν κατὰ τοῦτον τὸν λόγον, τῶν ἀστέρων ἐκ μακρᾶς περιόδου ἐλθόντων ἐπὶ τὴν αὐτὴν σχέσιν πρὸς ἀλλήλους, ὁποίαν εἶχον ἐπὶ Σωκράτους, [2]) πάλιν

μεταβαλοῖ θήρειον φύσιν· ἀλλάττων τε οὐ πρότερον πόνων λήξοι, πρὶν τῇ ταὐτοῦ καὶ ὁμοίου περιόδῳ τῇ ἐν αὐτῷ ξυνεπισπώμενος τὸν πολὺν ὄχλον, καὶ ὕστερον προσφύντα ἐκ πυρὸς, καὶ ὕδατος, καὶ ἀέρος, καὶ γῆς, θορυβώδη καὶ ἄλογον ὄντα λόγῳ κρατήσας, εἰς τὸ τῆς πρώτης καὶ ἀρίστης ἀφίκοιτο εἶδος ἕξεως. Et quae narrat in fine libri X. de Republica, inque libro de anima mundi: Ἅπαντα δὲ ταῦτα ἐν δευτέρᾳ περιόδῳ ἡ Νέμεσις συνδιέκρινε. Et in Phaedro pag. 248. (ex rec. Bekker. Part. I. Vol. I. pag. 44.) Θεσμός τε Ἀδραστείας ὅδε, ἥτις ἂν ψυχὴ θεῷ ξυνοπαδὸς γενομένη, κατίδῃ τι τῶν ἀληθῶν, μέχρι τε τῆς ἑτέρας περιόδου εἶναι ἀπήμονα. Et paulo post pag. 248. et 249. (ex rec. Bekker. Vol. laud. pag. 45) Ἐν δὲ τούτοις ἅπασιν ὃς μὲν ἂν δικαίως διαγάγῃ, ἀμείνονος μοίρας μεταλαμβάνει· ὃς δ' ἂν ἀδίκως, χείρονος. Εἰς μὲν γὰρ τὸ αὐτὸ ὅθεν ἥκει ἡ ψυχὴ ἑκάστη, οὐκ ἀφικνεῖται ἐτῶν μυρίων· οὐ γὰρ πτεροῦται πρὸ τοσούτου χρόνου, πλὴν ἡ τοῦ φιλοσοφήσαντος ἀδόλως, ἢ παιδεραστήσαντος μετὰ φιλοσοφίας. Αὗται δὲ τρίτῃ περιόδῳ τῇ χιλιετεῖ, ἐὰν ἕλωνται τρὶς ἐφεξῆς τὸν βίον τοῦτον, οὕτω πτερωθεῖσαι τρισχιλιοστῷ ἔτει ἀπέρχονται. Et infra pag. 249. (ex rec. Bekker. Volum. laud. pag. 45.) Τῷ δὲ χιλιοστῷ ἀμφότεραι, ἀφικνούμεναι ἐπὶ κλήρωσίν τε καὶ αἵρεσιν τοῦ δευτέρου βίου, αἱροῦνται ὃν ἂν ἐθέλῃ ἑκάστη.

[1]) Mss. (itemq. edd. Spenc. ad marg.) περιπίπτουσι· Hoeschel. et Spencer. in textu: προσπίπτουσι. R.

[2]) Vide libr. IV. contra Cels. num. 67. 68.

Σωκράτη γενέσθαι ἐκ τῶν αὐτῶν, καὶ τὰ αὐτὰ παθεῖν, κατηγορούμενον ὑπὸ Ἀνύτου καὶ Μελίτου, καὶ καταδικαζόμενον ὑπὸ τῆς ἐξ Ἀρείου πάγου βουλῆς. Καὶ Αἰγυπτίων[1]) *δὲ οἱ λόγιοι τοιαῦτα παραδιδόντες σεμνοί εἰσι, καὶ οὐ γελῶνται ὑπὸ Κέλσου καὶ τῶν παραπλησίων· ἡμεῖς δὲ, κατὰ τὴν ἀναλογίαν τῆς σχέσεως τῶν*[2]) *ἐφ' ἡμῖν ἑκάστου, οἰκονομεῖσθαι ὑπὸ τοῦ θεοῦ λέγοντες τὸ πᾶν, καὶ ἀεὶ ἄγεσθαι κατὰ τὸ*[3]) *ἐνδεχόμενον ἐπὶ τὸ βέλτιον, καὶ τὴν τοῦ*[4]) *ἐφ' ἡμῖν φύσιν γιγνώσκοντες ἐνδεχομένου ἃ ἐνδέχεται· (οὐ γὰρ δύναται χωρῆσαι τὸ πάντη ἄτρεπτον τοῦ θεοῦ·) οὐ δοκοῦμεν ἄξια λέγειν βασάνου καὶ ἐξετάσεως.*

22. *Μὴ ὑπονοείτω δέ τις ἡμᾶς, ταῦτα λέγοντας, ἀπ' ἐκείνων εἶναι τῶν λεγομένων μὲν Χριστιανῶν, ἀθετούντων δὲ τὸ περὶ ἀναστάσεως κατὰ τὰς γραφὰς δόγμα. Ἐκεῖνοι μὲν γὰρ τὸν οἱονεὶ ἀπὸ κόκκου*[5]) *σίτου, ἢ τινος τῶν λοιπῶν, ἀνιστάμενον (246) στάχυν, ἢ δένδρον, οὐδαμῶς παραστῆσαι ἔχουσιν, ὅσον ἐπὶ τῷ ἀρέσκοντι ἑαυτῶν. Ἡμεῖς δὲ, πειθόμενοι ὅτι τὸ σπειρόμενον οὐ ζωοποιεῖται,*[6]) *ἐὰν μὴ ἀποθάνῃ, καὶ ὅτι οὐ*[7])

---

[1]) Diodor. libr. I. Bibl. Hist. pag. 88. *Πυθαγόραν τε τὰ κατὰ τὸν ἱερὸν λόγον, καὶ τὰ κατὰ γεωμετρίαν θεωρήματα, καὶ τὰ περὶ τοὺς ἀριθμοὺς, ἔτι δὲ τὴν εἰς πᾶν ζῶον τῆς ψυχῆς μεταβολὴν μαθεῖν παρ' Αἰγυπτίων.* Spenc.

[2]) Boherell. in notis: »Verba: *τῶν ἐφ' ἡμῖν*, et *τοῦ ἐφ' ἡμῖν*, Stoicorum Fato opponit Origenes, ut et *τὸ ἐνδεχόμενον*.«

[3]) Cfr. pag. huj. not. 2. [4]) Cfr. pag. huj. not. 2.

[5]) Cfr. 1 Cor. XV, 37.

[6]) Cfr. 1 Cor. XV, 36. 37.

[7]) Ruaeus absque causa in notis: »An scribendum: *οὐ τὸ γεννηθησόμενον;* Non displicet Guieto.« — Cetera de resurrectione quid senserit Origenes, fuse aperitur lib. II. Origenianorum quaest. IX.

τὸ γενησόμενον[1]) σῶμα σπείρεται· (ὁ γὰρ θεὸς[2]) αὐτῷ δίδωσι σῶμα, καθὼς ἠθέλησε· μετὰ τὸ σπαρῆναι ἐν φθορᾷ,[3]) ἐγείρων αὐτὸ ἐν ἀφθαρσίᾳ· καὶ μετὰ τὸ σπαρῆναι αὐτὸ ἐν ἀτιμίᾳ, ἐγείρων αὐτὸ ἐν δόξῃ· καὶ μετὰ τὸ σπαρῆναι ἐν ἀσθενείᾳ, ἐγείρων αὐτὸ ἐν δυνάμει· καὶ μετὰ τὸ σπαρῆναι σῶμα ψυχικὸν, ἐγείρων αὐτὸ πνευματικόν·) τηροῦμεν καὶ τὸ βούλημα τῆς ἐκκλησίας τοῦ Χριστοῦ, καὶ τὸ μέγεθος τῆς ἐπαγγελίας τοῦ θεοῦ, παριστάντες αὐτοῦ καὶ τὸ δυνατὸν, οὐκ ἀποφάσει, ἀλλὰ καὶ λόγῳ· εἰδότες ὅτι κἂν οὐρανὸς καὶ γῆ παρέλθοι,[4]) καὶ τὰ ἐν αὐτοῖς· ἀλλ' οἱ περὶ ἑκάστου λόγοι ὄντες, ὡς ἐν ὅλῳ μέρη, ἢ ὡς ἐν γένει εἴδη, τοῦ ἐν[5]) ἀρχῇ λόγου πρὸς τὸν θεὸν θεοῦ λόγου, οὐδαμῶς παρελεύσονται. Θέλομεν γὰρ ἀκούειν τοῦ εἰπόντος· «ὁ[6]) οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσιν.«

23. Ἡμεῖς μὲν οὖν οὔ φαμεν τὸ διαφθαρὲν σῶμα ἐπανέρχεσθαι εἰς τὴν ἐξ ἀρχῆς φύσιν, ὡς οὐδὲ τὸν διαφθαρέντα κόκκον[7]) τοῦ σίτου ἐπανέρχεσθαι εἰς τὸν κόκκον τοῦ σίτου. Λέγομεν γὰρ, ὥσπερ ἐπὶ τοῦ κόκκου τοῦ σίτου ἐγείρεται στάχυς, οὕτω λόγος τις ἔγκειται τῷ σώματι, ἀφ' οὗ μὴ φθειρομένου ἐγείρεται[8]) τὸ σῶμα ἐν ἀφθαρσίᾳ. Οἱ μέν τοι ἀπὸ τῆς Στοᾶς τὸ πάντη διαφθαρὲν σῶμά φασιν ἐπανέρχεσθαι εἰς τὴν ἐξ ἀρχῆς φύσιν, διὰ τὰ δεδογμένα αὐτοῖς περὶ τῶν κατὰ περίοδον ἀπαραλλάκτων, καὶ αὐτὴν ἐκείνην, ἐξ

---

[1]) Cfr. I Cor. XV, 37. coll. pag. 203. not. 7.

[2]) Cfr. I Cor. XV, 38.

[3]) Cfr. I Cor. XV, 42. 43. 44.

[4]) Libri editi (v. c. edd. Spenc.) in margine: παρέλθῃ. R. — Cfr. Matth. XXIV, 35. coll. Marc. XIII, 31.

[5]) Cfr. ev. Joann. I, 1. 2.

[6]) Cfr. Matth. XXIV, 35. coll. Marc. XIII, 31.

[7]) Cfr. I Cor. XV, 37. [8]) Cfr. I Cor. XV, 42.

ἧς ἐλύθη, τὴν πρώτην σύστασιν πάλιν φασὶ συστήσεσθαι· διαλεκτικαῖς, ὡς οἴονται, ἀνάγκαις ταῦτα παριστάντες. Καὶ οὐκ εἰς ἀτοπωτάτην γε ἀναχώρησιν ἀναχωροῦμεν, λέγοντες ὅτι πᾶν δυνατὸν [1]) τῷ θεῷ· οἴδαμεν γὰρ ἀκούειν τοῦ »πᾶν,« οὐκ ἐπὶ τῶν ἀνυπάρκτων, οὐδ' ἐπὶ τῶν ἀδιανοήτων. Φαμὲν δὲ καὶ, ὅτι οὐ δύναται αἰσχρὰ ὁ θεὸς, ἐπεὶ ἔσται ὁ θεὸς δυνάμενος μὴ εἶναι θεός· εἰ γὰρ αἰσχρόν τι δρᾷ ὁ θεὸς, οὐκ ἔστι θεός. Ἐπεὶ δὲ τίθησιν, ὅτι »καὶ τὰ παρὰ φύσιν ὁ θεὸς οὐ βούλεται,« διαστελλόμεθα τὸ λεγόμενον· ὅτι εἰ μὲν παρὰ [2]) φύσιν τις τὴν κακίαν λέγει, καὶ ἡμεῖς λέγομεν, ὅτι οὐ βούλεται τὰ παρὰ φύσιν ὁ θεὸς, οὔτε τὰ ἀπὸ κακίας, οὔτε τὰ ἀλόγως γινόμενα· εἰ δὲ τὰ κατὰ λόγον θεοῦ καὶ βούλησιν αὐτοῦ γινόμενα, ἀναγκαίως [3]) εὐθέως εἶναι μὴ παρὰ φύσιν· οὐ παρὰ φύσιν τὰ πραττόμενα ὑπὸ τοῦ θεοῦ, κἂν παράδοξα ᾖ, ἢ δοκοῦντά τισι παράδοξα. Εἰ δὲ χρὴ βεβιασμένως ὀνομάσαι· ἐροῦμεν, ὅτι ὡς πρὸς τὴν κοινοτέραν νοουμένην φύσιν ἐστί τινα ὑπὲρ τὴν φύσιν, ἃ ποιήσαι ἄν ποτε θεὸς, ὑπὲρ τὴν ἀνθρωπίνην φύσιν ἀναβιβάζων τὸν ἄνθρωπον, καὶ ποιῶν αὐτὸν μεταβάλλειν ἐπὶ φύσιν κρείττονα καὶ θειοτέραν· καὶ (247) τηρῶν τοιοῦτον, [4]) ὅσον καὶ ὁ τηρούμενος δέ ὧν πράττει παρίσησιν [5]) ὅτι βούλεται.

24. Ἅπαξ δ' εἰπόντες, ὅτι οὐδὲν μὴ πρέπον ἑαυτῷ ὁ θεὸς βούλεται, ἀναιρετικὸν τυγχάνον τοῦ εἶναι αὐτὸν θεὸν, φήσομεν, ὅτι ἐάν τι κατὰ τὴν μοχθηρίαν

---

[1]) Cfr. Matth. XIX, 26. coll. Luc. I, 37.

[2]) Edd. Spenc. ad marg. παρὰ φύσιν τὴν κακίαν τις λέγει.

[3]) Boherell. in notis: »Malim: ἀναγκαῖον.«

[4]) Sic Mss. (itemq. edd. Spenc. ad marg.) Quid si scribatur: τοιοῦτον, ἐφ' ὅσον καὶ ὁ τηρούμενος. Libri editi (v. c. edd. Spenc.) in textu: τοῦτον ὅσον. R.

[5]) Libri editi (v. c. edd. Spenc.) in margine: περιτσησιν. R.

ἑαυτοῦ ἄνθρωπος βδελυρὸν βούληται, τοῦτ' οὐ δυνήσεται ὁ θεός. Οὕτω δὲ οὐκ ἔσμεν φιλόνεικοι πρὸς τὰ ὑπὸ Κέλσου λεγόμενα· ἀλλὰ φιλαλήθως αὐτὰ ἐξετάζοντες, συμφήσομεν ὅτι οὐκ ἔστι τῆς πλημμελοῦς ὀρέξεως, οὐδὲ τῆς πεπλανημένης ἀκοσμίας, ἀλλὰ τῆς ὀρθῆς καὶ δικαίας φύσεως[1]) ὁ θεὸς, ἅτε ἀρχηγέτης τυγχάνων παντὸς καλοῦ. Καὶ[2]) ὅτι ψυχῆς αἰώνιον βιοτὴν δύναται παρασχεῖν ὁμολογοῦμεν· καὶ οὐ μόνον δύναται, ἀλλὰ καὶ παρέχει. Οὐδὲν δὲ μάλιστα, διὰ τὰ προειρημένα, λυπεῖ ἡμᾶς οὐδὲ τὸ ὑπὸ Ἡρακλείτου λεγόμενον, ὅπερ Κέλσος παρείληφεν, ὅτι »νέκυές εἰσι κοπρίων ἐκβλητότεροι·« καί τοί γε εἴποι τις ἂν καὶ περὶ τούτου, ὅτι τὰ μὲν κόπρια ἐκβλητά ἐστιν· οἱ δ' ἐξ ἀνθρώπου νέκυες διὰ τὴν ἐνοικήσασαν ψυχὴν, καὶ μάλιστα ἐὰν ᾖ ἀσιτειοτέρα, οὐκ ἐκβλητοί. Κατὰ γὰρ τοὺς ἀσιτειοτέρους τῶν νόμων, μετὰ τῆς ἐνδεχομένης ὡς πρὸς τὰ τοιαῦτα τιμῆς, ταφῆς ἀξιοῦνται·[3]) ἵνα μὴ ὑβρίζωμεν τῇ δυνάμει τὴν ἐνοικήσασαν ψυχὴν, ἀπορριπτοῦντες μετὰ τὸ ἐξελθεῖν ἐκείνην τὸ σῶμα, ὡς καὶ τὰ τῶν κτηνῶν σώματα. Μὴ βουλέσθω οὖν ὁ θεὸς παραλόγως αἰώνιον ἀποφῆναι μήτε τὸν τοῦ σίτου[4]) κόκκον, ἀλλ'[5]) ἢ ἄρα τὸν ἐξ αὐτοῦ στάχυν· μηδὲ τὸ σπειρόμενον ἐν φθορᾷ,[6])

---

[1]) Ed. Ruaei in textu: φύσεως, in notis: »Libri editi (v. c. edd. Spenc.) φύσεως. Codd. Reg. et Basileensis: χρίσεως. R. — Cfr. libr. huj. num. 14.

[2]) Libri editi (v. c. edd. Spenc.) Καὶ ἄλλο τι ψυχῆς αἰώνιον βιοτὴν δύνασθαι παρασχεῖν κτλ, sed Codd. Reg. et Basileensis: Καὶ ὅτι ψυχῆς αἰώνιον βιοτὴν δύναται παρασχεῖν κτλ., ubi pro: ψυχῆς, mallem: ψυχῇ. R. — Cfr. libr. huj. num. 14.

[3]) Sic recte Codd. Reg. et Basil,; refertur enim ad superius: οἱ δ' ἐξ ἀνθρώπου νέκυες. Libri editi (v. c. edd. Spenc.) ἀξιοῦται. R.

[4]) Cfr. I Cor. XV, 37.

[5]) Sic Mss. Libri autem editi (v. c. edd. Spenc.) ἀλλ' εἰ ἄρα. R. [6]) Cfr. I Cor. XV, 42.

ἀλλὰ τὸ ἀπ' αὐτοῦ ἐγειρόμενον ἐν ἀφθαρσίᾳ. Ἀλλὰ καὶ ὁ τῶν πάντων λόγος ἐστὶ, κατὰ μὲν Κέλσον, αὐτὸς ὁ θεός· κατὰ δὲ ἡμᾶς, ὁ υἱὸς αὐτοῦ· περὶ οὗ φιλοσοφοῦντες λέγομεν τό· »ἐν [1]) ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεὸν, καὶ θεὸς ἦν ὁ λόγος.« Ἀλλὰ, καὶ καθ' ἡμᾶς, οὐδὲν οἷός τε παράλογον, [2]) οὔτε παρ' ἑαυτὸν ἐργάσασθαί ἐστιν ὁ θεός.

25. Ἴδωμεν [3]) δὲ καὶ τὴν ἑξῆς τοῦ Κέλσου λέξιν, [4]) οὕτως ἔχουσαν· »Ἰουδαῖοι μὲν οὖν ἔθνος ἴδιον γενόμενοι, καὶ κατὰ τὸ ἐπιχώριον νόμους θέμενοι, καὶ τούτους ἐν σφίσιν ἔτι νῦν περιστέλλοντες, καὶ θρησκείαν [5]) ὁποίαν δὴ, πάτριον δ' οὖν, φυλάσσοντες, ὅμοια τοῖς ἄλλοις ἀνθρώποις δρῶσιν· ὅτι ἕκαστοι τὰ [6]) πάτρια, ὁποῖά ποτ' ἂν τύχῃ καθεστηκότα περιέπουσι. Δοκεῖ [7]) δ' οὕτω καὶ συμφέρειν, οὐ μόνον καθότι ἐπὶ νοῦν ἦλθεν ἄλλοις ἄλλως νομίσαι, καὶ [8]) δεῖ φυλάτ-

---

[1]) Ev. Joann. I, 1.

[2]) Boherell. in notis: »Malim: *παρὰ λόγον*. Cfr. libr. huj. num. 14.«

[3]) Cfr. Orig. Philoc. ex rec. Tarini cap. XXI. pag. 312. seqq., ex rec. Spenceri cap. XXII. pag. 67., cujus in fronte, tituli instar, haec leguntur: *Τίς ἡ τῶν ἐπὶ γῆς λογικῶν ἤτοι ἀνθρωπίνων ψυχῶν διασπορὰ ἐπικεχρυμμένως δηλουμένη ἐκ τῆς οἰκοδομῆς τοῦ πύργου, καὶ τῆς κατ' αὐτὴν συγχύσεως τῶν γλωσσῶν· ἐν ᾧ καὶ περὶ πολλῶν κυρίων ἐπιτεταγμένων τοῖς διασπαρεῖσι κατὰ ἀναλογίαν τῆς καταστάσεως.*

[4]) Philoc. *λέξιν ἔχουσαν οὕτως.*

[5]) Philoc. *θρησκείαν ὁποιανδί.*

[6]) Hoeschel. et Spencerus: *τὰ πάτρια, ὅπη ποτ' ἂν τύχῃ, περιέπουσι*, sed Philoc. ut in nostro textu. R.

[7]) Philoc. *Δοκεῖ δὲ οὕτω.*

[8]) Philoc. *καὶ δεῖ φυλάσσειν.* Hoeschel. et Spencerus: *καὶ δεῖν φυλάττειν.* R. — Jam Boherell. in notis: »Lege: *δεῖ*, e Philocalia et ex libri huj. num. 26.«

τειν τὰ [1]) ἐς κοινὸν κεκυρωμένα· ἀλλὰ [2]) καὶ ὅτι, ὡς εἰκὸς, τὰ μέρη τῆς γῆς ἐξ ἀρχῆς ἄλλα ἄλλοις ἐπόπταις νενεμημένα, καὶ κατά τινας ἐπικρατείας διειλημμένα, ταύτῃ καὶ [3]) διοικεῖται. Καὶ δὴ τὰ παρ' ἑκάστοις ὀρθῶς ἂν πράττοιτο ταύτῃ δρώμενα, ὅπῃ ἐκείνοις φίλον· παραλύειν δὲ οὐχ ὅσιον εἶναι τὰ ἐξ ἀρχῆς κατὰ τόπους νενομισμένα.« Ἐν τούτοις δὴ ὁ Κέλσος ἐμφαίνει, ὅτι οἱ πάλαι Αἰγύπτιοι Ἰουδαῖοι ὕστερον ἔθνος ἐγένοντο [4]) ἴδιον, καὶ νόμους (248) θέμενοι, τούτους περιστέλλουσι. Καὶ ἵνα μὴ ἐπαναλάβωμεν [5]) τὰς ἐκκειμένας τοῦ Κέλσου λέξεις, φησὶ [6]) καὶ συμφέρειν τούτοις τὰ πάτρια θρησκεύειν, ὁμοίως τοῖς ἄλλοις ἔθνεσι τὰ ἴδια περιέπουσι. Καὶ βαθυτέραν τινὰ ἐκτίθεται περὶ τοῦ συμφέρειν Ἰουδαίοις [7]) περιέπειν τὰ πάτρια αἰτίαν, αἰνισσόμενος, ὅτι τοὺς ἑκάστων νόμους οἱ λαχόντες ἐπόπται εἶναι τῆς γῆς τῶν νομοθετουμένων, συνεργοῦντες τοῖς [8]) νομοθέταις ἔθεντο. Ἔοικεν οὖν δηλοῦν, ὅτι καὶ τὴν Ἰουδαίων χώραν, καὶ [9]) τὸ ἐπ' αὐτῆς ἔθνος ἐποπτεύει τις ἢ τινες, ὑφ' οὗ, ἢ ὑφ' ὧν οἱ Ἰουδαίων νόμοι συνεργοῦντος ἢ συνεργούντων Μωϋσεῖ [10]) ἐτέθησαν.

26. »Καὶ χρὴ, φησὶ, τοὺς νόμους τηρεῖν, οὐ μό-

---

[1]) Philoc. τὰ εἰς κοινόν.

[2]) Hoeschel. et Spencer. in margine: ἀλλὰ καὶ ὅπως εἰκός. [3]) Deest καί in Philoc.

[4]) Philoc. ἐγένοντο. Hoeschel. et Spencerus: ἐγίγνοντο. R.

[5]) Philoc. ἐπαναλαμβάνομεν τὰς ἐγκειμένας κτλ.

[6]) Hoeschel. in textu, edd. Spenc. ad marginem: φησὶ καὶ θρησκεύειν τούτοις τὰ πάτρια συμφέρει.

[7]) Philoc. Ἰουδαίοις τὰ πάτρια περιέπειν αἰτίαν.

[8]) Hoeschel. in textu, edd. Spenc. ad marg. τοῖς νόμοις ἔθεντο.

[9]) Recte Philoc. καὶ τὸ ἐπ' αὐτῆς ἔθνος. Hoeschel. et Spencerus: καὶ τὸ ἐπ' αὐτοῖς ἔθνος. R. — Jam Boherell. in notis: »Melius, e Philocalia: ἐπ' αὐτῆς.«

[10]) Philoc. (itemq. edd. Spenc. ad marg.) Μωϋσῇ.

νον καθότι ἐπὶ νοῦν ἦλθεν ἄλλοις ἄλλως νομίσαι, καὶ [1]) ὅτι δεῖ φυλάσσειν [2]) τὰ ἐς κοινὸν κεκυρωμένα· ἀλλὰ καὶ ὅτι, ὡς εἰκὸς, τὰ μέρη τῆς γῆς ἐξ ἀρχῆς ἄλλα ἄλλοις ἐπόπταις νενεμημένα, καὶ κατά τινας ἐπικρατείας διειλημμένα, ταύτῃ καὶ διοικεῖται.« Εἶθ', ὥσπερεὶ ἐπιλαθόμενος [3]) ὁ Κέλσος ὧν εἶπε κατὰ Ἰουδαίων, νῦν ἐν τῷ καθολικῷ περὶ πάντων τῶν τὰ πάτρια τηρούντων ἐπαίνῳ καὶ τούτους περιλαμβάνει λέγων· »Καὶ δὴ τὰ παρ' ἑκάστοις ὀρθῶς ἂν πράττοιτο ταύτῃ δρώμενα, ὅπῃ ἐκείνοις φίλον.« Καὶ ὅρα, εἰ μὴ ἀντικρυς, τὸ ὅσον ἐφ' ἑαυτῷ, τὸν Ἰουδαῖον [4]) ἐν τοῖς ἰδίοις νόμοις βούλεται βιοῦντα μὴ ἀφίστασθαι αὐτῶν, [5]) ὡς οὐχ ὅσιον πράττοντα, ἐὰν ἀποστῇ· λέγει γὰρ, ὅτι »παραλύειν οὐχ [6]) ὅσιον εἶναι τὰ ἐξ ἀρχῆς κατὰ τόπους νενομισμένα.« Ἐβουλόμην δὲ πρὸς ταῦτα αὐτοῦ, ἢ τῶν συμφρονούντων αὐτῷ, πυθέσθαι, τίς ἄρα εἴη ὁ τὰ μέρη τῆς γῆς ἐξ ἀρχῆς ἄλλα ἄλλοις ἐπόπταις διανείμας; καὶ [7]) δηλονότι τὴν Ἰουδαίων χώραν καὶ τοὺς Ἰουδαίους τῷ λαχόντι, ἢ τοῖς λαχοῦσιν αὐτήν; Ἆρα γὰρ, ὡς ὀνομάσαι ἂν ὁ Κέλσος, ὁ Ζεὺς τινι ἢ τισι διένειμε τὸ Ἰουδαίων ἔθνος, καὶ τὴν χώραν αὐτῶν; καὶ ἐβούλετο τὸν λαχόντα τὴν Ἰουδαίαν τοιούτους θέσθαι ἐν Ἰου-

---

[1]) Philoc., itemq. edd. Spenc. et Ruaei: καὶ ὅτι δεῖ κτλ. — Cfr. pag. 207. not. 8.

[2]) Philoc. φυλάττειν τὰ εἰς κοινόν.

[3]) Philoc. Εἶθ', ὥσπερ ἐπιλαθόμενος κτλ.

[4]) Philoc. Ἰουδαῖον βούλεται ἐν τοῖς ἰδίοις νόμοις βιοῦντα.

[5]) Recte Philoc. αὐτῶν, Hoeschel. autem et Spencerus: αὐτόν. R. — Jam Boherell. in notis: »Lego: αὐτῶν.«

[6]) Ruaeus, absque causa, in notis: »Legendum videtur: οὐχ ὅσιόν ἐστι.

[7]) Philoc., itemq. edd. Hoeschel. et Spenceri: καὶ δῆλον, ὅτι. Jam Boherell. vero, quem Ruaeus in textu sequitur, in notis: »Lege: δηλονότι.«

δαίοις νόμους; ἢ παρὰ τὸ βούλημα αὐτοῦ [1]) τοῦτο γεγένηται; Ὡς δ' ἂν ἀποκρίνηται, ὁρᾷς, ὅτι ὁ λόγος στενοχωρηθήσεται. Εἰ δὲ μὴ ἀπό τινος ἑνὸς διανενέμηται [2]) τὰ μέρη τῆς γῆς τοῖς ἐπόπταις αὐτῶν, [3]) ἆρα [4]) ἀποκληρωτικῶς καὶ χωρὶς ἐπιστάτου ἕκαστος, ὡς ἔτυχε, διενείματο τὴν γῆν· ἀλλὰ καὶ τοῦτ' [5]) ἄτοπον, καὶ μετρίως τῆς τοῦ ἐπὶ πᾶσι θεοῦ προνοίας ἀναιρετικόν ἐστι.

27. Πῶς δὲ, καὶ κατὰ [6]) τίνας ἐπικρατείας διειλημμένα τὰ μέρη τῆς γῆς διοικεῖται ὑπὸ τῶν ἐποπτευόντων αὐτὰ, ὁ βουλόμενος διηγησάσθω· ἀπαγγειλάτω [7]) δὲ ἡμῖν καὶ πῶς ὀρθῶς πράττεται τὰ παρ' ἑκάστοις δρώμενα, ὅπη τοῖς ἐπόπταις ἐστὶ φίλον· καὶ εἰ ὀρθῶς ἔχουσι, φέρ' [8]) εἰπεῖν, οἱ Σκυθῶν περὶ ἀναιρέσεως πατέρων νόμοι· ἢ οἱ Περσῶν, [9]) μὴ κωλύοντες γαμεῖ-

---

[1]) Philoc. αὐτοῦ τοῦτο. Hoeschel. et Spencerus: αὐτοῦ τὸ τοιοῦτον.

[2]) Philoc. διανέμηται.

[3]) Hoeschel. in textu, edd. Spenc. ad marg. ἑαυτῶν, ἆρα κτλ. In textu edd. Spenc. αὐτῶν, ἆρα κτλ. Jam Boherell. vero in notis: »Lege: αὐτῶν.«

[4]) Philoc. ἆρα — ἕκαστος, ὡς ἔτυχε, διενείματο τὴν γῆν; Ἀλλὰ καὶ τοῦτο ἄτοπον κτλ.

[5]) Boherell. in notis: »Legendum videtur: τοῦτ' ἄτοπον οὐ μετρίως, καὶ τῆς« κτλ.

[6]) Philoc. itemq. ed. Ruaei perperam: κατά τινας.

[7]) Ruaeus, Boherello duce, in notis: »Sic legendum e Philocalia. Hoeschel. et Spencer. habent: ἐπαγγειλάτω.«

[8]) Philoc. φέρε εἰπεῖν.

[9]) Spencer. in notis: »Locus elegans apud Philonem libro de specialibus legibus pag. 778. Μητέρας γὰρ οἱ ἐν τέλει Περσῶν τὰς αὐτῶν ἄγονται, καὶ τοὺς φύντας ἐκ τούτων εὐγενεστάτους νομίζουσι, καὶ βασιλείας τῆς μεγίστης, ὡς λόγος, ἀξιοῦσιν· οὗ τι ἂν γένοιτο δυσσεβέστερον ἀνοσιούργημα πατρὸς εὐνὴν τετελευτηκότος, ἣν ἄψαυστον, ὡς ἱερὰν, ἐχρῆν φυλάττεσθαι, καταισχύνειν· γήρως δὲ καὶ μητρὸς αἰδῶ μὴ λαμβάνειν, τὸν

σθαι[1]) τοῖς παισὶ τὰς μητέρας, μηδὲ ὑπὸ τῶν πατέρων τὰς ἑαυτῶν θυγατέρας. Καὶ τί με δεῖ, ἐπιλεγόμενον ἀπὸ τῶν πραγματευσαμένων περὶ[2]) τῶν ἐν (249) τοῖς διαφόροις ἔθνεσι νόμων, προσαπορεῖν, πῶς παρ' ἑκάστοις ὀρθῶς πράττονται, καθὼς τοῖς ἐπόπταις φίλον,[3]) οἱ νόμοι; Λεγέτω[4]) δ' ἡμῖν ὁ Κέλσος, πῶς οὐχ ὅσιον παραλύειν νόμους πατρίους περὶ τοῦ γαμεῖν[5]) μητέρας καὶ θυγατέρας· ἢ περὶ τοῦ μακάριον εἶναι[6]) ἀγχόνῃ τὸν βίον ἐξελθεῖν·[7]) ἢ πάντως καθαίρεσθαι τοὺς ἑαυτοὺς παραδιδόντας τῷ πυρὶ, καὶ τῇ διὰ πυρὸς ἀπαλλαγῇ τῇ ἀπὸ τοῦ βίου· καὶ πῶς οὐχ ὅσιον παραλύειν νόμους τοὺς, φέρ' εἰπεῖν, παρὰ Ταύροις[8]) περὶ τοῦ ἱερεῖα τοὺς ξένους προσάγεσθαι τῇ Ἀρτέμιδι· ἢ παρὰ Λιβύων τισὶ περὶ τοῦ καταθύειν[9]) τὰ τέκνα τῷ

αὐτὸν τῆς αὐτῆς υἱὸν καὶ ἄνδρα γενέσθαι, καὶ πάλιν τὴν αὐτὴν νῦν μητέρα, καὶ γυναῖκα, καὶ τοὺς ἀμφοῖν παῖδας, τοὺς μὲν πατρὸς ἀδελφοὺς, υἱωνοὺς δὲ τῆς μητρός· καὶ τὴν μὲν ᾧ ἔτεκε μητέρα τε, καὶ μάμμην· τὸν δὲ ὧν ἐγέννησεν, ἐν ταὐτῷ πατέρα τε καὶ ὁμομήτριον ἀδελφόν.«

[1]) Philoc. γαμεῖσθαι τοῖς οἰκείοις παισὶ τὰς μητέρας.

[2]) Philoc. περὶ τῶν ἐν διαφόροις ἔθνεσι κτλ.

[3]) In textu edd. Spenc. uncis inclusum legitur: φίλον. Hoeschel. in textu, edd. Spenc. ad marg. δῆλον.

[4]) Philoc. Λεγέτω δὲ ἡμῖν.

[5]) Hoeschel. in notis: μητρογαμεῖν, Philo 532., quod laudi Persae ducebant sibi. Cfr. Chrysostom. lib. de virginit. cap. VIII.

[6]) Deest εἶναι in Philocalia.

[7]) Philoc. διεξελθεῖν.

[8]) Hoeschel. in notis: »Σκύθαις, Athanas. quam ξενοκτονίαν abrogavit Hercules. Cfr. Plutarch. Quaest. Rom. XXXII. Qui et Busiridem ξενοκτονοῦντα interfecit. Cfr. Diod. Sic. lib. IV.«

[9]) Hoeschel. in notis: »Phoenices et Cretenses libe-

Κρόνῳ. Πλὴν ἀκολουθεῖ τῷ Κέλσῳ τὸ, μὴ ὅσιον εἶναι Ἰουδαίοις[1] *παραλύειν νόμους πατρίους,*[2] *τοὺς περὶ τοῦ μὴ δεῖν ἄλλον τινὰ σέβειν θεὸν παρὰ τὸν τῶν ὅλων δημιουργόν. Καὶ ἔσται κατ' αὐτὸν οὐ φύσει τὸ ὅσιον, ἀλλά τινι θέσει καὶ νομίσει θεῖον· ὅσιον γὰρ παρὰ τοῖσδε μὲν σέβειν*[3] *κροκόδειλον, καὶ*[4] *ἐσθίειν τι τῶν παρ' ἄλλοις προσκυνουμένων·*[5] *καὶ ὅσιον ἑτέροις τὸ σέβειν τὸν μόσχον· καὶ παρ' ἄλλοις, τὸν τράγον νομίζειν θεόν. Οὕτω*[6] *δ' ἔσται*[7] *ὁ αὐτὸς ὅσια μὲν ποιῶν, ὡς πρὸς τούσδε τοὺς νόμους· ἀνόσια*[8] *δὲ, ὡς πρὸς ἑτέρους· ὅπερ ἐστὶ πάντων ἀτοπώτατον.*

28. *Ἀλλ' εἰκὸς, ὅτι φήσουσι πρὸς ταῦτα, ὅσιον εἶναι τὸν τὰ*[9] *πάτρια φυλάττοντα,*[10] *καὶ μηδαμῶς ἀνό-*

---

rorum victimis Saturnum placarunt. Cfr. Athanas. orat. contra Graecos.«

[1]) Deest *Ἰουδαίοις* in Philoc.

[2]) Philoc. *πατρῴους.*

[3]) Hoeschel. in notis: »Crocodilum coluerunt Aegyptii, (Diod. Sic. lib. I., Philo in explicatione decalogi); hircum Mendesii; draconem Indi, (M. Tyr. *λόγῳ* 38.), alii alia animalia: de quibus Clemens Alexandrin. in protreptico.«

[4]) Ita legendum e Codd. Reg. et Basileensi, nec non e Philoc. Mscr. Hoeschel. et Spencer. habent: *καὶ ἐσθίειν τῶν παρ' ἄλλοις τι προσκυνούμενον.* R. — Philoc. impressa: *καὶ ἐσθίειν τῶν παρ' ἄλλοις προσκυνουμένων.*

[5]) Jam Boherell. in notis: »Lege: *προσκυνουμένων,* e Philocalia.« — Cfr. pag. huj. not. 4.

[6]) Philoc. *Οὕτω δὲ ἔσται.*

[7]) Edd. Spenc. *ἔσται αὐτός.*

[8]) Philoc. Mscr., Hoeschel. teste: *ἀνόσια δὲ, πρὸς τοὺς ἑτέρους,* Philoc. vero impressa, ut in nostro textu.

[9]) Spencer. in notis: Xenophon lib. IV. Memorabil. pag. 803. *Ὁρᾷς γὰρ, ὅτι ὁ ἐν Δελφοῖς θεὸς, ὅταν τις αὐτὸν ἐπερωτᾷ, πῶς ἂν τοῖς θεοῖς χαρίζοιτο, ἀποκρίνεται· νόμῳ πόλεως.* Herodot. lib. II. pag. 133. *Ταῦτα μὲν παρὰ τὰ συμπόσια ποιεῦσι· πατρίοισι δὲ χρεώμενοι νόμοισι, ἄλλον οὐδένα ἐπικτέωνται.«*

[10]) Philoc. *φυλάσσοντα.*

σιον, ἐπεὶ[1]) μὲν καὶ τὰ ἑτέρων οὐ τηρεῖ· πάλιν[2]) τε αὖ τὸν νομισθέντα ἀνόσιον εἶναι παρὰ τοῖσδέ τισι, μὴ εἶναι ἀνόσιον, ὅταν κατὰ τὰ πάτρια τὰ μὲν ἴδια σέβῃ,[3]) τὰ δὲ παρὰ τοῖς ἐναντίους ἔχουσι νόμους[4]) προσπολεμῇ καὶ καταθοινᾶται.[5]) Ταῦτα δὲ ὅρα εἰ μὴ πολλὴν ἐμφαίνει τὴν περὶ[6]) τοῦ δικαίου καὶ ὁσίου καὶ εὐσεβείας ταραχὴν, οὐ[7]) διαρθρουμένης, οὐδὲ φύσιν τινὰ ἰδίαν ἐχούσης, καὶ εὐσεβεῖς εἶναι χαρακτηριζούσης τοὺς τὰ κατ' αὐτὴν πράττοντας. Εἴπερ οὖν ἡ εὐσέβεια, καὶ ἡ ὁσιότης, καὶ ἡ δικαιοσύνη τῶν πρός τί ἐστιν, ὡς τὸ αὐτὸ εἶναι[8]) ὅσιον καὶ ἀνόσιον, παρὰ τὰς διαφόρους σχέσεις καὶ τοὺς νόμους· ὅρα, εἰ μὴ καὶ ἡ σωφροσύνη

---

[1]) Hoeschel. et Spencerus: ἐπεὶ μὴ τὰ ἑτέρων οὐ τηρεῖ, sed Philocal. ut in nostro textu. R.

[2]) Hoeschel. et Spencerus: πάλιν τε αὐτὸν, νομισθέντα, sed Philoc. ut in nostro textu. R.

[3]) Philoc. σέβηται.

[4]) Boherell. in notis: »Sicut prima hujus versus vox est σέβῃ, ita in fine, post νόμους, videtur deesse: σεβόμενα.« — Cfr. pag. huj. not. 3.

[5]) Libri editi (v. c. edd. Spenc.) in margine: καταθοινῆται. R.

[6]) Philoc. Mscr., Hoeschel. teste: περὶ τοῦ ὁσίου καὶ δικαίου, Philoc. vero impressa: περὶ τοῦ ὁσίου καὶ τοῦ δικαίου.

[7]) Verba, quae Philocal. exhibet: οὐ διαρθρουμένης, οὐδὲ φύσιν τινὰ ἰδίαν ἐχούσης, καὶ εὐσεβεῖς εἶναι χαρακτηριζούσης τοὺς τὰ κατ' αὐτὴν πράττοντας, videntur Boherello glossema aut scholion sapere, sed cum in omnibus exemplaribus Mss. operis contra Celsum reperiantur, ea textui inserenda esse judicavi. R. — Boherelli verba haec sunt: »Quae post voc. ταραχὴν in Philoc. adduntur, glossema aut scholion sapiunt: ut et quae adduntur (edd. Spenc.) pag. 251. vers. 51. κατὰ τὰ ὑπεραιρόμενα ὑψώματα κατὰ τῆς γνώσεως τοῦ θεοῦ.«

[8]) Philoc. εἶναι καὶ ὅσιον καὶ ἀνόσιον.

τῶν πρός τι ἀκολούθως ἔσται, καὶ ἡ ἀνδρεία,[1]) καὶ ἡ φρόνησις, καὶ ἡ ἐπιστήμη, καὶ αἱ λοιπαὶ ἀρεταί· ὧν οὐδὲν ἂν εἴη ἀτοπώτερον.[2]) Ἁπλούστερον μὲν οὖν καὶ κοινότερον ἱσταμένοις πρὸς τὰς Κέλσου ἐγκειμένας[3]) λέξεις αὐτάρκη τὰ εἰρημένα. Ἐπεὶ δὲ νομίζομεν καὶ τῶν ἐξετασικωτέρων τινὰς ἐντεύξεσθαι τῇδε τῇ γραφῇ· φέρε, ὀλίγα τῶν βαθυτέρων παρακινδυνεύοντες ἐκθώμεθα, ἔχοντά τινα μυστικὴν καὶ ἀπόῤῥητον θεωρίαν, περὶ τοῦ ἐξ ἀρχῆς ἄλλα ἄλλοις ἐπόπτας γενέσθαι χωρία τῶν ἐπὶ γῆς· καὶ τῶν κατειλεγμένων ἀτόπων, φέρε, ὅση δύναμις, καθαρὸν παραστήσωμεν[4]) τὸν λόγον.

29. Δοκεῖ δή μοι παρακηκοέναι τινῶν ὁ Κέλσος περὶ[5]) τῆς διανεμήσεως τῶν ἐπὶ γῆς μυστικωτέρων λόγων, ὧν ἐφάπτεται μέν πως καὶ ἡ Ἑλληνικὴ ἱστορία, εἰσαγαγοῦσά[6]) τινας τῶν νομιζομένων θεῶν περὶ τῆς Ἀττικῆς πρὸς ἀλλήλους ἠμιλλῆσθαι·[7]) ποιοῦσα (250) δὲ παρὰ[8]) τοῖς ποιηταῖς τινας τῶν λεγομένων θεῶν ὁμολογεῖν τινας τόπους οἰκειοτέρους αὐτοῖς. Καὶ ἡ βαρβαρικὴ δὲ[9]) ἱστορία, καὶ μάλιστα ἡ Αἰγυπτίων, τοι-

---

[1]) Philoc. *ἀνδρία*.

[2]) Hoeschel. et Spencerus: *ἀτοπώτατον*, sed Philoc. rectius: *ἀτοπώτερον*. R. — Verbum: *ἀτοπώτερον* in Philoc. (ed. Tarini pag. 318. 319. et 320.) ea excipiunt, quae in nostro textu libri hujus num. 35. leguntur.

[3]) Philoc. *ἐγκειμένας*.

[4]) Codd. Reg. et Basil. *παραστήσωμεν*. Libri editi (v. c. edd. Spenc.) *παραστήσομεν*. R. — Jam Boherell. in notis: »Lego: *παραστήσωμεν*.«

[5]) Philoc. *περὶ τῆς διανεμήσεως τῆς γῆς μυστικωτέρων κτλ*.

[6]) Philoc. *εἰσάγουσά τινας τῶν κτλ*.

[7]) Libri editi (v. c. edd. Spenc.) in margine: *ἀμιλλᾶσθαι*. R.

[8]) Philoc. *παρὰ τοῖς ποιηταῖς τῶν λεγομένων θεῶν ὁμολογεῖν τινας τόπους οἰκειότερον αὐτοῖς*.

[9]) Deest *δέ* in Philocalia.

αὐτά τινα ἐμφαίνει περὶ τοῦ μερισμοῦ τῶν τῆς Αἰγύπτου καλουμένων νόμων, λέγουσα· ὅτι ἡ λαχοῦσα τὴν Σάϊν Ἀθηνᾶ, ἡ αὐτὴ ἔχει καὶ τὴν Ἀττικήν. Αἰγυπτίων δὲ οἱ λόγιοι μυρία [1]) ὅσα τοιαῦτα φήσουσιν· οὐκ οἶδα [2]) δ' εἰ καὶ Ἰουδαίους συμπαραλαμβάνοντες, καὶ τὴν χώραν αὐτῶν, τῇ [3]) πρός τινα διανεμήσει· ἀλλὰ περὶ μὲν τῶν ἔξω τοῦ θείου λόγου [4]) λεγομένων εἰς ταῦτα, ἄλις ἐπὶ τοῦ παρόντος. Φαμὲν [5]) δ' ὅτι ὁ καθ' ἡμᾶς προφήτης τοῦ θεοῦ, καὶ γνήσιος θεράπων αὐτοῦ, Μωϋσῆς, [6]) ἐν τῇ τοῦ Δευτερονομίου ᾠδῇ, ἐκτίθεται περὶ τοῦ μερισμοῦ τῶν ἐπὶ γῆς τοιαῦτα λέγων· »ὅτε [7]) διεμέριζεν ὁ ὕψιστος ἔθνη, ὡς διέσπειρεν υἱοὺς Ἀδάμ, ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων θεοῦ· καὶ ἐγενήθη μερὶς κυρίου λαὸς αὐτοῦ Ἰακώβ, σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ.« Τὰ δὲ περὶ τῆς διανεμήσεως τῶν ἐθνῶν, ὁ αὐτὸς Μωϋσῆς [8]) ἐν τῷ ἐπιγεγραμμένῳ βιβλίῳ Γένεσις, ἐν ἱστορίας τρόπῳ, [9]) φησὶν οὕτως· »καὶ [10]) ἦν πᾶσα ἡ γῆ χεῖλος ἕν, καὶ φωνὴ μία πᾶσι. Καὶ ἐγένετο ἐν τῷ κινῆσαι αὐτοὺς ἀπὸ [11]) ἀνατολῶν, εὗρον πεδίον ἐν γῇ Σενναὰρ, [12]) καὶ κατῴκησαν

---

[1]) Edd. Spenc. ad marg. *μυρία ὅσια.*

[2]) Philoc. *οἶδα δὲ, εἰ καί κτλ.*

[3]) Hoeschel. et Spencerus: *τῇ διανεμήσει πρός τινα ἄλλα· περὶ μὲν οὖν τῶν ἔξω κτλ.* Sed Philocalia ut in nostro textu. R. — Jam Boherell. in notis: »Praestat Philocal. distinctio, ut legatur« etc.

[4]) Deest *λόγου* in Philocalia.

[5]) Philoc. *φαμὲν δὲ ὅτι κτλ.*

[6]) Philoc. *Μωσῆς.*

[7]) Cfr. Deut. XXXII, 8. 9.

[8]) Philoc. *Μωσῆς.*

[9]) Philoc. *τρόπῳ οὕτω φησί.*

[10]) Genes. XI, 1. 2.

[11]) Philoc. *ἀπ' ἀνατολῶν.*

[12]) Philoc. *Σεναάρ.*

ἐκεῖ.« Καὶ μετ' ὀλίγα· »κατέβη,[1]) φησὶ, κύριος[2]) ἰδεῖν τὴν πόλιν, καὶ τὸν πύργον, ὃν ᾠκοδόμησαν οἱ υἱοὶ τῶν ἀνθρώπων. Καὶ εἶπε κύριος· ἰδοὺ, γένος ἕν, καὶ χεῖλος ἓν[3]) πάντων· καὶ τοῦτο ἤρξαντο ποιῆσαι, καὶ νῦν οὐκ ἐκλείψει ἀπ' αὐτῶν πάντα, ὅσα ἂν ἐπιθῶνται ποιεῖν· δεῦτε, καὶ[4]) καταβάντες συγχέωμεν ἐκεῖ τὴν γλῶσσαν αὐτῶν, ἵνα μὴ ἀκούσωσιν ἕκαστος τὴν φωνὴν τοῦ πλησίον αὐτοῦ. Καὶ διέσπειρεν[5]) αὐτοὺς κύριος ἐκεῖθεν ἐπὶ τὸ[6]) πρόσωπον πάσης τῆς γῆς, καὶ ἐπαύσαντο οἰκοδομοῦντες τὴν πόλιν, καὶ τὸν πύργον. Διὰ τοῦτο ἐκλήθη τὸ ὄνομα αὐτῆς,[7]) σύγχυσις, ὅτι ἐκεῖ συνέχεε κύριος ὁ θεὸς τὰ χείλη πάσης τῆς γῆς, κἀκεῖθεν[8]) διέσπειρεν αὐτοὺς κύριος ὁ θεὸς ἐπὶ πρόσωπον πάσης[9]) τῆς γῆς.« Καὶ ἐν τῇ ἐπιγεγραμμένῃ δὲ Σολομῶντος σοφίᾳ περὶ τῆς σοφίας, καὶ τῶν κατὰ τὴν σύγχυσιν τῶν διαλέκτων, ἐν ᾗ γεγένηται ὁ μερισμὸς τῶν ἐπὶ τῆς[10]) γῆς, τοιαῦτα περὶ τῆς σοφίας εἴρηται· »αὕτη[11]) καὶ[12]) ἐν ὁμονοίᾳ πονηρίας ἐθνῶν συγχυθέντων ἔγνω τὸν δίκαιον, καὶ ἐφύλαξεν[13]) αὐ-

---

[1]) Cfr. Genes. XI, 5—9.

[2]) Philoc. κύριος ὁ θεὸς ἰδεῖν κτλ.

[3]) Philoc. ἓν ἁπάντων.

[4]) Philoc. καὶ καταβάντες συγχέωμεν αὐτῶν τὰς γλώσσας, ἵνα μὴ ἀκούωσιν ἕκαστος κτλ.

[5]) Philoc. διέσπειρε κύριος ἐκεῖθεν αὐτοὺς ἐπὶ πρόσωπον πάσης κτλ.

[6]) In edd. Spenc. uncis inclusum legitur: τό.

[7]) Hoeschel. et Spencer. αὐτοῦ, Philoc. αὐτῆς.

[8]) Sic Philocalia. Hoeschel. et Spencerus: κἀκεῖ διέσπειρεν. R.

[9]) Deest πάσης in Philocalia.

[10]) Deest τῆς in Philocal.

[11]) Cfr. Sap. Salom. X, 5.

[12]) Deest καί in Philocal.

[13]) Philoc. ἐφύλαξεν ἄμεμπτον θεῷ· καὶ ἐπὶ τέκνου κτλ. — Edd. Spenc. ad marg. ἐτήρησεν.

τὸν ἄμεμπτον τῷ θεῷ, καὶ ἐπὶ τέκνου σπλάγχνοις ἰσχυρὸν ἐφύλαξε.« *Πολὺς*[1]) δ' ὁ λόγος καὶ μυστικὸς ὁ περὶ τούτων, ᾧ ἁρμόζει τό· »μυστήριον[2]) βασιλέως κρύπτειν, καλόν·« ἵνα μὴ εἰς τὰς τυχούσας ἀκοὰς ὁ περὶ[3]) ψυχῶν οὐκ ἐκ μετενσωματώσεως εἰς σῶμα ἐνδυομένων[4]) λόγος ῥιπτῆται, μηδὲ τὰ ἅγια διδῶται[5]) τοῖς κυσὶ, μηδ'[6]) οἱ μαργαρῖται παραβάλλωνται[7]) χοίροις. Ἀσεβὲς γὰρ τὸ τοιοῦτον, προδοσίαν περιέχον τῶν ἀποῤῥήτων τῆς τοῦ θεοῦ σοφίας (251) λογίων·[8]) περὶ ἧς καλῶς γέγραπται· »εἰς[9]) κακότεχνον ψυχὴν οὐκ εἰσελεύσεται σοφία, οὐδὲ κατοικήσει ἐν σώματι κατάχρεῳ ἁμαρτίας.« Ἀρκεῖ δὲ τὰ κεκρυμμένως, ὡς ἐν ἱστορίας τρόπῳ εἰρημένα, κατὰ τὸν τῆς ἱστορίας παραστῆσαι τρόπον, ἵν' οἱ δυνάμενοι ἑαυτοῖς ἐπεξεργάσωνται τὰ κατὰ τὸν τόπον.

30. *Νοείσθωσαν τοίνυν πάντες οἱ ἐπὶ γῆς μιᾷ τινι διαλέκτῳ θείᾳ χρώμενοι, καὶ*[10]) ὅσον γε συμφωνοῦσι πρὸς ἀλλήλους, τηρείσθωσαν ἐν τῇ θείᾳ διαλέκτῳ· καὶ ἔστωσαν ἀκίνητοι τῶν ἀνατολῶν, ἐς[11]) ὅσον εἰσὶ τὰ τοῦ φωτὸς, καὶ τοῦ ἀπὸ φωτὸς ἀϊδίου ἀπαυγάσματος φρονοῦντες. *Καὶ οὗτοι, ἐπὰν κινήσωσιν ἀπὸ τῶν ἀνα-*

---

[1]) Philoc. *Πολὺς δὲ ὁ λόγος.*

[2]) Cfr. Tob. XII, 7.

[3]) Philoc. *περὶ τῶν ψυχῶν.* — Vide lib. I. contra Cels. num. 32. et num. 33.

[4]) Sic recte Philocalia. Hoeschel. et Spencer. *ἐνδουμένων.* R. — Jam Boherell. in notis: »Forte: *ἐνδυομένων.*«

[5]) Philoc. *διδῶται κυσί.* Hoeschel. et Spencerus: *διδῶνται τοῖς κυσί.* — Cfr. Matth. VII, 6.

[6]) Philoc. *μηδέ.*

[7]) Philoc. *παραβάλλωνται τοῖς χοίροις.* — Cfr. Matth. VII, 6.

[8]) Philoc. *λόγων.* [9]) Sap. Salom. I, 4.

[10]) Philoc. *καὶ ὅσοι γε συμφωνοῦσι.*

[11]) Philoc. itemq. edd. Spenc. ad marg. *εἰς ὅσον.*

τολῶν ἑαυτοὺς, ἀλλότρια ἀνατολῶν [1]) φρονοῦντες, εὑρισκέτωσαν πεδίον ἐν [2]) γῇ Σενναάρ, (ὅπερ ἑρμηνεύεται ὀδόντων ἐκτιναγμὸς, κατὰ σύμβολον τοῦ ἀπολλύναι αὐτοὺς τὰ δι' ὧν τρέφονται,) καὶ κατοικείτωσαν [3]) ἐκεῖ. Εἶτα τὰ τῆς ὕλης συναγαγεῖν [4]) θέλοντες, καὶ κολλᾷν τὰ μὴ πεφυκότα κολλᾶσθαι οὐρανῷ, ἵνα [5]) διὰ τῶν ὑλικῶν ἐπιβουλεύσωσι τοῖς ἀΰλοις, λεγέτωσαν· »δεῦτε, [6]) πλινθεύσωμεν πλίνθους, καὶ ὀπτήσωμεν αὐτὰς [7]) πυρί.« Ὡς οὖν κρατύνοντες καὶ πηγνύντες τὰ πήλινα καὶ ὑλικὰ, καὶ τὴν πλίνθον λίθον ποιεῖν θέλοντες, καὶ τὸν πηλὸν ἄσφαλτον, καὶ διὰ τούτων οἰκοδομεῖν πόλιν καὶ πύργον· οὗ, ὅσον ἐπὶ τῇ ὑπολήψει αὐτῶν, ἔσται ἡ κεφαλὴ ἕως τοῦ οὐρανοῦ κατὰ [8]) τὰ ὑπεραιρόμενα ὑψώματα κατὰ τῆς γνώσεως τοῦ θεοῦ· παραδιδόσθωσαν ἕκαστος, (κατὰ [9]) τὴν ἀναλογίαν τῆς ἀπὸ ἀνατολῶν κινήσεως, [10]) ἢ ἐπὶ πλεῖον, ἢ ἐπ' ἔλαττον αὐτοῖς γεγενημένης, καὶ κατὰ τὴν [11]) ἀναλογίαν τῆς κατασκευῆς τῶν πλίνθων εἰς λίθους, καὶ τοῦ πηλοῦ εἰς ἄσφαλτον, καὶ τῆς ἐκ τούτων οἰκοδομῆς,) ἀγγέλοις ἐπὶ πλεῖον, ἢ ἐπ' ἔλαττον χαλεπωτέροις, καὶ τοι-

---

[1]) Deest ἀνατολῶν in Philoc.

[2]) Philoc. ἐν γῇ Σεναάρ· ὃ ἑρμηνεύεται κτλ.

[3]) Philoc. κατοικήτωσαν.

[4]) Philoc. συνάγειν.

[5]) Philoc. ἵνα διὰ τῶν ὑλικῶν τοῖς ἀΰλοις ἐπιβουλεύσωσι, λεγέτωσαν.

[6]) Cfr. Genes. XI, 3.

[7]) Philoc. αὐτάς. Hoeschel. et Spencerus: αὐτούς.

[8]) Verba: κατὰ τὰ ὑπεραιρόμενα ὑψώματα κατὰ τῆς γνώσεως τοῦ θεοῦ, quae in Hoeschel. et Spenceri edd. desiderantur, supplentur e Philocalia. R. — Cfr. pag. 213. not. 7. sub finem.

[9]) Edd. Spenc. ad marg. καὶ τὴν ἀπολογίαν τῆς κτλ.

[10]) Philoc. κινήσεως ἐπὶ πλέον, ἢ ἐπ' ἔλαττον κτλ.

[11]) Deest τήν in Philoc.

οἵσδε, ἢ τοιοῖσδε, ἕως [1]) τίσωσι δίκας ἐφ' οἷς τετολμήκασι· καὶ ὑπὸ τῶν ἀγγέλων ἀγέσθωσαν ἕκαστος τῶν ἐμποιησάντων τὴν οἰκείαν ἑαυτοῖς διάλεκτον ἐπὶ τὰ μέρη τῆς γῆς κατὰ [2]) τὴν ἑαυτῶν ἀξίαν, οἵδε μὲν ἐπὶ τήν, φέρ' εἰπεῖν, καυσώδη χώραν, ἄλλοι [3]) δ' ἐπὶ τὴν διὰ τὸ κατεψύχθαι κολάζουσαν τοὺς ἐνοικοῦντας· καὶ οἱ μὲν ἐπὶ τὴν δυσγεωργητοτέραν, ἄλλοι δὲ ἐπὶ τὴν ἔλαττον τοιαύτην· καὶ οἱ μὲν ἐπὶ τὴν πεπληρωμένην θηρίων, οἱ δὲ ἐπὶ [4]) τὴν ἐπ' ἔλαττον ἔχουσαν αὐτά.

31. Εἶτα εἴ τις δύναται ὡς ἐν ἱστορίας σχήματι, ἐχούσης μέν τι καὶ καθ' [5]) αὐτὴν ἀληθὲς, ἐμφαινούσης δέ τι καὶ ἀπόῤῥητον, ἰδέτω καὶ τοὺς τὴν ἐξ ἀρχῆς διάλεκτον τετηρηκότας, τῷ μὴ κεκινηκέναι ἀπ' ἀνατολῶν, μένοντας ἐν τῇ ἀνατολῇ καὶ τῇ ἀνατολικῇ διαλέκτῳ· καὶ νοείτω τούτους μόνους γεγονέναι μερίδα [6]) κυρίου, καὶ λαὸν αὐτοῦ τὸν καλούμενον Ἰακὼβ, γεγονέναι [7]) δὲ καὶ σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ· καὶ οὗτοι μόνοι ἐπιστατείσθωσαν [8]) ὑπὸ ἄρχοντος, οὐκ ἐπὶ κολάσει παρειληφότος τοὺς ὑπ' αὐτῷ, ὥσπερ οἱ ἄλλοι. Βλεπέτω [9]) δ' ὁ δυνάμενος ὡς ἐν ἀνθρώποις, ἐν τῇ τούτων πολιτείᾳ, τῶν τεταγμένων κατὰ τὴν διαφέρουσαν μερίδα τῷ κυρίῳ γενομένας [10]) ἁμαρτίας, πρότε-

---

[1]) Vide lib. IV. contra Cels. num. 10. 11. — In seqq. Boherell. in notis: »Verba: τῶν ἐμποιησάντων, refer ad verba: τῶν ἀγγέλων.«

[2]) Desunt in Philoc. verba: κατὰ τὴν ἑαυτῶν ἀξίαν.

[3]) Philoc. ἄλλοι δὲ ἐπὶ τήν κτλ.

[4]) Philoc. ἐπὶ τὴν ἔλαττον ἔχουσαν κτλ.

[5]) Edd. Spenc. κατ' αὐτήν.

[6]) Cfr. Deut. XXXII, 9.

[7]) Omittuntur in Philocalia, et abesse possunt verba: γεγονέναι δέ. R.

[8]) Philoc. ἐπιστατείθωσαν.

[9]) Philoc. Βλεπέτω δὲ ὁ δυνάμενος κτλ.

[10]) Sic Philocalia. Hoeschel. et Spencerus: γινομένας.

ρον μὲν ἀνεκτὰς, καὶ (252) τοιαύτας, ὡς μὴ πάντη ἀξίους εἶναι αὐτοὺς τοῦ ἐγκαταλείπεσθαι· ὕστερον δὲ πλείονας μὲν, ἀλλ' ἔτι ἀνεκτάς. Καὶ [1]) τοῦτ' ἐπὶ πλείονα χρόνον νοῶν γινόμενον, καὶ ἀεὶ θεραπείαν προσαγομένην, καὶ ἐκ διαλειμμάτων τούτους ἐπιστρέφοντας, ὁράτω αὐτοὺς καταλειπομένους κατὰ τὴν ἀναλογίαν τῶν ἁμαρτανομένων τοῖς λαχοῦσι τὰς ἄλλας χώρας, πρότερον μὲν ἐπὶ [2]) τὸ ἔλαττον [3]) αὐτοὺς κολασθέντας, καὶ τίσαντας δίκην, ὡσπερεὶ παιδευθέντας, ἐπανελθεῖν εἰς τὰ οἰκεῖα· ὕστερον δὲ βλεπέτω αὐτοὺς παραδεδομένους [4]) χαλεπωτέροις ἄρχουσιν, ὡς ἂν ὀνομάσαιεν αἱ γραφαὶ, Ἀσσυρίοις, εἶτα Βαβυλωνίοις. Εἶτα, προσαγομένων θεραπειῶν, ὁράτω [5]) τούτους οὐδὲν ἧττον αὔξοντας τὰ ἁμαρτανόμενα, καὶ διὰ [6]) τοῦτ' ἐπισπειρομένους ὑπὸ τῶν διαρπαζόντων αὐτοὺς ἀρχόντων τῶν λοιπῶν ἐθνῶν ταῖς ἄλλαις μερίσιν. Ὁ [7]) δ' ἄρχων αὐτῶν ἐπίτηδες παρορᾶτω [8]) διαρπαζομένους αὐτοὺς ὑπὸ τῶν ἐν τοῖς λοιποῖς ἔθνεσιν ἀρχόντων· ἵνα καὶ αὐτὸς εὐλόγως, ὡσπερεὶ ἑαυτὸν ἐκδικῶν, λαβὼν ἐξουσίαν ἀποσπάσαι τῶν λοιπῶν ἐθνῶν οὓς ἂν δύνηται, τὸ τοιοῦτο ποιήσῃ, καὶ [9]) νόμους τε αὐτοῖς θῆται, καὶ βίον ὑποδείξῃ καθ' ὃν βιωτέον· ἵνα [10]) αὐτοὺς ἀνα-

---

[1]) Philoc. καὶ τοῦτο ἐπὶ πλείονα χρόνον νῦν γινόμενον, καὶ ἀεί κτλ.

[2]) Hoeschel. et Spencerus: ἐπὶ τῷ ἔλαττον.

[3]) Hoeschel. in textu, edd. Spenc. ad marg. ἔλαττον ἀπὸ τοῦ τοὺς κολασθέντας.

[4]) Philoc. παραδιδομένους.

[5]) Philoc. ὁράτω τοὺς οὐδὲν ἧττον κτλ.

[6]) Philoc. διὰ τοῦτο.

[7]) Philoc. Ὁ δὲ ἄρχων.

[8]) Boherell. in notis: »Bene: παρορᾶτω, nec mutari debet in παρώρατο.«

[9]) Philoc. καὶ νόμους γε αὐτοῖς.

[10]) Philoc. ἵν' αὐτούς.

γάγῃ ἐπὶ τέλος, ἐφ' ὅπερ ἀνήγαγε[1]) τοὺς μὴ[2]) ἁμαρτάνοντας ἐκ[3]) τοῦ προτέρου ἔθνους.

32. Καὶ διὰ τούτου μανθανέτωσαν οἱ δυνάμενοι τὰ[4]) τηλικαῦτα βλέπειν, ὅτι πολλῷ δυνατώτερος ὁ λαχὼν τοὺς πρότερον μὴ ἡμαρτηκότας τῶν λοιπῶν ἐστιν· ἐπεὶ δεδύνηται ἀπὸ τῆς πάντων μερίδος ἐπιλέκτους λαβὼν ἀποστῆσαι μὲν αὐτοὺς τῶν[5]) ἐπὶ κολάσει παρειληφότων, προσαγαγεῖν δὲ νόμοις καὶ βίῳ συμβαλλομένῳ[6]) εἰς ἀμνηστίαν τῶν προημαρτημένων αὐτοῖς. Ἀλλ', ὡς προείπομεν, ταῦτα ἡμῖν ἐπικεκρυμμένως λελέχθω, παριστᾶσιν ὧν παρήκουσαν οἱ φήσαντες, τὰ »μέρη τῆς γῆς ἐξ ἀρχῆς ἄλλα ἄλλοις ἐπόπταις νενεμημένα, κατά τινας ἐπικρατείας διειλημμένα, ταύτῃ διοικεῖσθαι·« ἀφ' ὧν καὶ ὁ Κέλσος λαβὼν[7]) τὰς ἐγκειμένας εἶπε λέξεις. Ἐπεὶ[8]) δ' οἱ κινήσαντες ἀπὸ ἀνατολῶν, δι' ἃ ἥμαρτον, παρεδύθησαν[9]) »εἰς ἀδόκιμον νοῦν,« καὶ »εἰς[10]) πάθη ἀτιμίας,« καὶ »ἐν[11]) ταῖς ἐπιθυμίαις τῶν καρδιῶν αὐτῶν εἰς ἀκαθαρσίαν,« ἵνα κορεσθέντες τῆς ἁμαρτίας μισήσωσιν αὐτήν· οὐχ ὑποκεισόμεθα τῷ[12]) Κέλσου ἀρέσκοντι φάσκοντος »διὰ τοὺς

---

[1]) Sic Philocalia. Hoeschel. et Spencerus: ἀνῆγε. R.

[2]) In edd. Spenc. uncis inclusum legitur: μή.

[3]) Sic Philocalia. Hoeschel. et Spencerus: ἀπὸ τοῦ προτέρου ἔθνους. R.

[4]) Philoc. τὰ τοιαῦτα βλέπειν.

[5]) Philoc. τῶν ἐπὶ κολάσει προειληφότων.

[6]) Sic Philocalia. Hoeschel. et Spencerus: συνεμβαλλομένῳ. R.

[7]) Apud Hoeschel. et Spencer. deest: λαβών, quod suppletur e Philocalia; Guieto autem pro: ἐγκειμένας, scribendum videtur: ἐκκειμένας. R. — Jam Boherell. in notis: »E Philocalia adde: λαβών.«

[8]) Philoc. Ἐπεὶ δὲ οἱ κινήσαντες ἀπ' ἀνατολῶν.

[9]) Cfr. Rom. I, 28. [10]) Cfr. Rom. I, 26.

[11]) Cfr. Rom. I, 24.

[12]) Sic Philoc. (itemq. edd. Spenc. in textu). Hoe-

νενεμημένους ἐπόπτας τοῖς μέρεσι τῆς γῆς τὰ παρ' ἑκάστοις ὀρθῶς πράττεσθαι·« ἀλλὰ καὶ βουλόμεθα, οὐχ[1]) *ὅπη ἢ ἐκείνοις φίλον, ποιεῖν τὰ ἐκείνων. Ὁρῶμεν γὰρ, ὅτι ὅσιον μὲν τὰ ἐξ ἀρχῆς κατὰ τόπους νενομισμένα λύειν ἐστὶ*[2]) *νόμοις κρείττοσι καὶ θειοτέροις, οἷς ὡς δυνατώτατος ἔθετο*[3]) *Ἰησοῦς, ἐξελόμενος ἡμᾶς ἀπὸ*[4]) *τοῦ αἰῶνος τοῦ ἐνεστῶτος πονηροῦ, καὶ »τῶν*[5]) *ἀρχόντων τοῦ αἰῶνος τούτου τῶν καταργουμένων·« ἀνόσιον δὲ τὸ μὴ ἐπιῤῥίψαι ἑαυτὸν*[6]) *τῷ πάντων ἀρχόντων φανέντι καὶ ἀποδειχθέντι καθαρωτέρῳ*[7]) *καὶ δυνατωτέρῳ, πρὸς ὃν εἶπεν ὁ θεὸς, ὡς οἱ προφῆται πρὸ*[8]) *πολλῶν* (253) *προεῖπον γενεῶν· »αἴτησαι*[9]) *παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς.« Καὶ*[10]) *γὰρ αὐτὸς προσδοκία γέγονεν ἡμῶν, τῶν ἀπὸ ἐθνῶν πιστευσάντων εἰς αὐτὸν, καὶ τὸν ἐπὶ πᾶσι θεὸν πατέρα αὐτοῦ.*[11])

---

schel. autem in textu (edd. Spenc. ad marg.) *τῷ Κέλσῳ ἀρέσκοντι φάσκοντι.* R.

[1]) Philoc. *οὐχ ὅπη ἐκείνοις φίλον ποιεῖν τὰ παρ' ἐκείνων.*

[2]) Boherell. in notis: »Longius abest vox: *ἐστί*, a voc. *ὅσιον*, mutandamque puto in *ἐπί*.«

[3]) Philoc. *ἔθετο ὁ Ἰησοῦς.*

[4]) Philoc. *ἀπὸ τοῦ ἐνεστῶτος αἰῶνος πονηροῦ, καὶ τῶν κτλ.* — Cfr. Gal. I, 4.

[5]) Cfr. I Cor. II, 6.

[6]) Sic Philocalia. Hoeschel. et Spencerus: *αὐτόν*. R. — Jam Boherell. in notis: »Lege: *ἑαυτόν*, e Philocalia.«

[7]) Sic Philocalia. Apud Hoeschel. et Spencer. deest: *καθαρωτέρῳ*. R.

[8]) Philoc. *πρὸ πολλῶν εἶπον γενεῶν.*

[9]) Psalm. II, 8.

[10]) Philoc. *καὶ γὰρ αὐτὸς γέγονε προσδοκία ἡμῶν τῶν ἀπὸ ἐθνῶν κτλ.*

[11]) Hactenus Philocalia. Cfr. tamen libri huj. num. 35.

33. *Ταῦτα δὲ οὐ μόνον πρὸς τὰ ἐγκείμενα περὶ τῶν ἐποπτῶν ἡμῖν λέλεκται, ἀλλὰ καὶ μετρίως προλαμβάνουσι τὰ ὑπὸ τοῦ Κέλσου πρὸς ἡμᾶς λεγόμενα, ἐν οἷς φησιν· »ἴτω*[1] *δὲ ὁ δεύτερος· ἐρήσομαι δὲ αὐτοὺς, πόθεν ἥκουσιν, ἢ*[2] *τίνα ἔχουσιν ἀρχηγέτην πατρίων*[3] *νόμων. Οὐδένα φήσουσιν, οἵ γε ἐκεῖθεν μὲν*[4] *ὥρμηνται καὶ αὐτοὶ, καὶ τὸν διδάσκαλόν τε καὶ χοροστάτην οὐκ ἄλλοθέν ποθεν φέρουσιν· ὅμως δ' ἀφεστήκασιν Ἰουδαίων.« Ἥκομεν οὖν ἡμεῖς ἕκαστος ἐν*[5] *ταῖς ἐσχάταις ἡμέραις, ὅτε ὁ Ἰησοῦς ἡμῶν ἐπιδεδήμηκεν, εἰς τὸ ἐμφανὲς ὄρος κυρίου, τὸν ὑπεράνω παντὸς λόγου λόγον, καὶ εἰς τὸν οἶκον τοῦ θεοῦ, ὅς*[6] *»ἐστιν ἐκκλησία θεοῦ ζῶντος, στύλος καὶ ἑδραίωμα τῆς ἀληθείας.« Καὶ ὁρῶμεν, τίνα τρόπον*[7] *οὗτος οἰκοδομεῖται ἐπὶ*[8] *ἄκρων τῶν ὀρέων, πάντων τῶν προφητικῶν*[9] *λόγων, οἵτινες αὐτοῦ θεμέλιός εἰσιν. Ὑψοῦται*[10] *δ' οὗτος ὁ οἶκος ὑπεράνω τῶν βουνῶν, τῶν δοκούντων τι ἐξαίρετον παρὰ ἀνθρώποις ἐν σοφίᾳ καὶ ἀληθείᾳ ἐπαγγέλλεσθαι. Καὶ*[11] *ἐρχόμεθα πάντα τὰ ἔθνη ἐπ' αὐτὸ, καὶ πορευόμεθα τὰ πολλὰ ἔθνη, καὶ λέγομεν ἀλλήλοις, προτρέποντες ἐπὶ τὴν ἐν ἐσχάταις ἡμέραις ἀναλάμψα-*

---

[1]) Boherell. in notis: »Subaudi: *χορός*. Haec enim, de Christianis intelligenda, cum iis, apud Celsum, cohaerebant, quae, de Judaeis dicta, ab Origene afferuntur libri hujus num. 41. sub finem: *Οὗτος μὲν οὖν ὁ χορὸς ἀπίτω*.«

[2]) Hoeschel. in textu, edd. Spenc. ad marg. *καὶ τίνα*.

[3]) Edd. Spenc. *πάτριον νόμον*.

[4]) In edd. Spenc. uncis inclusum legitur: *μέν*.

[5]) Cfr. Jesai. II, 2. [6]) Cfr. 1 Tim. III, 15.

[7]) Hoeschel. in textu male, edd. Spenc. ad marg. *τόπον*. [8]) Cfr. Jesai. II, 2.

[9]) Cfr. Ephes. II, 20. [10]) Cfr. Jesai. II, 2.

[11]) Codd. Reg. et Basileensis: *Καὶ ἐρχόμεθα πάντα τὰ ἔθνη, καὶ λέγομεν*, omissis istis: *ἐπ' αὐτὸ καὶ πορευόμεθα τὰ πολλὰ ἔθνη*. R. — Cfr. Jesai. II, 2. 3.

σαν διὰ Ἰησοῦ Χριστοῦ θεοσέβειαν· »δεῦτε,[1]) καὶ ἀναβῶμεν εἰς τὸ ὄρος τοῦ κυρίου, καὶ εἰς τὸν οἶκον τοῦ θεοῦ Ἰακώβ· καὶ ἀναγγελεῖ ἡμῖν τὴν ὁδὸν αὐτοῦ,[2]) καὶ πορευσόμεθα ἐν αὐτῇ.« Ἐξῆλθε[3]) γὰρ ἀπὸ τῶν ἐν Σιὼν νόμος, καὶ μετέστη ἐφ' ἡμᾶς πνευματικός. Ἀλλὰ καὶ ὁ λόγος[4]) κυρίου ἐξῆλθεν ἀπ' ἐκείνης τῆς Ἱερουσαλὴμ, ἵνα πανταχοῦ νεμηθῇ, καὶ κρίνῃ ἀνὰ μέσον τῶν ἐθνῶν, ἐκλεγόμενος μὲν οὓς ὁρᾷ εὐπειθεῖς, ἐλέγχῃ δὲ λαὸν πολὺν τὸν ἀπειθῆ. Καί φαμέν γε πρὸς τοὺς ἐρομένους ἡμᾶς, πόθεν ἥκομεν, ἢ τίνα ἔχομεν ἀρχηγέτην· ὅτι ἤλθομεν, κατὰ τὰς Ἰησοῦ ὑποθήκας, συγκόψαι[5]) τὰς πολεμικὰς ἡμῶν λογικὰς μαχαίρας καὶ ὑβριστικὰς εἰς ἄροτρα, καὶ τὰς κατὰ τὸ πρότερον ἡμῶν μάχιμον ζιβύνας εἰς δρέπανα μετασκευάζομεν. Οὐκέτι γὰρ λαμβάνομεν ἐπ' ἔθνος μάχαιραν, οὐδὲ[6]) μανθά-

---

[1]) Cfr. Jesai. II, 3.

[2]) Boherell. in notis: αὐτοῦ.

[3]) Cfr. Jesai. II, 3. [4]) Cfr. Jesai. II, 3. 4.

[5]) Cfr. Jesai. II, 4.

[6]) Idem docet lib. VIII. contra Cels. num. 73. et 74. Idem quoque tradit lib. VII. num. 26. At sibi satis non constat. Nam lib. I. num. 1. bellum aliquando justum esse agnoscit, et rebelles recte opprimi scribit: Ὥσπερ γὰρ, εἰ ὑπὲρ τοῦ τύραννον προλαβόντα τὰ τῆς πόλεως ἀνελεῖν συνθήκας τινὲς κρύβδην ἐποιοῦντο, καλῶς ἂν ἐποίουν· οὕτω κτλ. Item libro IV. num. 82., postquam bella apum et fucorum descripsit, addit: Τάχα δὲ καὶ οἱ οἱονεὶ πόλεμοι τῶν μελισσῶν, διδασκαλία ἔγκειται πρὸς τὸ δικαίους καὶ τεταγμένους πολέμους, εἴ ποτε δέοι, γίγνεσθαι ἐν ἀνθρώποις. Quae sic conciliari posse judicat Wetstenius, Origenem in thesi non improbasse, sed in hypothesi Christianis bella et capitalia supplicia non permisisse: in hoc, velut in aliis, singulari ductum opinione. Vide quae Spencer. observavit ad libri octavi num. 73. Ruaeus.

νομεν ἔτι πολεμεῖν, γενόμενοι διὰ τὸν Ἰησοῦν υἱοὶ τῆς εἰρήνης· ὃς ἐστιν ἡμῶν ἀρχηγὸς, ἀντὶ τῶν πατρίων, ἐν οἷς ξένοι [1]) τῶν διαθηκῶν ἐτυγχάνομεν, λαμβάνοντες νόμον, ἐφ' ᾧ χάριτας ὁμολογοῦντες τῷ ἡμᾶς ὑσαμένῳ ἀπὸ τῆς πλάνης, λέγομεν· »ὡς [2]) ψευδῆ ἐκτήσαντο οἱ πατέρες ἡμῶν εἴδωλα, καὶ οὐκ ἔστιν ἐν αὐτοῖς ὑετίζων.« Ὁ χοροστάτης οὖν ἡμῶν καὶ διδάσκαλος, ἀπὸ Ἰουδαίων ἐξελθὼν, ὅλην νέμεται τῷ λόγῳ τῆς διδασκαλίας ἑαυτοῦ τὴν οἰκουμένην. Καὶ ταῦτα μὲν προλαβόντες, πολλοῖς ἐπιφερομένην τοῦ Κέλσου (254) λέξιν, ὅση δύναμις, ἀνετρέψαμεν, [3]) συνάπτοντες [4]) τοῖς ἐγκειμένοις αὐτοῦ ῥητοῖς.

34. Ἵνα [5]) δὲ μὴ παρέλθωμεν τὰ ἐν τοῖς μεταξὺ λελεγμένα τῷ Κέλσῳ· φέρ', ἐκθώμεθα καὶ ταῦτα. »Χρήσαιτο δ' ἄν τις καὶ Ἡροδότῳ πρὸς τόδε μάρτυρι, λέγοντι ὧδε·« »»οἱ [6]) γὰρ δὴ ἐκ Μαρέης τε πόλιος καὶ Ἄπιος, οἰκέοντες Αἰγύπτου τὰ πρόσουρα Λιβύῃ, αὐτοί τε δοκέοντες εἶναι Λίβυες, καὶ οὐκ Αἰγύπτιοι, καὶ ἀχθόμενοι τῇ [7]) περὶ τὰ ἱρὰ θρησκείῃ, βουλόμενοι θηλέων [8]) βοῶν μὴ ἔργεσθαι, [9]) ἔπεμψαν [10]) εἰς [11]) Ἄμ-

[1]) Cfr. Ephes. II, 12.

[2]) Cfr. Jerem. XVI, 19. coll. XIV, 22.

[3]) Sic in marg. habent Hoeschel. et Spencerus; quae lectio potior videtur altera: *ἀνατρέψωμεν*, quam in textu Hoeschel. et Spencer. sequuntur. R.

[4]) Guieto scribendum videtur: *συνάπτοντες τοῖς ἐγκειμένοις αὐτοῦ ῥητοῖς*. R.

[5]) Hoeschel. et Spencer. in textu posuerunt: *Ἵνα μὴ δὲ παρέλθωμεν*, sed praestat eorum lectio marginalis, quam sequimur. R. [6]) Cfr. Herodot. lib. II. cap. 18.

[7]) Edd. Herodoti: *τῇ περὶ τὰ ἱρὰ θρησκίῃ*.

[8]) Hoeschel. in textu, edd. Spenc. ad marg. *θηλέων βωμῶν μὴ εἴργεσθαι*.

[9]) Edd. Herodoti: *εἴργεσθαι*. Cfr. pag. huj. not. 8.

[10]) Edd. Herodoti: *ἔπεμψαν ἐς Ἄμμωνα*.

[11]) Hoeschel. in textu male, edd. Spenc. ad marg. *εἰς Ἄμμωνα εἰργόμενοι οὐδὲν σφίσι*

μωνα, φάμενοι οὐδὲν σφίσι τε καὶ Αἰγυπτίοισι κοινὸν εἶναι· οἰκέειν [1]) γὰρ ἔξω τοῦ Δέλτα, καὶ [2]) οὐχ ὁμολογέειν αὐτοῖσι, βούλεσθαί τε πάντων [3]) σφίσιν [4]) ἐξεῖναι γεύεσθαι. [5]) Ὁ δὲ θεὸς [6]) οὐκ ἐᾷ σφέας ποιέειν ταῦτα, φὰς Αἴγυπτον εἶναι ταύτην, τὴν [7]) ὁ Νεῖλος ἐπιὼν ἄρδει· καὶ Αἰγυπτίους εἶναι τούτους, οἳ [8]) ἔνερθεν Ἐλεφαντίνης πόλιος οἰκέοντες ἀπὸ τοῦ ποταμοῦ τούτου πίνουσιν. « »Ἡροδότῳ μὲν τάδε ἱστόρηται. Ὁ δὲ Ἄμμων οὐδέν τι κακίων διαπρεσβεῦσαι τὰ δαιμόνια, ἢ οἱ Ἰουδαίων ἄγγελοι· ὥστε οὐδὲν ἄδικον, ἕκαστους τὰ σφέτερα νόμιμα θρησκεύειν. Ἀμέλει πλεῖστον αὐτῶν εὑρήσομεν κατὰ ἔθνη τὸ διαφέρον· καὶ ὅμως ἕκαστοι αὐτοὶ μάλιστα εὖ νομίζειν δοκοῦσιν· Αἰθιόπων μὲν οἱ Μερόην οἰκοῦντες [9]) Λία καὶ Διόνυσον μόνους σέβοντες· Ἀράβιοι δὲ τὴν Οὐρανίαν καὶ Διόνυσον τούτους μόνους· Αἰγύπτιοι δὲ πάντες μὲν Ὄσιρίν τε καὶ Ἶσιν· Σαΐται δὲ Ἀθηνᾶν· Ναυκρατῖται δὲ, οὐ [10]) πάλαι ἀρξάμενοι, ὠνόμασαν Σάραπιν· καὶ οἱ λοιποὶ κατὰ νόμους ὡς ἕκαστοι. Καὶ οἱ μὲν ὀΐων [11]) ἀπέχονται, σέβοντες ὡς ἱερούς· οἱ δὲ, αἰγῶν· οἱ δὲ κροκο-

---

[1]) Edd. Herodoti: *οἰκέειν τε γὰρ ἔξω κτλ.*

[2]) Edd. Herodot., itemq. edd. Spenceri: *καὶ οὐκ ὁμολογέειν.*

[3]) Sic recte Codd. Reg. et Basileensis. Hoeschel. (itemq. edd. Spenc.) *πάντως σφίσιν ἐξεῖναι.* R.

[4]) Edd. Herodoti: *σφίσι ἐξεῖναι.*

[5]) Sic recte Codd. Reg. et Basileensis. Hoeschel. (in textu, edd. Spenc. ad marg.) *γενέσθαι.*

[6]) Edd. Herodoti: *θεὸς σφεας οὐκ ἔα ποιέειν.*

[7]) Hoeschel. in textu, edd. Spenc. ad marg. *ἣν ὁ Νεῖλος κτλ.*

[8]) Edd. Herodoti: *οἳ ἔνερθε Ἐλεφαντίνης κτλ.*

[9]) Edd Spenc. ad marg. *οἰκοῦντες δὲ ἃ καί.*

[10]) Hoeschel. in textu, edd. Spenc. ad marg. *οὐ πάνυ ἀρξάμενοι.*

[11]) Edd Spenc ad marg. *οἰῶν.*

δείλων· οἱ δὲ βοῶν θηλειῶν· συῶν δὲ ἀπέχονται βδελυττόμενοι. Σκύθαις γε μὴν καὶ ἀνθρώπους δαίνυσθαι καλόν. Ἰνδῶν δέ εἰσιν οἱ καὶ τοὺς πατέρας ἐσθίοντες ὅσια δρᾶν νομίζουσι· καί πού φησιν ὁ αὐτὸς Ἡρόδοτος. Χρήσομαι δὲ αὖθις αὐταῖς ἐκείνου λέξεσι, πίστεως εἵνεκα· ἱστορεῖ δὲ ὧδε·« »»Εἰ[1]) γάρ τις προθείη[2]) πᾶσιν ἀνθρώποισιν,[3]) ἐκλέξασθαι κελεύων νόμους τοὺς καλλίστους ἐκ τῶν πάντων νόμων· διασκεψάμενοι ἂν ἑλοίατο ἕκαστοι τοὺς ἑωυτῶν. Οὕτω νομίζουσι πουλύ[4]) τι καλλίστους τοὺς[5]) ἑωυτῶν νόμους ἕκαστοι εἶναι. Οὔκων[6]) εἰκός[7]) ἐστιν ἄλλον γε, ἢ μαινόμενον ἄνδρα γέλωτα τὰ τοιαῦτα τίθεσθαι. Ὡς[8]) δ' οὕτω νενομίκασι τὰ περὶ τοὺς νόμους[9]) οἱ πάντες ἄνθρωποι· πολλοῖσι[10]) καὶ ἄλλοισι τεκμηρίοισι πάρεστι σταθμώσασθαι, ἐν δὲ δὴ καὶ τῷδε. Δαρεῖος, ἐπὶ τῆς ἑωυτοῦ ἀρχῆς καλέσας Ἑλλήνων τοὺς παρεόντας[11]) εἴρετο,[12]) ἐπὶ κόσῳ ἂν χρήματι βουλοίατο τοὺς πατέρας

---

[1]) Cfr. Herodot. lib. III. cap. 38.

[2]) Hoeschel. in textu, edd. Spenc. ad marg. *προσθείη*.

[3]) Edd. Herodoti: *ἀνθρώποισι ἐκλέξασθαι κτλ.* — In seqq. in verbis: *ἐκ τῶν πάντων νόμων*, uncis inclusum legitur *τῶν* in edd. Spenceri.

[4]) Edd. Herodoti: *πολύ τι*.

[5]) Edd. Spenc. et Ruaei hoc loco: *ἑαυτῶν*.

[6]) Hoeschel. in textu male, edd. Spenc. ad marg. *Οὐχ ὧν εἰκός ἐστιν*.

[7]) Edd. Herodoti: *οἰκός ἐστι ἄλλον γε δὴ ἢ μαινόμενον κτλ.*

[8]) Edd. Herodoti: *Ὡς δὲ οὕτω κτλ.*

[9]) Edd. Herodoti: *νόμους πάντες οἱ ἄνθρωποι*.

[10]) Edd. Herodoti: *πολλοῖσί τε καὶ ἄλλοισι*.

[11]) Ed. Ruaei: *παρέοντας*, edd. vero Spenc. in textu: *παριόντας*, ad marg. *παρεόντας*.

[12]) Hoeschel. in textu: *ἤρετο*, edd. Spenc. ad marg. *ἤρετο*.

ἀποθνήσκοντας κατασιτέεσθαι· οἱ [1]) δὲ ἔφασαν ἐπ' οὐδενὶ ἕρδειν [2]) ἂν τοῦτο. Δαρεῖος δὲ μετὰ ταῦτα καλέσας Ἰνδῶν τοὺς καλεομένους Καλλατίας, οἳ τοὺς γονέας κατεσθίουσιν, εἴρετο, [3]) παρεόντων τῶν Ἑλλήνων, καὶ [4]) δι' ἑρμηνέως μανθανόντων τὰ λεγόμενα, ἐπὶ τίνι χρήματι δεξαίατ' [5]) ἂν (255) τελευτέοντας τοὺς πατέρας κατακαίειν πυρί· οἱ δὲ ἀμβώσαντες μέγα εὐφημέειν [6]) μὲν ἐκέλευον. Οὕτω μὲν νὺν ταῦτα [7]) νενόμισται. Καὶ ὀρθῶς μοι δοκέει Πίνθαρος ποιῆσαι, νόμον πάντων βασιλέα φήσας εἶναι.«

35. Διὰ [8]) τούτων δὲ ὁδεύειν δοκεῖ τῷ Κέλσῳ ὁ λόγος ἐπὶ τὸ δεῖν »πάντας ἀνθρώπους κατὰ τὰ πάτρια ζῆν, οὐκ ἂν μεμφθέντας ἐπὶ τούτῳ· Χριστιανοὺς δὲ τὰ πάτρια καταλιπόντας, καὶ [9]) οὐχ ἕν τι τυγχάνοντας ἔθνος ὡς [10]) Ἰουδαῖοι, ἐγκλήτως προστίθεσθαι τῇ τοῦ Ἰησοῦ διδασκαλίᾳ.« Λεγέτω οὖν ἡμῖν, πότερον καθηκόντως οἱ φιλοσοφοῦντες, καὶ [11]) διδασκόμενοι μὴ δεισιδαιμονεῖν, καταλείψουσι τὰ πάτρια, ὡς καὶ φαγεῖν

---

[1]) Edd. Herodoti: οἱ δὲ ἐπ' οὐδενὶ ἔφασαν.

[2]) Hoeschel. in textu, edd. Spenc. ad marg. ἕρδειν ἂν ταῦτα.

[3]) Hoeschel. in textu: ἤρετο, edd. Spenc. ad marg. ἤρετο. [4]) Edd. Herodoti: καὶ δι' ἑρμηνέος.

[5]) Hoeschel. in textu, edd. Spenc. ad marg. δέξαιντ' ἂν τελευτῶντας.

[6]) Edd. Herodoti rectius, ut videtur: εὐφημέειν μιν ἐκέλευον.

[7]) Hoeschel. in textu, edd. Spenc. ad marg. τάδε νενόμισται.

[8]) Cfr. Philocal. ed. Tarini cap. XXI. pag. 318. 319. et 320. coll. pag. ed. nostrae 214. not. 4.

[9]) Hoeschel. in textu, edd. Spenc. ad marg. καὶ οὐκέτι τυγχάνοντας ἔθνος κτλ.

[10]) Philoc. ὡς οἱ Ἰουδαῖοι.

[11]) Philoc. καὶ οἱ διδασκόμενοι.

τῶν ἀπηγορευμένων [1]) ἐν ταῖς πατρίσιν αὐτῶν; ἢ παρὰ τὸ καθῆκον τοῦτο πράξουσιν; [2]) Εἰ μὲν γὰρ διὰ φιλοσοφίαν, καὶ [3]) τὰ κατὰ δεισιδαιμονίας μαθήματα, οὐ φυλάττοντες τὰ πάτρια, καὶ [4]) φάγοιεν ἂν τῶν [5]) ἀπηγορευμένων ἐκ πατέρων αὐτοῖς· διὰ τί οὐχὶ καὶ Χριστιανοὶ, (λόγου αἱροῦντος μὴ τευτάζειν περὶ τὰ [6]) ἀγάλματα καὶ τὰ ἱδρύματα, ἢ καὶ περὶ τὰ δημιουργήματα τοῦ θεοῦ, ἀλλ' ὑπεραναβαίνειν, καὶ τὴν ψυχὴν παριστάνειν τῷ δημιουργῷ,) τὸ ἀνάλογον ποιοῦντες τοῖς φιλοσοφοῦσιν, ἀνεγκλήτως τοῦτο πράττοιεν; Εἰ δ' ὑπὲρ τοῦ φυλάξαι τὴν προκειμένην [7]) ἑαυτῷ θέσιν ὁ Κέλσος ἐρεῖ, ἢ οἱ εὐδοκοῦντες τοῖς αὐτοῦ, ὅτι καὶ φιλοσοφήσας τις τηρήσει [8]) τὰ πάτρια· ὥρα [9]) φιλοσόφους γελοιότατα, φέρ' εἰπεῖν, ἐν Αἰγυπτίοις γενέσθαι [10]) φυλαττομένους ἐμφαγεῖν [11]) κρομύων, ἵνα τὰ πάτρια τηρῶσιν, ἢ μορίων τινῶν τοῦ σώματος, οἷον κεφαλῆς καὶ ὤμου, ἵνα μὴ παραβαίνωσι τὰ ὑπὸ πατέρων αὐτοῖς πα-

---

[1]) Philoc. *ἀπηγορεμένων*. Hoeschel. et Spencerus: *ἀπηγορευομένων*. R.

[2]) Hoeschel. et Spencer. in marg. *πράξομεν*.

[3]) Philoc. *καὶ κατὰ τὰ δεισιδαιμονίας μαθήματα*.

[4]) Boherell. in notis: »Delendum videtur: *καί*.«

[5]) Sic Philocal. rectius sane quam Hoeschel. et Spencerus, qui legerunt: *τῶν ἀπηγορευομένων αὐτοῖς ἑκατέρων· διὰ τί κτλ.* R. — Boherell. in notis: »Lege: *ἑκάστων*, pro: *ἑκατέρων*. Nisi sequi malis Philocaliam, ubi legitur: *ἐκ πατέρων*, quod ante *αὐτοῖς* collocatur.«

[6]) Deest *τά* in Philoc.

[7]) Philoc. *προκειμένην αὐτῷ ὑπόθεσιν ὁ Κέλσος ἐρεῖ, ἢ οἱ συνευδοκοῦντες τοῖς κτλ.*

[8]) Philoc. *τηρήσαι*.

[9]) Philoc. *ὕρα φιλοσόφους γελοιοτάτους φέρ' εἰπεῖν κτλ.*

[10]) Uncis inclusum legitur: *γενέσθαι*, in edd. Spenc.

[11]) Philoc. itemq. edd. Hoeschel. et Spenceri: *ἐμφαγεῖν κρομμύου*, ed. vero Ruaei ut in nostro textu.

ραδοθέντα.[1]) Καὶ[2]) οὔ πω λέγω περὶ τῶν τὰς τοῦ σώματος φλυαρίας ἐν φύσαις φριττόντων τῶν Αἰγυπτίων, ὅτι ἐὰν ἀπὸ τῶν τοιούτων τις φιλοσοφήσῃ, καὶ τηρήσῃ τὰ πάτρια, γέλοιος[3]) ἂν εἴη φιλόσοφος ἀφιλόσοφα πράττων. Οὕτως οὖν καὶ ὁ ὑπὸ τοῦ λόγου προσαχθεὶς ἐπὶ τὸ σέβειν τὸν τῶν ὅλων θεὸν, καὶ διὰ τὰ πάτρια κάτω[4]) που μένων παρὰ τοῖς ἀγάλμασι καὶ τοῖς ἀνθρωπίνοις ἱδρύμασι, καὶ μὴ βουλόμενος ἀναβῆναι τῇ προαιρέσει πρὸς τὸν δημιουργόν· παραπλήσιος ἂν γένοιτο τοῖς μαθοῦσι μὲν τὰ φιλοσοφίας, φοβουμένοις δὲ τὰ μὴ φοβερὰ, καὶ νομίζουσιν ἀσέβειαν εἶναι τὸ[5]) τοιῶνδε ἐμφαγεῖν.

36. Οἷος δὲ καὶ ὁ τοῦ Ἡροδότου ἐστὶν Ἄμμων, οὗ τὰς λέξεις ὁ Κέλσος παρείληφεν,[6]) ὡς εἰς ἀπόδειξιν περὶ τοῦ δεῖν ἕκαστον τὰ[7]) πάτρια τηρεῖν; Ὁ γὰρ Ἄμμων αὐτῶν τοῖς[8]) ἀπὸ Μαρέης πόλεως καὶ Ἄπιος οἰκοῦσι τὰ πρόσουρα τῇ Λιβύῃ[9]) οὐκ ἐᾷ ἀδιαφορεῖν

---

[1]) Philoc. παραδεδομένα.

[2]) Desunt in Philoc. verba: Καὶ οὔπω λέγω — τῶν Αἰγυπτίων, ὅτι ἐὰν — φιλοσοφήσῃ, καὶ τηρήσῃ τὰ πάτρια, γέλοιος ἂν εἴη φιλόσοφος ἀφιλόσοφα πράττων. — Spencer. in notis: Minutius in Octavio pag. 34. Iidem Aegyptii cum plerisque vobiscum non magis Isidem, quam ceparum acrimonias metuunt: nec Serapidem magis, quam strepitus per pudenda corporis expressos contremiscunt.

[3]) Edd. Spenc. et Ruaei: γελοῖος.

[4]) Philoc. κάτω μένων παρὰ τοῖς κτλ.

[5]) Philoc. τὸ τοιόνδε ἐμφαγεῖν.

[6]) Cfr. libri huj. num. 34. coll. Herodoti lib. II. cap. 18.

[7]) Hoeschel. in textu, edd. Spenc. ad marg. τὰ τοιαῦτα τηρεῖν.

[8]) Edd. Spenc. τοῖς τῶν ἀπό κτλ. Jam Boherell. vero in notis: »Dele: τῶν.«

[9]) Cod. Jolianus: Λιβύῃ, alii Codd. (itemq. edd. Spenc.) Λιβύῃ. R.

πρὸς τὴν χρῆσιν τῶν θηλέων βοῶν· ὅπερ πρᾶγμα οὐ μόνον τῇ φύσει ἑαυτοῦ ἀδιάφορόν ἐστιν, ἀλλὰ καὶ οὐ κωλύει καλὸν καὶ ἀγαθὸν εἶναί τινα. Καὶ εἰ μὲν ὁ Ἄμμων αὐτῶν ἀπηγόρευε τὴν χρῆσιν τῶν θηλειῶν βοῶν, διὰ τὸ εἰς γεωργίαν τοῦ ζώου χρήσιμον, καὶ πρὸς τούτῳ διὰ τὸ διὰ τῶν θηλέων μάλιστα αὔξειν τὸ γένος αὐτῶν· τάχα ἂν εἶχε πιθανότητα ὁ λόγος. Νυνὶ δέ ἅπαξ βούλεται αὐτοὺς, ἐμπίνοντας (256) τοῦ Νείλου, δεῖν τηρεῖν τοὺς Αἰγυπτίων περὶ θηλειῶν βοῶν νόμους. Καὶ ἐπὶ τούτῳ γε τωθάζων ὁ Κέλσος τοὺς παρὰ Ἰουδαίοις ἀγγέλους πρεσβεύοντας τὰ τοῦ θεοῦ, οὐ[1]) »κακίονα ἔφησεν εἶναι τὸν Ἄμμωνα πρὸς τὸ διαπρεσβεῦσαι τὰ δαιμόνια, ἢ οἱ Ἰουδαίων ἄγγελοι· « ὧν οὐκ ἐξήτασε τοὺς λόγους καὶ τὰς ἐπιφανείας, τί βούλονται. Ἐωράκει γὰρ ἄν, ὅτι οὐ τῶν βοῶν μέλει[2]) τῷ θεῷ, ἔνθα καὶ δοκεῖ περὶ βοῶν, ἢ ἀλόγων ζώων νομοθετεῖν· ἀλλὰ τὰ δι' ἀνθρώπους γραφέντα, ἐν προσχήματι τῷ περὶ ἀλόγων ζώων, φυσιολογίαν τινὰ περιέχει. Κέλσος μὲν οὖν οὐδὲν ἄδικόν φησι ποιεῖν ἕκαστον, τὰ σφέτερα νόμιμα θρησκεύειν ἐθέλοντα· καὶ ἀκολουθεῖ καθ' αὑτὸν, μηδὲν ἄδικον ποιεῖν Σκύθας, ἐπεὶ κατὰ τὰ πάτρια δαίνυνται ἀνθρώπους. Καὶ Ἰνδῶν δὲ οἱ τοὺς πατέρας ἐσθίοντες ὅσια δρᾷν νομίζουσι[3]) καὶ κατὰ τὸν Κέλσον, ἢ οὐκ ἄδικά γε. Ἐκτίθεται γοῦν Ἡροδότου λέξιν συναγορεύουσαν[4]) τῷ, ἕκαστον τοῖς πατρίοις νόμοις καθηκόντως χρῆσθαι, καὶ ἔοικεν ἀποδεχομένῳ τοὺς ἐπὶ Δαρείου Καλλατίας καλουμένους Ἰνδοὺς,[5]) τοὺς

---

[1]) Hoeschel. in textu male, edd. Spenc. ad marg. καὶ κακίονα. R.

[2]) Cfr. 1 Cor. IX, 9.

[3]) Boherell. in notis: »Lego: *νομίζοντα*, pro: *νομίζουσι καί*.«

[4]) Mss. *συναγορεύουσαν τῷ, ἕκαστον*. Libri editi (v. c. edd. Spenc.) *συναγορεύουσαν τὸ, ἕκαστον*. R.

[5]) Cfr. Herodoti lib. III. cap. 38. et Theophil. lib. III. contra Autolycum.

γονεῖς κατεσθίοντας· ἐπεὶ πρὸς τὸν Δαρεῖον πυνθανόμενον ἐπὶ πόσῳ χρήματι ἀποθέσθαι τοῦτον τὸν νόμον βούλονται, ἀναβοήσαντες μέγα, εὐφημεῖν αὐτὸν ἐκέλευον.

37. Δύο τοίνυν νόμων προκειμένων γενικῶς, καὶ τοῦ μὲν ὄντος τῆς φύσεως νόμου, ὃν θεὸς ἂν νομοθετήσαι, ἑτέρου δὲ τοῦ ταῖς πόλεσι γραπτοῦ· καλὸν, ὅπου μὲν μὴ ἐναντιοῦται ὁ γραπτὸς νόμος τῷ τοῦ θεοῦ, μὴ λιπεῖν[1]) τοὺς πολίτας, προφάσει ξένων νόμων· ἔνθα δὲ τὰ ἐναντία τῷ γραπτῷ νόμῳ προστάσσει ὁ τῆς φύσεως, τουτέστι τοῦ θεοῦ, ὅρα,[2]) εἰ μὴ ὁ λόγος ἐρεῖ, μακρὰν μὲν χαίρειν εἰπεῖν τοῖς γεγραμμένοις, καὶ τῷ βουλήματι τῶν νομοθετῶν, ἐπιδιδόναι δὲ αὐτὸν τῷ θεῷ νομοθέτῃ, καὶ κατὰ τὸν τούτου λόγον αἱρεῖσθαι βιοῦν, κἂν μετὰ κινδύνων, καὶ μυρίων πόνων, καὶ θανάτων, καὶ ἀδοξίας τοῦτο δέῃ ποιεῖν. Καὶ γὰρ ἄτοπον, τῶν ἀρεσκόντων τῷ θεῷ ἑτέρων ὄντων παρὰ τὰ ἀρέσκοντά τισι τῶν ἐν ταῖς πόλεσι νόμων, καὶ ἀμηχάνου τυγχάνοντος ἀρέσκειν θεῷ καὶ τοῖς πρεσβεύουσι τοὺς τοιούσδε νόμους· καταφρονεῖν μὲν πράξεων, δι' ὧν ἀρέσει τις τῷ τῶν ὅλων δημιουργῷ· αἱρεῖσθαι δὲ ἐκείνας, ἐξ ὧν ἀπάρεστος μέν τις ἔσται τῷ θεῷ, ἀρεστὸς δὲ τοῖς[3]) ἀνόμοις νόμοις, καὶ τοῖς τούτων φίλοις. Εἴπερ δὲ εὔλογον ἐπὶ τῶν ἄλλων, τὸν τῆς φύσεως προ-

---

[1]) Recte duo Codd. Anglicani: *λιπεῖν*. Male Hoeschel. et Spencerus: *λιπών*. R. — Jam Boherell. in notis: »Lego: *λιπεῖν*.«

[2]) Hoeschel. in textu, edd. Spenc. ad marg. *ὅρα, εἰ μὴ ὁ λόγος ἀεὶ μακρὰν μὲν χαίρειν*.

[3]) Sic duo Codd. Reg. et Basileensis, et est vera lectio. Hoeschel. et Spencerus: *τοῖς οὐ νόμοις νόμοις*. R. — Jam Boherell. in notis: »Et hic et libri huj. num. 40. in fine malim: *τοῖς ἀνόμοις νόμοις*, ut libri huj. num. 38. sub finem: *ἀτελέστων τελετῶν*.«

τιμᾷν νόμον,[1]) ὄντα νόμον τοῦ θεοῦ, παρὰ τὸν γεγραμμένον, καὶ ὑπὸ τῶν ἀνθρώπων ἐναντίως τῷ νόμῳ τοῦ θεοῦ νενομοθετημένον·[2]) πῶς οὐχὶ τοῦτο μᾶλλον ἐν[3]) τοῖς περὶ θεοῦ νόμοις ποιητέον; Καὶ οὔτε[4]) ὡς Αἰθίοπες,[5]) οἱ τὰ περὶ τὴν Μερόην οἰκοῦντες, Δία καὶ Διόνυσον, (ὡς ἐκείνοις ἀρέσκει,) μόνους προσκυνήσομεν· ἀλλ' οὐδ' ὅλως Αἰθιοπικοὺς θεοὺς Αἰθιοπικῶς τιμήσομεν· οὔθ', ὡς οἱ Ἀράβιοι, τὴν Οὐρανίαν καὶ τὸν Διόνυσον μόνους ἡγησόμεθα θεούς· ἀλλ' οὐδ' ὅλως θεούς, (257) ἐν οἷς τὸ θῆλυ καὶ τὸ ἄῤῥεν δεδόξασται· (ὡς θήλειαν γὰρ Ἀράβιοι τὴν Οὐρανίαν προσκυνοῦσι, καὶ ὡς ἄῤῥενα τὸν Διόνυσον·) ἀλλ' οὐδ', ὡς πάντες Αἰγύπτιοι, θεοὺς νομίσομεν Ὄσιριν καὶ Ἶσιν· οὐδὲ τούτοις συγκατατάξομεν, κατὰ τὰ τοῖς Σαΐταις δοκοῦντα, τὴν Ἀθηνᾶν. Εἰ δὲ καὶ Ναυκρατίταις ἄλλα μὲν ἔδοξε σέβειν τοῖς πρεσβυτέροις, τὸν Σάραπιν δὲ τοῖς χθὲς καὶ πρώην ἀρξαμένοις, τὸν οὐ πώποτε γενόμενον[6]) θεὸν, προσκυνεῖν· οὐ παρὰ τοῦτο καὶ ἡμεῖς νέον, τὸν οὐ πρότερον ὄντα θεὸν, οὐδὲ γνωσθέντα τοῖς ἀνθρώποις, φήσομεν εἶναι. Ὁ γὰρ τοῦ θεοῦ υἱὸς, ὁ »πρωτότοκος[7]) πάσης κτίσεως,« εἰ καὶ νεωστὶ ἐνηνθρωπηκέναι ἔδοξεν, ἀλλ' οὔτι γε διὰ τοῦτο νέος ἐστί. Πρεσβύτατον γὰρ αὐτὸν πάντων τῶν δημιουργημάτων ἴσασιν οἱ θεῖοι λόγοι· καὶ αὐτῷ τὸν θεὸν περὶ τῆς τοῦ ἀνθρώπου δη-

---

[1]) Edd. Spenc. λόγον. Jam Boherell. vero in notis: »Lego: νόμον.«

[2]) Hoeschel. in textu, edd. Spenc. ad marg. τετιμημένον.

[3]) Sic recte habent Codd. Mss., male vero Codd. impressi (v. c. edd. Spenc.) ἐν τοῖς περὶ θεοῦ νόμου. R. — Boherell. in notis: »Dele: νόμου.«

[4]) Edd. Spenc. ad marg. οὐ τέως.

[5]) Edd. Spenc., uncis voc. ὡς appositis: Αἰθίοπες, ὡς οἱ τὰ περὶ τὴν κτλ.

[6]) Cod. Regius: γεγενημένον.

[7]) Cfr. Coloss. I, 15.

μιουργίας εἰρηκέναι· »ποιήσωμεν [1]) ἄνθρωπον κατ' εἰκόνα καὶ ὁμοίωσιν ἡμετέραν.«

38. Βούλομαι δὲ παραστῆσαι, τίνα [2]) τρόπον ὁ Κέλσος οὐκ εὐλόγως φησὶν, ἕκαστον τὰ οἰκεῖα καὶ πάτρια σέβειν. Φησὶ γὰρ οὗτος [3]) »τοὺς οἰκοῦντας τὴν Μερόην Αἰθίοπας δύο μόνους εἰδέναι θεοὺς, Δία καὶ Διόνυσον, καὶ αὐτοὺς μόνους σέβειν· τοὺς δ' Ἀραβίους καὶ αὐτοὺς δύο μόνους, Διόνυσον μὲν, ὡς καὶ Αἰθίοπες, Οὐρανίαν [4]) δὲ ἰδίαν.« Κατὰ τὴν ἱστορίαν αὐτοῦ, οὔτ' Αἰθίοπες Οὐρανίαν σέβουσιν, οὔτε Ἀράβιοι Δία. Ἆρ' οὖν ἐάν τις Αἰθιόπων, ἔκ τινος περιστάσεως γενόμενος παρὰ τοῖς Ἀραβίοις, ἀσεβὴς εἶναι νομισθῇ, ὡς τὴν Οὐρανίαν οὐ σέβων· καὶ παρὰ [5]) τοῦτο τὴν ἐπὶ θανάτῳ κινδυνεύῃ· καθήξει τῷ Αἰθίοπι ἀποθανεῖν, ἢ παρὰ τὰ πάτρια ποιεῖν καὶ προσκυνεῖν τὴν Οὐρανίαν; Εἰ μὲν γὰρ παρὰ [6]) τὰ πάτρια ποιεῖν αὐτὸν καθήξει, οὐχ ὅσιον ποιήσει, ὅσον ἐπὶ τοῖς τοῦ Κέλσου λόγοις· εἰ δὲ τὴν ἐπὶ θανάτῳ ἀπαχθείῃ· παραστησάτω τὸ εὔλογον τοῦ αἱρεῖσθαι θάνατον. Οὐκ [7]) οἶδα, εἰ τοῦ Αἰθιόπων λόγου φιλοσοφεῖν διδάσκοντος περὶ ψυχῆς ἀθανασίας, καὶ τιμῆς τῆς ἐπὶ εὐσεβείᾳ, εἰ [8]) κατὰ τοὺς

---

[1]) Cfr. Genes. I, 26.

[2]) Edd. Spenc. ad marg. *τίνα τρόπον οὐκ εὐλόγως ὁ Κέλσος φησίν.*

[3]) Boherell. in notis: »Malim: *οὕτως*.«

[4]) Edd. Spenc. perperam: *Οὐρανίαν δὲ ἰδίαν, κατὰ τὴν ἱστορίαν αὐτοῦ. Οὔτ' Αἰθίοπες.* Jam Boherell. vero in notis: »Verba: *κατὰ τὴν ἱστορίαν αὐτοῦ*, pertinent ad sequentia.«

[5]) Hoeschel. et Spencerus: *παρὰ τούτῳ*, sed Codd. Reg. et Basil. rectius: *παρὰ τοῦτο*. R.

[6]) In edd. Spenc. uncis inclusum legitur: *παρά*.

[7]) Hic locus Guieto depravatissimus videtur, et recidendus tanquam alienus et insititius. R.

[8]) E Mss. abest (uncisque in edd. Spenc. inclusum legitur): *κατά*. R. — Boherell. in notis: »Lego: *εἰ τοὺς κατὰ πατρίους νόμους*.«

πατρίους νόμους σέβοιεν νομιζομένους θεούς. Τὸ δ' ὅμοιόν ἐστιν εἰπεῖν καὶ περὶ Ἀραβίων, ἔκ τινος περιστάσεως ἐπιδημησάντων Αἰθίοψι τοῖς περὶ Μερόην. Καὶ οὗτοι γὰρ, μόνους διδαχθέντες σέβειν Οὐρανίαν καὶ Διόνυσον, οὐ προσκυνήσουσι τὸν Δία μετὰ τῶν Αἰθιόπων· καὶ ἀσεβεῖν νομισθέντες, εἰ τὴν ἐπὶ θανάτῳ ἄν ἀπάγοιντο,[1]) τί ἄν εὐλόγως ποιήσαιεν, λεγέτω ὁ Κέλσος. Τοὺς δὲ περὶ Ὄσιριν καὶ Ἶσιν μύθους περισσόν ἐστιν ἡμῖν νῦν καταλέγειν, καὶ οὐκ εὔκαιρον. Κἂν τροπολογῶνται δὲ οἱ μῦθοι, τὸ ἄψυχον ἡμᾶς ὕδωρ σέβειν διδάξουσι, καὶ τὴν ὑποκειμένην ἀνθρώποις καὶ πᾶσι ζώοις γῆν. Οὕτω γὰρ, οἶμαι, μεταλαμβάνουσι, τὸν μὲν Ὄσιριν εἰς ὕδωρ, τὴν δὲ Ἶσιν εἰς γῆν. Περὶ[2])

---

[1]) Codd. Regius, Basileensis, et Vaticanus: ἐπάγοιντο. R.

[2]) Spencer in notis: Tacitus Historiar. lib. IV. (cap. 81–84. ed. Ernesti pag. 367. seqq.) »Per eos menses, quibus Vespasianus Alexandriae statos aestivis flatibus dies, et certa maris opperiebatur, multa miracula evenere, quis coeli favor, et quaedam in Vespasianum inclinatio numinum ostenderetur. Ex plebe Alexandrina quidam, oculorum tabe notus, genua ejus advolvitur, *remedium caecitatis* exposcens gemitu, monitu Serapidis dei, quem dedita superstitionibus gens ante alios colit: precabaturque principem, *ut genas et oculorum orbes dignaretur respergere oris excremento.* Alius manum aeger, eodem deo auctore, *ut pede ac vestigio Caesaris calcaretur*, orabat. Vespasianus primo irridere, aspernari: atque illis instantibus, modo famam vanitatis metuere, modo obsecratione ipsorum, et vocibus adulantium in spem induci: postremo existimari a medicis jubet, an talis caecitas ac debilitas ope humana superabiles forent. Medici varie disserere: *Huic non exesam vim luminis, et redituram, si pellerentur obstantia: illi elapsos in pravum artus, si salubris vis adhibeatur, posse integrari. Id fortasse cordi diis, et divino ministerio principem electum. Denique patrati*

δὲ Σαράπιδος πολλὴ καὶ διάφωνος ἱστορία, χθὲς καὶ πρώην εἰς μέσον ἐλθόντος κατά τινας μαγγανείας τοῦ

---

remedii gloriam penes Caesarem, irriti ludibrium penes miseros fore. Igitur Vespasianus, cuncta fortunae suae patere ratus, nec quidquam ultra incredibile, laeto ipse vultu, erecta, quae adstabat, multitudine, jussa exsequitur. Statim conversa ad usum manus, ac caeco reluxit dies. Utrumque, qui interfuere, nunc quoque memorant, postquam nullum mendacio pretium. Altior inde Vespasiano cupido adeundi sacram sedem, ut super rebus imperii consuleret. *Arceri templo cunctos* jubet; atque ingressus, intentusque numini, respexit pone tergum e primoribus Aegyptiorum nomine *Basiliden*, quem procul Alexandria plurium dierum itinere, et aegro corpore detineri haud ignorabat. Percunctatur sacerdotes, *num illo die Basilides templum inisset?* Percunctatur obvios, *num in urbe visus sit?* Denique, missis equitibus, explorat, illo temporis momento octoginta millibus passuum abfuisse. Tunc divinam speciem, et vim responsi ex nomine *Basilidis*, interpretatus est. Origo dei nondum nostris auctoribus celebrata: Aegyptiorum antistites sic memorant: *Ptolemaeo regi, qui Macedonum primus Aegypti opes firmavit, cum Alexandriae recens conditae moenia, templaque, et religiones adderet, oblatum, per quietem, decore eximio, et majore quam humana specie juvenem, qui moneret,* ut, fidissimis amicorum in Pontum missis, effigiem suam acciret: laetum id regno, magnamque et inclitam sedem fore, quae excepisset. *Simul visum eundem juvenem in coelum igne plurimo attolli.* Ptolemaeus, omine et miraculo excitus, sacerdotibus Aegyptiorum, quibus mos talia intelligere, nocturnos visus aperit. Atque illis Ponti et externorum parum gnaris, Timotheum, Athenienſem, e gente Eumolpidarum, quem, ut antistitem caerimoniarum, Eleusi exciverat, *quaenam illa superstitio, quod numen?* interrogat. Timotheus, quaesitis, qui in pontum meassent, cognoscit, urbem illic Sinopen, nec procul templum, vetere inter accolas fama, Jovis Ditis

βουληθέντος Πτολεμαίου οἱονεὶ ἐπιφανῆ δεῖξαι τοῖς ἐν Ἀλεξανδρείᾳ θεόν. Ἀνέγνωμεν (258) δὲ παρὰ Νουμη-

---

Namque et muliebrem effigiem assistere, quam plerique Proserpinam vocent. Sed Ptolemaeus, ut sunt ingenia regum, pronus ad formidinem, ubi securitas rediit, voluptatum quam religionum appetens, negligere paullatim, aliasque ad curas animum vertere: donec eadem species, terribilior jam et instantior, *exitium ipsi regnoque* denuntiaret, *ni jussa patrarentur*. Tum legatos et dona Scydrothemidi, regi, (is tunc Sinopensibus imperitabat,) expediri jubet: praecipitque navigaturis, *ut Pythium Apollinem adeant*. Illis mare secundum: sors oraculi haud ambigua: *irent, simulacrumque patris sui reveherent, sororis relinquerent*. Ut Sinopen venere, munera, preces, mandata regis sui Scydrothemidi allegant. Qui diversus animi, modo numen pavescere, modo minis adversantis populi terreri: saepe donis promissisque legatorum flectebatur. Atque interim triennio exacto, Ptolemaeus non studium, non preces omittere. Dignitatem legatorum, numerum navium, auri pondus augebat. Tum minax facies Scydrothemidi offertur, *ne destinata deo ultra moraretur*. Cunctantem varia pernicies morbique, et manifesta coelestium ira graviorque in dies fatigabat. Advocata concione, *jussa numinis, suos Ptolemaeique visus, ingruentia mala* exponit. Vulgus adversari regem, invidere Aegypto, sibi metuere, templumque circumsidere. Major hinc fama tradidit, *deum ipsum appulsas litori naves sponte conscendisse*. Mirum inde dictu, tertio die, tantum maris emensi, Alexandriam appelluntur. Templum pro magnitudine urbis exstructum, loco, cui nomen Rhacotis: fuerat illic sacellum, Serapidi atque Isidi antiquitus sacratum. Haec de origine et advectu dei celeberrima. Nec sum ignarus, esse quosdam, qui *Seleucia, urbe Syriae, accitum, regnante Ptolemaeo, quem tertia aetas tulit: alii auctorem eundem Ptolemaeum, sedem, ex qua transierit, Memphim* perhibent, inclytam olim, et veteris Aegypti columen Deum ipsum multi *Aesculapium,*

ὑπὸ ἀγαλματοποιῶν μόνων κατασκευάζεσθαι θεὸς, ἀλλὰ καὶ ὑπὸ μάγων, καὶ φαρμακῶν, καὶ τῶν ἐπῳδαῖς αὐτῶν[1]) κηλουμένων δαιμόνων.

39. Χρὴ οὖν ζητεῖν[2]) τὸ ἁρμοζόντως τῷ λογικῷ καὶ ἡμέρῳ ζώῳ, καὶ λελογισμένως πάντα πράττοντι, βρωτὸν καὶ οὐ βρωτόν· καὶ μὴ κατὰ ἀποκλήρωσιν σέβειν ὕες, ἢ αἶγας, ἢ τὰς θηλείας βοῦς· καὶ τούτων μὲν ἀπέχεσθαι μέτριον· πολὺ γὰρ χρήσιμον ἀπὸ τούτων τῶν ζώων ἀνθρώποις γίνεται. Τὸ δὲ καὶ κροκοδείλων φείδεσθαι, καὶ εἶναι ἱεροὺς αὐτοὺς, οὐκ οἶδα τίνος μυθολογουμένου θεοῦ, πῶς οὐκ ἔστι πάντων ἠλιθιώτατον; Σφόδρα γὰρ ἐμβροντήτων ἐστὶ, τὸ φείδεσθαι ζώων οὐ φειδομένων, καὶ περιέπειν ζῶα ἀνθρώπους καταθοινώμενα.[3]) Ἀλλὰ Κέλσῳ ἀρέσκουσι μὲν οἱ κατά τινα πάτρια κροκοδείλους σέβοντες καὶ περιέποντες, καὶ οὐδεὶς λόγος κατ' ἐκείνων αὐτῷ γέγραπται· ψεκτοὶ δ' εἶναι φαίνονται Χριστιανοὶ, τὴν κακίαν βδελύσσεσθαι διδασκόμενοι, καὶ τὰ ἀπὸ κακίας ἔργα ἐκτρέπεσθαι, τὴν δ' ἀρετὴν σέβειν καὶ τιμᾶν, ὡς ὑπὸ τοῦ θεοῦ γεγενημένην, καὶ οὖσαν υἱὸν θεοῦ. Οὐ γὰρ παρὰ τὸ θηλυκὸν ὄνομα καὶ τῇ οὐσίᾳ θήλειαν νομιστέον εἶναι τὴν σοφίαν, καὶ τὴν δικαιοσύνην· ἅπερ καθ' ἡμᾶς ἐστιν ὁ υἱὸς τοῦ θεοῦ, ὡς ὁ γνήσιος αὐτοῦ μαθητὴς παρέστησε,

---

[1]) Ed. Ruaei in textu: αὐτῶν καλουμένων δαιμόνων, in notis: »Hoeschel. (in textu) et Cod. Regius: αὐταῖς καλουμένων δαιμόνων. Spencer. in textu: αὐτῶν καλουμένων δαίμονας. Hoeschel. in marg. αὐτοῖς καλουμένων δαιμόνων.« — Edd. Spenc. ad marg. αὐτοῖς καλουμένων δαιμόνων, καί· αὐταῖς καλουμένων δαιμόνων.

[2]) Pro: ζητεῖν τὸ ἁρμοζόντως, Boherell. et Guietus mallent: ζητεῖν τί ἁρμοζόντως, sicque legebat Gelenius interpres. R.

[3]) Sic recte Mss. Male vero Hoeschel. et Spencerus: καταθοινούμενα. R.

λέγων περὶ αὐτοῦ· »ὃς [1]) ἐγενήθη σοφία ἡμῖν ἀπὸ θεοῦ, δικαιοσύνη τε, καὶ ἁγιασμὸς, καὶ ἀπολύτρωσις.« Κἂν δεύτερον οὖν λέγωμεν θεόν· ἴστωσαν, ὅτι τὸν δεύτερον θεὸν οὐκ ἄλλο τι λέγομεν, ἢ τὴν περιεκτικὴν πασῶν ἀρετῶν ἀρετὴν, καὶ τὸν περιεκτικὸν παντὸς οὐτινοσοῦν λόγου τῶν κατὰ φύσιν καὶ προηγουμένως γεγεννημένων, καὶ εἰς χρήσιμον τοῦ παντὸς, λόγον· ὄντινα τῇ Ἰησοῦ μάλισια παρὰ πᾶσαν ψυχὴν ψυχῇ ᾠκειῶσθαι καὶ ἡνῶσθαί φαμεν, μόνου τελείως χωρῆσαι δεδυνημένου τὴν ἄκραν μετοχὴν τοῦ αὐτολόγου, καὶ τῆς αὐτοσοφίας, καὶ τῆς αὐτοδικαιοσύνης.

40. Ἐπεὶ δὲ τοιαῦτα εἰπὼν ὁ Κέλσος περὶ τῶν διαφόρων [2]) νόμων ἐπιφέρει, ὅτι »ὀρθῶς [3]) μοι δοκεῖ Πίνδαρος ποιῆσαι, νόμον πάντων βασιλέα φήσας εἶναι·« φέρε, καὶ περὶ τούτου διαλεχθῶμεν. Τίνα φῂς, ὦ οὗτος, νόμον πάντων εἶναι βασιλέα; Εἰ μὲν τοὺς κατὰ πόλιν, ψεῦδος τὸ τοιοῦτον. Οὐ γὰρ ὑπὸ τοῦ αὐτοῦ νόμου πάντες βασιλεύονται. Καὶ [4]) χρὴν ἄρα λελέχθαι· νόμοι πάντων βασιλεῖς· ἑκάστου γὰρ ἔθνους τῶν πάντων νόμος τις βασιλεύς. Εἰ δὲ κυρίως ἀκούεις τοῦ νόμου· ὁ φύσει βασιλεὺς τῶν πάντων, οὗτός ἐστιν· εἰ καί τινες, δίκην λῃστῶν ἀποστάντων [5]) τῶν νόμων, τοῦτον μὲν ἀρνοῦνται, λῃστρικῶς δὲ καὶ ἀδικητικῶς διαζῶσιν. Ἡμεῖς οὖν οἱ Χριστιανοὶ (259) τὸν [6])

---

[1]) Cfr. I Cor. I, 30. [2]) Edd. Spenc. διαφορῶν.

[3]) Cfr. libri huj. num. 34. coll. Herodot. lib. III. cap. 38.

[4]) Sic libri impressi (v. c. edd. Spenc.) in margine, in textu vero: Καὶ ἐχρῆν εἰ ἄρα κτλ.

[5]) Libri impressi (v. c. edd. Spenc.) ad oram habent: ἀποστάντων τοὺς νόμους, sicque omnes Codd. Mss., si unicum exceperis Cod. Jolianum, quem in textu hoc loco sequimur. Guietus scribendum suspicatur: εἰ καί τινες δίκην λῃστῶν ἀποστάντες, τοῦτον μὲν ἀρνοῦνται, deletis voculis: τῶν νόμων. R.

[6]) Codd. Reg. et Basileensis: τὸν τῆς φύσεως. R.

τῇ φύσει πάντων βασιλέα ἐπιγνόντες νόμον, τὸν αὐτὸν ὄντα τῷ νόμῳ τοῦ θεοῦ· κατ' αὐτὸν βιοῦν πειρώμεθα, μακρὰν χαίρειν φράσαντες τοῖς [1]) ἀνόμοις νόμοις.

41. Ἴδωμεν δὲ καὶ τὰ ἑξῆς τῷ Κέλσῳ λεγόμενα, ἐν οἷς σφόδρα μὲν ἐλάχιστά ἐστι τὰ περὶ Χριστιανῶν, πλεῖστα δὲ ὅσα περὶ Ἰουδαίων. Φησὶν οὖν· »Εἰ μὲν δὴ κατὰ ταῦτα περιστέλλοιεν Ἰουδαῖοι τὸν ἴδιον νόμον· οὐ [2]) μεμπτὰ αὐτῶν, ἐκείνων δὲ μᾶλλον, τῶν καταλιπόντων τὰ σφέτερα, καὶ τὰ Ἰουδαίων προσποιουμένων. Εἰ δ' ὡς τι σοφώτερον εἰδότες σεμνύνονταί τε, καὶ τὴν ἄλλων κοινωνίαν οὐκ [3]) ἐξ ἴσου καθαρῶς ἀποστρέφονται· ἤδη [4]) ἀκηκόασιν, ὅτι οὐδὲ τὸ περὶ οὐρανοῦ δόγμα [5]) ἴδιον λέγουσιν, ἀλλ', ἵνα πάντα ἐάσω, καὶ Πέρσαις, (ὡς που δηλοῖ καὶ Ἡρόδοτος, [6])) πάλαι δεδογμένον.« »»Νομίζουσι γὰρ, φησὶ, Διὶ μὲν, ἐπὶ τὰ ὑψηλότατα [7]) τῶν οὐρέων ἀναβαίνοντες, θυσίας ἔρδειν, τὸν κύκλον πάντα τοῦ οὐρανοῦ Δία καλέοντες.«« »Οὐδὲν οὖν οἶμαι διαφέρειν Δία Ὕψιστον καλεῖν, ἢ Ζῆνα, ἢ Ἀδωναῖον, [8]) ἢ Σαβαὼθ, ἢ Ἀμμοῦν, [9]) ὡς

---

[1]) Codd. Reg. et Basil. recte: τοῖς ἀνόμοις νόμοις. Hoeschel. et Spenceras: τοῖς οὐ νόμοις νόμοις. R. — Boherell. in notis, cfr. libri huj. num. 37. »Malim: τοῖς ἀνόμοις νόμοις.«

[2]) An scribendum: οὐ μεμπτέον αὐτῶν, vel: οὐ μεμπτέ' αὐτῶν, pro: οὐ μεμπτέα αὐτῶν; Non displicet Guieto. R.

[3]) Boherell. in notis: »Lego: ὡς οὐκ ἐξ ἴσου καθαρῶν.«

[4]) Pro: ἤδη ἀκηκόασιν, dubitat Guietus, an scribendum sit: οὐ δὴ ἀκηκόασιν. R.

[5]) Hoeschel. in textu male, (edd. Spenc. ad marg.): δόγμα ἰδὼν λέγουσι. R.

[6]) Cfr. Herodot. lib. I. cap. 131.

[7]) Hoeschel. in textu perperam, (edd. Spenc. ad marg.): ὑψηλότατα τῶν ὀράσεων ἀναβαίνοντες. R.

[8]) Libri editi (v. c. edd. Spenc.) in margine: Ἀδωνέα.

[9]) Cfr. Herodot. lib. II. cap. 42., ubi haec legun-

Αἰγύπτιοι· ἢ Παπαῖον,[1]) *ὡς Σκύθαι. Οὐ μὴν οὐδὲ κατὰ ταῦτα ἀγιώτεροι τῶν ἄλλων ἂν εἶεν, ὅτι περιτέμνονται· τοῦτο γὰρ Αἰγύπτιοι, καὶ Κόλχοι, πρότεροι· οὐδ' ὅτι συῶν ἀπέχονται· καὶ*[2]) *γὰρ ταῦτ' Αἰγύπτιοι, καὶ προσέτι αἰγῶν τε καὶ οἰῶν, καὶ βοῶν τε καὶ ἰχθύων· καὶ κυάμων γε Πυθαγόρας τε καὶ οἱ μαθηταὶ, καὶ ἐμψύχων ἁπάντων. Οὐ μὴν οὐδ' εὐδοκιμεῖν παρὰ τῷ θεῷ καὶ στέργεσθαι διαφόρως τι τῶν ἄλλων τούτους, εἰκός· καὶ πέμπεσθαι μόνοις αὐτοῖς ἐκεῖθεν ἀγγέλους, οἷον δή τινα μακάρων χώραν λαχοῦσιν· ὁρῶμεν γὰρ αὐτούς τε καὶ τὴν χώραν, τίνων*[3]) *ἠξίωνται. Οὗτος μὲν οὖν ὁ χορὸς*[4]) *ἀπίτω, δίκην ἀλαζονείας ὑποσχών· οὐκ εἰδὼς τὸν μέγαν θεὸν, ἀλλ' ὑπὸ τῆς Μωϋσέως γοητείας ὑπαχθεὶς τε καὶ ψευσθεὶς, κἀκείνης οὐκ ἐπ' ἀγαθῷ τέλει γεγονὼς μαθητής.«*

42. *Λῆλον δ' ὅτι ἐν τούτοις ἐγκαλεῖ Ἰουδαίοις, ὡς ψευδῶς ὑπολαμβάνουσιν ἑαυτοὺς εἶναι ἐκλεκτὴν μερίδα παρὰ πάντα τὰ ἔθνη τοῦ ἐπὶ πᾶσι θεοῦ. Καὶ ἀλαζονείας γοῦν αὐτῶν κατηγορεῖ, ὡς αὐχούντων μὲν τὸν μέγαν θεόν· οὐκ εἰδότων δ' αὐτὸν, ἀλλ' ὑπαχθέντων τῇ Μωϋσέως γοητείᾳ, καὶ ψευσθέντων ὑπ' αὐτοῦ, οὐκ ἐπ' ἀγαθῷ τέλει μαθητευθέντων αὐτῷ. Ἀπὸ μέρους μὲν οὖν ἡμῖν ἐν τοῖς πρὸ τούτων λέλεκται τὰ τῆς σεμνῆς καὶ ἐξαιρέτου Ἰουδαίων πολιτείας· ἡνίκα αὐτοῖς συνεισιτήκει τὸ σύμβολον τῆς τοῦ θεοῦ πόλεως, καὶ τοῦ ναοῦ αὐτοῦ, καὶ τῆς παρ' αὐτῷ καὶ τῷ θυσιαστηρίῳ*

---

tur: *Ἀμοῦν γὰρ Αἰγύπτιοι καλέουσι τὸν Λία.* — Cfr. ejusd. lib. II. cap. 18.

[1]) Hoeschel. in textu, edd. Spenc. ad marg. *Παπαῖον.* Vide Herodot. lib. IV. cap. 59.

[2]) Libri editi (v. c. edd. Spenc.) ad marginem: *καὶ γὰρ τοῦτ' Αἰγύπτιοι.* Vide lib. I. contra Cels. num. 22. R.

[3]) Hoeschel. in textu, edd. Spenc. ad marg. *τίνος ἠξίωνται.*

[4]) Cfr. libri huj. num. 33. verba: *Ἴτω δὲ ὁ δεύτερος.*

ἱερατικῆς λατρείας. Εἰ δέ τις, ἐπερείσας τὴν διάνοιαν τῷ τοῦ νομοθέτου βουλήματι, καὶ τῇ κατ' αὐτὸν πολιτείᾳ ἐξετάζων τὰ κατ' αὐτοὺς, συγκρίνοι τῇ νῦν ἀγωγῇ τῶν λοιπῶν ἐθνῶν· οὐδένας μᾶλλον ἂν θαυμάσαι· ὡς ἐν ἀνθρώποις πάντα μὲν τὰ μὴ χρήσιμα τῷ γένει τῶν ἀνθρώπων περιῃρημένους, μόνα δὲ τὰ (260) εὔχρηστα παραδεξαμένους. Διὸ οὐδ' ἀγῶνες ἦσαν γυμνικοὶ, ἢ θυμελικοὶ, ἢ ἱππικοὶ παρ' αὐτοῖς· οὐδὲ γυναῖκες πιπράσκουσαι τὴν ὥραν παντὶ τῷ βουλομένῳ σπείρειν κενῶς, καὶ ἐνυβρίζειν τῇ φύσει τῶν ἀνθρωπίνων σπερμάτων. Ὁποῖον δ' ἦν παρ' αὐτοῖς τὸ ἐξ ἔτι ἁπαλῶν ὀνύχων διδάσκεσθαι ὑπεραναβαίνειν μὲν πᾶσαν τὴν αἰσθητὴν φύσιν, καὶ μηδαμοῦ αὐτῆς νομίζειν ἱδρύσθαι τὸν θεὸν, ἄνω δὲ καὶ ὑπὲρ τὰ σώματα ζητεῖν αὐτόν; Πηλίκον δὲ τὸ, σχεδὸν ἅμα γενέσει καὶ συμπληρώσει τοῦ λόγου διδάσκεσθαι αὐτοὺς τὴν τῆς ψυχῆς ἀθανασίαν, καὶ τὰ ὑπὸ γῆν δικαιωτήρια, καὶ τὰς τιμὰς τῶν καλῶς βεβιωκότων; Ἅπερ [1]) ἔτι μυθικώτερον μὲν παισὶ, καὶ τὰ παίδων φρονοῦσιν αὐτοῖς, ἐκηρύσσετο· ἤδη δὲ ζητοῦσι τὸν λόγον, καὶ βουλομένοις ἐν αὐτῷ προκόπτειν, οἱ τέως μῦθοι, (ἵν' οὕτως ὀνομάσω,) μετεμορφοῦντο εἰς τὴν ἐκκεκρυμμένην ἐν αὐτοῖς ἀλήθειαν. Ἐγὼ δὲ νομίζω ἀξίως τοῦ χρηματίζειν αὐτοὺς μερίδα [2]) θεοῦ, πάσης [3]) γε μαντείας, ὡς μάτην κηλούσης τοὺς ἀνθρώπους, καταπεφρονηκέναι· καὶ ἀπὸ δαιμόνων μοχθηρῶν μᾶλλον, ἢ ἀπό τινος κρείττονος φύσεως ἐρχομένης· ζητεῖν δὲ τὴν τῶν μελλόντων γνῶσιν ἐν ψυχαῖς δι' ἄκραν καθαρότητα παραδεξαμέναις πνεῦμα τοῦ ἐπὶ πᾶσι θεοῦ.

43. Τὸ δὲ μὴ ἐξεῖναι δουλεύειν τὸν ἀπὸ τῶν αὐ-

---

[1]) Guieto scribendum videtur: Ἅπερ ἔθη κτλ. R.

[2]) Cfr. Deut. XXXII, 9.

[3]) Libri editi (v. c. edd. Spenc.) in margine: πάσης μὲν μαντείας. R.

τῶν ὁρμώμενον δογμάτων πλεῖον ἐτῶν ἓξ,[1]) πῶς ἐστι λελογισμένον, καὶ οὔτε τὸν δεσπότην, οὔτε τὸν δοῦλον ἀδικοῦν, τί χρὴ λέγειν; Οὐ κατὰ τὰ αὐτὰ οὖν τοῖς λοιποῖς ἔθνεσι περιστέλλοιεν ἂν Ἰουδαῖοι τὸν ἴδιον νόμον. Μεμπτὸν γάρ ἐστιν αὐτοῖς, καὶ ἀναισθησίας ἔγκλημα[2]) ἐπάγον τῆς περὶ τῆς τῶν νόμων ὑπεροχῆς, εἰ νομίζοιεν αὐτοὺς ὁμοίως τοῖς ἄλλοις γεγράφθαι τοῖς κατὰ τὰ ἔθνη. Κἂν μὴ βούληται δὲ Κέλσος, σοφώτερόν τί εἰσιν εἰδότες Ἰουδαῖοι οὐ μόνον τῶν πολλῶν, ἀλλὰ καὶ τῶν φιλοσοφεῖν δοκούντων· ὅτι οἱ μὲν φιλοσοφοῦντες μετὰ τοὺς σεμνοὺς ἐν φιλοσοφίᾳ λόγους καταπίπτουσιν ἐπὶ τὰ εἴδωλα καὶ τοὺς δαίμονας· Ἰουδαίων δὲ καὶ ὁ ἔσχατος μόνῳ ἐνορᾷ τῷ ἐπὶ πᾶσι θεῷ· καὶ καλῶς γε, ὅσον ἐπὶ τούτῳ, σεμνύνονται, καὶ τὴν τῶν ἄλλων, ὡς ἐναγῶν καὶ ἀσεβῶν, ἐκτρέπονται κοινωνίαν. Καὶ εἴθε αὐτοῖς μὴ ἡμάρτητο παρανομήσασι, καὶ πρότερον μὲν τοὺς προφήτας ἀποκτείνασιν,[3]) ὕστερον δὲ καὶ τῷ Ἰησοῦ ἐπιβουλεύσασιν·[4]) ἵν' ἔχωμεν παράδειγμα πόλεως οὐρανίας, ἣν ἐζήτησε μὲν διαγράψαι καὶ Πλάτων·[5]) οὐκ

---

[1]) Cfr. Exod. XXI, 2. coll. Jerem. XXXIV, 14.

[2]) Codd. Reg. et Basil. ὄνομα. R.

[3]) Cfr. Matth. XXIII, 37.

[4]) Cfr. ev. Joann. V, 16. seqq.

[5]) Spencer. in notis: Plutarch. orat. I. de fortuna Alexandri cap. 6. *Πλάτων μὲν γὰρ μίαν γράψας πολιτείαν, οὐδένα πέπεικεν αὐτῇ χρῆσθαι διὰ τὸ αὐστηρόν.* Theodoret. sermone V. de natura hominis: *Τίνες κατὰ τοὺς Πλάτωνος πολιτεύονται νόμους; Τίνες τὴν ὑπ' ἐκείνου ξυγγραφεῖσαν πολιτείαν ἠσπάσαντο;* Laërt. in Platone: *Δεύτερον πρὸς νεώτερον ἦκε Διονύσιον, αἰτῶν γῆν καὶ ἀνθρώπους τοὺς κατὰ τὴν πολιτείαν αὐτοῦ ζησομένους·-ὁ δὲ καίπερ ὑποσχόμενος οὐκ ἐποίησε.* Lactant. lib. III. cap. 21. 22. Si vacat, lege Athenaeum, Platoni infensissimum, lib. XI. cap. 15. Rectius Clemens

οἶδα δὲ, εἰ τοσοῦτον δεδύνηται, ὅσον Μωϋσῆς ἴσχυσε, καὶ οἱ μετ' αὐτὸν, γένος[1]) τι ἐκλεκτὸν, καὶ ἔθνος ἅγιον, καὶ θεῷ ἀνακείμενον, ἐνιρέφοντες λόγοις καθαροῖς ἀπὸ πάσης δεισιδαιμονίας.

44. Ἐπεὶ δὲ βούλεται Κέλσος κοινοποιεῖν τὰ σεμνὰ Ἰουδαίων ἐθνῶν τινων νόμοις· φέρε, καὶ ταῦτα θεωρήσωμεν. Νομίζει τοίνυν τὸ περὶ οὐρανοῦ δόγμα μηδὲν (261) διαφέρειν τοῦ περὶ τοῦ θεοῦ, καί φησι »παραπλησίως[2]) τοῖς Ἰουδαίοις τοὺς Πέρσας τῷ Διὶ θυσίας ἐπιτελεῖν ἐπὶ τὰ ὑψηλότατα τῶν ὀρέων·« οὐχ ὁρῶν, ὅτι Ἰουδαῖοι ὡς ἕνα θεὸν ἠπίσταντο, οὕτως ἕνα τὸν τῆς προσευχῆς ἅγιον οἶκον, καὶ ἓν τὸ τῶν ὁλοκαρπωμάτων[3]) θυσιαστήριον, καὶ ἓν τὸ τῶν θυμιαμάτων θυμιατήριον, καὶ ἕνα τὸν τοῦ θεοῦ ἀρχιερέα. Οὐδὲν οὖν κοινὸν πρὸς Πέρσας ἦν Ἰουδαίοις, ἐπὶ τὰ ὑψηλότατα τῶν ὀρέων, πλειόνων ὄντων, ἀναβαίνοντας, καὶ θυσίας ἐπιτελοῦντας, οὐδὲν παραπλήσιον ἐχούσας ταῖς κατὰ τὸν Μωϋσέως νόμον· καθ' ὃν ὑποδείγματι[4]) καὶ σκιᾷ ἐλάτρευον τῶν ἐπουρανίων οἱ Ἰουδαίων ἱερεῖς, ἐν ἀποῤῥήτῳ[5]) διηγούμενοι τὸ τοῦ νόμου περὶ τῶν θυσιῶν βούλημα, καὶ ὧν σύμβολα ἦσαν αὗται. Πέρσαι τοίνυν πάντα τὸν τοῦ οὐρανοῦ κύκλον Δία καλείτωσαν, ἡμεῖς δὲ οὔτε Δία, οὔτε τὸν θεὸν φαμεν εἶναι τὸν οὐρανόν· οἵ γε ἐπιστάμεθα, καί τινα τῶν ἡττόνων τοῦ θεοῦ ὑπεραναβεβηκέναι τοὺς οὐρανοὺς, καὶ πᾶσαν αἰσθητὴν φύ-

---

Stromat. IV. in fine: Ἴσμεν δὲ καὶ τὴν Πλάτωνος πόλιν παράδειγμα ἐν οὐρανῷ κειμένην.

[1]) Cfr. I Petr. II, 9.

[2]) Cfr. libri huj. num. 41. coll. Herodoti lib. I. cap. 131.

[3]) Guieto scribendum videtur: ὁλοκαυτωμάτων. R.

[4]) Cfr. Hebr. VIII, 5.

[5]) Codd. Mss. (itemq. edd. Spenc. ad marg.) ἀποῤῥήτῳ. Libri editi (v. c. edd. Spenc.) in textu: ἀῤῥήτῳ. R.

σιν. Καὶ οὕτω γε συνίεμεν τοῦ· »αἰνεῖτε [1]) τὸν θεὸν οἱ οὐρανοὶ τῶν οὐρανῶν, καὶ τὸ ὕδωρ [2]) τὸ ὑπεράνω τῶν οὐρανῶν· αἰνεσάτωσαν τὸ ὄνομα κυρίου.«

45. Ἀλλ'; [3]) ἐπεὶ Κέλσος οἴεται [4]) μηδὲν διαφέρειν Δία Ὕψιστον καλεῖν, ἢ Ζῆνα, ἢ Ἀδωναῖον, ἢ Σα-

---

[1]) Psalm. CXLVIII, 4. 5. — Hoeschel. in notis: »Paraphrastes manuscriptus id praestitum ait, cum Verbum ad nos descenderet, rursumque ad coelos adscenderet: praeconio item Apostolorum. Σαφῶς καὶ οἱ οὐρανοὶ τῶν οὐρανῶν ᾔνεσαν αὐτὸν, κλίναντες μὲν ἑαυτοὺς τῇ αὐτοῦ δυνάμει ἐν τῇ πρὸς ἡμᾶς ἐπιδημίᾳ· ἀνεψγότες δὲ πάλιν αὐτῷ, ὅτ' ἂν ἀφ' ἡμῶν ἀνίει ὅθεν κατελθὼν ἀχώριστος ἔμεινεν. Ὅμως καὶ ἄλλην σοι παραγάγω θεωρίαν περὶ τούτου, ἀγαπητέ. »Αἰνεῖτε αὐτὸν οἱ οὐρανοὶ τῶν οὐρανῶν,« τουτέστιν· »οἱ ἀπόστολοι οἱ ὑψηλότεροι πάντων τῶν ἁγίων, αἰνέσατε αὐτὸν διὰ τοῦ κηρύγματος ὑμῶν.«

[2]) Hoeschel. in notis: »Idem Psalmorum Paraphrastes, Τὸ μὲν ὕδωρ, inquit, τὸ ὑπεράνω τῶν οὐρανῶν ᾔνεσεν αὐτὸν ἐπὶ τοῦ Νῶε, σαφῶς ἀποδείξαντα (leg. ἀποδείξαν) τὴν δύναμιν τοῦ δημιουργοῦ, ὅτι προστάγματι αὐτοῦ καὶ καταβέβηκεν εἰς τὴν γῆν, ὅθεν ἀνήχθη ἐν τῇ κοσμοποιΐᾳ, καὶ πάλιν ἀναβέβηκε μετὰ τὸν κατακλυσμὸν, ὅθεν κατελήλυθε, τουτέστιν, ἐκ τῶν οὐρανῶν. Ὅμως τάχα νῦν εὑρήσεις τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν, τὸ τοῦ βαπτίσματος ὕδωρ, τὸ ὑπὲρ κεφαλῆς μὲν εὑρισκόμενον τῶν οὐρανῶν, ὡσανεὶ τῶν πεπιστευκότων, ἐχχεόμενον δὲ πάλιν ἐπ' αὐτούς. Ὡς τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν κατέκλυσε καὶ ἀπώλεσε πάντας τοὺς ἐχθροὺς τοῦ θεοῦ· οὕτω καὶ τὸ τοῦ βαπτίσματος εὑρισκόμενον ὑπεράνω, λέγω δὲ ὑπὲρ κεφαλῆς τῶν πιστευσάντων, κατακλύζει καὶ ἀπόλλυσι τὰς ἐναντίας δυνάμεις· ὡς ἐν τῷ κατακλυσμῷ πεποίηκεν ἐπὶ τοὺς ἀνόμους τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν.«

[3]) Cfr. Philoc. ed. Tarini cap. XVII. pag. 158. seqq.

[4]) Cfr. libri hujus num. 41.

βαὼθ, ἢ ὡς Αἰγύπτιοι Ἀμμοῦν,[1]) ἢ ὡς Σκύθαι Παπαῖον·[2]) φέρε, καὶ περὶ τούτων ὀλίγα διαλεχθῶμεν, ὑπομιμνήσκοντες[3]) δ' ἅμα τὸν ἐντυγχάνοντα καὶ[4]) τῶν ἀνωτέρω εἰς[5]) τοιοῦτον πρόβλημα εἰρημένων, ὅτ'[6]) ἐκάλεσεν ἡμᾶς ἡ Κέλσου λέξις ἐπὶ τὰ τοιαῦτα. Καὶ νῦν οὖν[7]) φαμεν, ὅτι ἡ τῶν ὀνομάτων φύσις οὐ θεμένων εἰσὶ νόμοι, ὡς[8]) Ἀριστοτέλης οἴεται. Οὐδὲ γὰρ ἀπο ἀνθρώπων τὴν ἀρχὴν ἔχουσιν αἱ ἐν ἀνθρώποις διάλεκτοι, ὡς δῆλον τοῖς ἐφιστάνειν[9]) δυναμένοις[10]) φύσει ἐπῳδῶν οἰκειουμένων, κατὰ τὰς διαφόρους διαλέκτους, καὶ τοὺς διαφόρους φθόγγους τῶν ὀνομάτων τοῖς πατράσι τῶν διαλέκτων· περὶ ὧν ἐν τοῖς ἀνωτέρω ἐπ'[11]) ὀλίγον διειλήφαμεν, λέγοντες, ὅτι καὶ[12]) μεταλαμβανόμενα εἰς ἄλλην διάλεκτον τὰ πεφυκότα δύνασθαι ἐν τῇ δεῖνι[13]) διαλέκτῳ, οὐκέτι ἀνύει τι, ὡς ἤνυ-

---

[1]) Philoc. Ἀμοῦν. — Hoeschel. in notis: »Herodot. lib. II. (cap. 18.) Ἄμμωνα, Diodor. Sic., Lucian., Synes. epist. 4. et alii. Nazianz. carm. ad Nemes. vers. 258. Δαίμων Αἰγύπτιος θεὸς κενεηγόρος Ἄμμων.« — Cfr. tamen Herodot. lib. II. cap. 42.

[2]) Philoc. Mscr., Hoeschel. teste: *Παπίαν*, Philoc. vero impressa: *Παπαίαν*. Cfr. Herod. lib. IV. cap. 59.

[3]) Philoc. *ὑπομιμνήσκοντα ἅμα*.

[4]) Philoc. Mscr., Hoeschel. teste: *καὶ τῶν ἐν τοῖς ἀνωτέρω*, Philoc. vero impressa, ut in nostro textu.

[5]) Philoc. *εἰς τὸ τοιοῦτον*.

[6]) Philoc. *ὅτε ἐκάλεσεν*.

[7]) Deest *οὖν* in edd. Spenceri.

[8]) Philoc. *ὡς ὁ Ἀριστοτέλης*. — Cfr. lib. I. contra Cels. num. 24. coll. Aristotel. *περὶ ἑρμηνείας* cap. 2.

[9]) Philoc. *ἐφιστάναι*.

[10]) Philoc. *δυναμένοις τῇ φύσει τῶν ἐπῳδῶν*.

[11]) Philoc. *ἐπ' ὀλίγου*.

[12]) Philoc. Mscr., Hoeschel. teste: *καὶ μεταβαλλόμενα*, Philoc. vero impressa, ut in nostro textu.

[13]) Philoc. *δεῖνα*.

σεν[1]) ἐν ταῖς οἰκείαις φωναῖς. Ἤδη[2]) δὲ καὶ ἐπ' ἀνθρώπων τὸ τοιοῦτον εὑρίσκεται· τὸν[3]) γὰρ ἀπὸ γενέσεως Ἑλλάδι διαλέκτῳ καλούμενον τὸν δεῖνα οὐκ ἂν μεταλαβόντες[4]) εἰς διάλεκτον Αἰγυπτίων,[5]) ἢ Ῥωμαίων, ἤ τινος ἄλλου, ποιήσαιμεν[6]) παθεῖν, ἢ δράσαι, ἅπερ πάθοι ἢ δράσαι ἂν καλούμενος τῇ πρώτῃ θέσει τοῦ ὀνόματος αὐτοῦ. Ἀλλ' οὐδὲ τὸν ἐξ ἀρχῆς Ῥωμαίων κληθέντα[7]) φωνῇ εἰ μεταλάβοιμεν[8]) ἐπὶ τὴν Ἑλλάδα διάλεκτον, ποιήσαιμεν[9]) ἄν, ὅπερ ποιεῖν ἐπαγγέλλεται ἡ ἐπῳδή, τηροῦσα τὸ κατονομασθὲν αὐτῷ πρῶτον ὄνομα. Εἰ[10]) δὲ ταῦτα περὶ ἀνθρωπίνων ὀνομάτων λεγόμενά ἐστιν ἀληθῆ· τί χρὴ νομίζειν ἐπὶ[11]) τῶν δι' ἡνδήποτε αἰτίαν ἀναφερομένων ἐπὶ τὸ θεῖον ὀνομά-

---

[1]) Philoc. ἤνυεν.

[2]) Philoc. Ἤδη δὲ καὶ ἀνθρώπων κτλ.

[3]) Philoc. τὸν γὰρ ἀπὸ γενέσεως καλούμενον ἑλλάδι διαλέκτῳ τὸν δεῖνα, οὐκ ἂν κτλ.

[4]) Recte Mss. μεταλαβόντες, ut supra, (cfr. pag. 248. not. 12.), libri editi (v. c. edd. Spenc) μεταλαμβανόμενα, et infra, (cfr. pag. huj. not. 8.) μεταλάβοιμεν. Philocal. tamen hoc loco habet: μεταβαλόντες, et infra (cfr. pag. huj. not. 8.) μεταβάλλοιμεν. R. — Edd. Spenc. μεταβαλόντες. Jam Boherell. vero in notis: »Lege: μεταλαβόντες, ut supra (cfr. pag. 248. not. 12.) μεταλαμβανόμενα, paulo infra (cfr. pag. huj. not. 8.) μεταλάβοιμεν, inferius, (cfr. pag. 250. not. 1.) μεταλαμβάνεται. Item (cfr. pag. 251. not. 6.) μεταλάβωμεν, infra (cfr. pag. 252. not. 5. et 6.) μεταλαμβάνομεν, inferius (cfr. pag. 252. not. 11.) μεταλαμβανόμενα.«

[5]) Philoc. Αἰγυπτίαν.

[6]) Philoc. ποιήσαιμεν ἂν παθεῖν κτλ. Edd. Spenc. ad marg. ποιήσαι μὲν παθεῖν.

[7]) Philoc. Mscr., Hoeschel. teste: κληρωθέντα φωνῇ, Philoc. vero impressa, ut in nostro textu.

[8]) Philoc. μεταβάλλοιμεν. Cfr. pag. huj. not. 4.

[9]) Edd. Spenc. ad marg. ποιήσαι μὲν ἄν.

[10]) Philoc. Εἰ δὲ τὰ περί κτλ.

[11]) Philoc. ἐπὶ τῶν δι' ἣν ποτε αἰτίαν.

των; Μεταλαμβάνεται[1]) γάρ[2]) τι, φέρ' εἰπεῖν, εἰς (262) Ἑλλάδα φωνὴν ἀπὸ[3]) τοῦ Ἀβραὰμ ὀνόματος, καὶ σημαίνεταί τι ἀπὸ τῆς Ἰσαὰκ προσηγορίας, καὶ δηλοῦταί τι ἀπο τῆς Ἰακὼβ φωνῆς·[4]) καὶ ἐὰν μὲν ὁ καλῶν ἢ ὁ ὁρκῶν ὀνομάζῃ θεὸν Ἀβραὰμ, καὶ θεὸν Ἰσαὰκ, καὶ θεὸν Ἰακὼβ,[5]) τάδε τινὰ ποιήσαι ἂν, ἤτοι διὰ τὴν τούτων φύσιν, ἢ καὶ δύναμιν αὐτῶν, καὶ[6]) δαιμόνων νικωμένων καὶ ὑποταττομένων τῷ λέγοντι ταῦτα. Ἐὰν[7])

---

[1]) Omnes edd. hoc loco, cfr. pag. 249. not. 4. *μεταλαμβάνεται.*

[2]) Sic. Philoc. (itemq. Boherell. in not.) Apud Hoeschel. et Spencer deest vocula: *τι.* R.

[3]) Philoc. *ὑπό.*

[4]) Philoc. *φωνῆς. Ἐὰν μὲν ὁ καλῶν ἢ ὁρκῶν, ὀνομάζῃ κτλ.*

[5]) Philoc. *Ἰακὼβ, τόδε τι ποιήσαι ἂν, ἤτοι διὰ τὴν τῶν ὀνομάτων φύσιν, κτλ.* Vide lib. I. contra Cels. num. 22.

[6]) Philoc. *καὶ δαιμονίων νικωμένων καὶ ὑποταττομένων τῷ λέγοντι αὐτά. Ἐὰν δέ κτλ.*

[7]) Spencer. in notis: »Jamblich. libr. de Mysteriis sect. VII. cap. V. de nominibus divinis (ed. Oxon. pag. 154.) *Οὐδὲ γὰρ πάντως τὴν αὐτὴν διασώζει διάνοιαν μεθερμηνευόμενα τὰ ὀνόματα· ἀλλ' ἔστι τινὰ καὶ καθ' ἕκαστον ἔθνος ἰδιώματα, ἀδύνατα εἰς ἄλλο ἔθνος διὰ φωνῆς σημαίνεσθαι. Ἔπειτα κἂν εἰ οἷόν τε αὐτὰ μεθερμηνεύειν, ἀλλὰ τήν γε δύναμιν οὐκέτι φυλάττει τὴν αὐτήν.* (Cfr. notae pag. 292. et 293. in eadem ed. Oxon. obviam factae.) Nicephor. Greg. in schol. ad Synesii librum de insomniis pag. 362. *Περὶ δὲ τῶν ὀνομάτων, ἃ φωνοῦσι,* (Chaldaeos intellige, quorum e scriptis haec se collegisse dicit,) *παραγγέλλουσι λέγοντες· ὀνόματα βάρβαρα μήποτ' ἀλλάξῃς. Εἰσὶ γὰρ ὀνόματα παῦ ἑκάστοις θεόσδοτα, δύναμιν ἐν τελεταῖς ἄῤῥητον ἔχοντα, ὥσπερ τὸ Σαβαὼδ, τὸ Ἀδωναΐ, τὸ Χερουβὶμ, καὶ τὸ Σεραφὶμ, τὸ Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ, καὶ ὅσα τοιαῦτα· ἃ φησιν, ἐὰν εἰς τὴν Ἑλληνικὴν μεταθῇς διά-*

δὲ λέγῃ· »ὁ θεὸς πατρὸς ἐκλεκτοῦ τῆς ἠχοῦς,[1]) καὶ ὁ θεὸς τοῦ γέλωτος,[2]) καὶ ὁ θεὸς τοῦ[3]) πτερνιστοῦ·« οὕτως οὐδὲν ποιεῖ τὸ ὀνομαζόμενον, ὡς[4]) οὐδ' ἄλλο τι τῶν μηδεμίαν δύναμιν ἐχόντων. Οὕτω δὲ κἂν μὲν[5]) μεταλάβωμεν[6]) τὸ Ἰσραὴλ ὄνομα εἰς Ἑλλάδα, ἢ ἄλλην διάλεκτον, οὐδὲν ποιήσομεν· ἐὰν δὲ τηρήσωμεν αὐτό, προσάπτοντες οἷς οἱ περὶ ταῦτα δεινοὶ συμπλέκειν[7])

λεκτον, ἀφανίζεις τὴν αὐτῶν δύναμιν, καὶ ἐνέργειαν, ὡς καὶ Ὠριγένει δοκεῖ τῷ σοφῷ. Φησὶ δὲ Ἀσκληπιὸς, ὁ τοῦ τρισμεγίστου Ἑρμοῦ μαθητὴς, ἐν τῷ πρὸς τὸν Αἰγύπτιον βασιλέα λόγῳ· ὅτι ὅσον δυνατόν ἐστί σοι, βασιλεῦ, τὸν ὑφ' ἡμῶν παραδεδομένον σοι λόγον διατήρησον, ἵνα μήτε εἰς Ἕλληνας ἔλθῃ τοιαῦτα μυστήρια, μήτε ἡ τῶν Ἑλλήνων ὑπερήφρασις κεκαλλωπισμένη ἐξίτηλον ποιήσῃ τὸ σεμνὸν, καὶ στιβαρὸν, καὶ τὴν ἐνεργετικὴν τῶν ὀνομάτων φράσιν. Οἱ γὰρ τοιοῦτοι λόγοι τῇ πατρῴᾳ διαλέκτῳ ἑρμηνευόμενοι ἔχουσι σαφῆ τὸν τῶν λόγων νοῦν· καὶ γὰρ αὐτὸ τὸ τῆς φωνῆς ποιὸν, καὶ ἡ τῶν Αἰγυπτίων ὀνομάτων δύναμις, ἐν αὐτῷ τὴν τῶν λεγομένων ἐνέργειαν ἔχουσι· διαστρεφόμενοι δὲ ἀσαφεῖς τε γίνονται καὶ ἀνενέργητοι.«

[1]) Sic Philocalia, nec aliter Philo extremo de Gigantibus libro. Item libro de Abrahamo, et libro de nominum mutatione. Hoeschel. et Spencer. hic habent: ἠχούσης. Ruaeus, Boherello duce. — Hoeschel. in notis: »Periit hujus loci emendatio. Lege: τῆς ἠχοῦς.«

[2]) Cfr. Philo libro περὶ τῶν μετονομαζομένων, et Amos. VII, 9.

[3]) Cfr. Philo libro περὶ τῶν μετονομαζομένων.

[4]) Philoc. ὡς οὐδὲ ἄλλο τι τῶν κτλ.

[5]) Deest μέν in Philocalia.

[6]) Philoc. Mscr., Hoeschel. teste: μεταβάλλωμεν, Philoc. vero impressa, ut in textu nostro. Cfr. pag. 249. not. 4.

[7]) Philoc. Mscr., Hoeschel. teste: προσπλέκειν φήθησαν, Philoc. vero impressa: συμπλέκειν φήθησαν.

αὐτὸ[1]) ᾠήθησαν·[2]) τότε γένοιτ' ἄν τι κατὰ τὴν ἐπαγγελίαν τῶν[3]) τοιωνδὶ ἐπικλήσεων, ἐκ τῆς τοιασδὶ φωνῆς. Τὸ[4]) δ' ὅμοιον ἐροῦμεν καὶ περὶ τῆς Σαβαὼθ φωνῆς, πολλαχοῦ τῶν ἐπῳδῶν παραλαμβανομένης,[5]) ὅτι εἰ μεταλαμβάνομεν[6]) τὸ ὄνομα εἰς τὸ »κύριος τῶν δυνάμεων,« ἢ »κύριος στρατιῶν,«[7]) ἢ »παντοκράτωρ·« (διαφόρως[8]) γὰρ αὐτὸ ἐξεδέξαντο οἱ ἑρμηνεύοντες αὐτό·) οὐδὲν ποιήσομεν· τηροῦντες δ' αὐτὸ ἐν τοῖς ἰδίοις φθόγγοις, ποιήσομέν τι, ὥς φασιν οἱ περὶ ταῦτα δεινοί. Τὸ[9]) δὲ ὅμοιον ἐροῦμεν καὶ περὶ τοῦ Ἀδωναΐ. Εἴπερ[10]) οὖν οὔτε τὸ Σαβαὼθ, οὔτε τὸ Ἀδωναΐ, μεταλαμβανόμενα[11]) εἰς ἃ δοκεῖ σημαίνειν[12]) ἐν Ἑλλάδι φωνῇ, ἀνύει τι· πόσῳ πλέον οὐδὲν ἂν ποιήσαι,[13]) οὐδὲ

---

[1]) Deest αὐτό in Philocalia. Cfr. pag. 251. not. 7.

[2]) Ruaeus, Boherello duce, in notis: »Forte legendum: εἰώθασι.«

[3]) Philoc. τῶν τοιῶνδε ἐπικλήσεων.

[4]) Philoc. Τὸ δὲ ὅμοιον κτλ.

[5]) Philoc. προσλαμβανομένης· ὅτι μεταλαμβανόμενον μὲν τὸ ὄνομα.

[6]) Hoeschel. ad marg. notarum Philocal. lectionem: μεταλαμβανόμενον exhibentium: μεταβαλλόμενον. Cfr. pag. 249. not. 4.

[7]) Philoc. Mscr., Hoeschel. teste: στρατιωτῶν, Philoc. vero impressa, ut in textu nostro.

[8]) Philoc. διαφόρως γὰρ ἐδέξαντο οἱ ἑρμηνεύσαντες αὐτὸ, οὐδὲν ποιήσομέν τι, ὥς φασιν οἱ περὶ ταῦτα δεινοί, omissis plurimis.

[9]) Philoc. Τὸ δ' ὅμοιον κτλ.

[10]) Philoc. Mscr., Hoeschel. teste: Εἴπερ οὖν οὗ ἐστι τὸ Σαβαὼθ, ἢ καὶ τὸ Ἀδωναΐ, Philoc. vero impressa, ut in textu nostro.

[11]) Philoc. μεταβαλλόμενα. Cfr. pag. 249. not. 4.

[12]) Philoc. Mscr., Hoeschel. teste: σημαίνειν Ἑλλάδι φωνῇ, Philoc. vero impressa, ut in textu nostro.

[13]) Edd. Spenc. ad marg. ποιῆσαι οὐδὲ δυνηθείη.

δυνηθείη παρὰ τοῖς μηδὲν διαφέρειν [1]) οἰομένοις Λία Ὕψιστον καλεῖν, ἢ Ζῆνα, ἢ Ἀδωναῖον, ἢ Σαβαώθ;

46. Ταῦτα δὴ καὶ τὰ τούτοις [2]) ἀνάλογον ἀπόῤῥητα ἐπιστάμενοι Μωϋσῆς [3]) καὶ οἱ προφῆται, [4]) ἀπαγορεύουσιν ὄνομα θεῶν ἑτέρων ὀνομάζειν ἐν [5]) στόματι, μελετήσαντι [6]) τῷ ἐπὶ [7]) πᾶσι μόνῳ εὔχεσθαι θεῷ, καὶ ἀναμνημονεύειν ἐν καρδίᾳ διδασκομένῃ καθαρεύειν ἀπὸ πάσης ματαιότητος νοημάτων καὶ λέξεων. Καὶ διὰ [8]) τοιαῦτα πᾶσαν [9]) αἰκίαν ὑπομένειν μᾶλλον αἱρούμεθα, ἢ τὸν Λία ὁμολογῆσαι θεόν. Οὐ γὰρ τὸν αὐτὸν εἶναι ὑπολαμβάνομεν [10]) Λία καὶ Σαβαώθ· ἀλλ' [11]) οὐδ' ὅλως θεῖόν τι τὸν Λία· δαίμονα δέ τινα χαίρειν οὕτως ὀνομαζόμενον, οὐ φίλον ἀνθρώποις, οὐδὲ τῷ ἀληθινῷ θεῷ. Κἂν Αἰγύπτιοι δὲ τὸν Ἄμμοῦν [12]) ἡμῖν προτείνωσι,

---

[1]) Cfr. libri huj. num. 41.

[2]) Philoc. τούτοις κατὰ τὸ ἀνάλογον.

[3]) Philoc. Μωσῆς. — Cfr. Exod. XXIII, 13.

[4]) Cfr. Psalm. XVI, 4. (XV.)

[5]) Hoeschel. et Spencerus, uncis voc. ἑνί appositis: ἐν ἑνὶ στόματι.

[6]) Edd. Spenc. ad marg., ed. Ruaei in notis: »Gelenius videtur legisse: μελετήσαντες.«

[7]) Philoc. voc. μόνῳ omisso: ἐπὶ πᾶσιν εὔχεσθαι θεῷ.

[8]) Philoc. Mscr., Hoeschel. teste: διὰ τὰ τοιαῦτα, Philoc. vero impressa: διὰ ταῦτα.

[9]) Spenc. in notis: »Joann. Seiden. Syntagm. II. de diis Syris: Pie fateor Origenes, qui non vult Deum verum Jovem vocari, id est, Ζῆνα, ob fabularum de eo spurcitiem. Videas ejus libr. V. adversus Celsum.«

[10]) Sic Philocalia. Hoeschel. autem et Spencerus: ὑπολαμβανόμενον. R. — Philoc. Mscr., Hoeschel. teste: λαμβανόμενον, Philoc. vero impressa, ut supra dictum est: ὑπολαμβάνομεν. Hoeschel. et Boherellus in notis, ille: »Forsan legi debet,« hic: »Melius alii: ὑπολαμβάνομεν τὸν Λία.«

[11]) Philoc. ἀλλ' οὐδὲ ὅλως.

[12]) Philoc. Ἄμοῦν. — Cfr. Herod. lib. II. cap. 18. coll. cap. 42.

θάνατον[1]) ἀπειλοῦντες· τεθνηξόμεθα μᾶλλον, ἢ τὸν Ἄμμοῦν[2]) ἀναγορεύσαιμεν[3]) θεὸν, παραλαμβανόμενον, ὡς[4]) εἰκὸς, ἔν τισιν Αἰγυπτίαις καλούσας τὸν δαίμονα τοῦτον ἐπῳδαῖς. Λεγέτωσαν δὲ καὶ Σκύθαι τὸν Παππαῖον[5]) θεὸν εἶναι τὸν ἐπὶ πᾶσιν· ἀλλ' ἡμεῖς οὐ πεισόμεθα,[6]) τιθέντες μὲν τὸν ἐπὶ πᾶσι θεὸν. ὡς δὲ φίλον τῷ λαχόντι τὴν Σκυθῶν ἐρημίαν, καὶ τὸ ἔθνος αὐτῶν καὶ τὴν διάλεκτον, οὐκ ὀνομάζοντες τὸν θεὸν ὡς κυρίῳ ὀνόματι[7]) τῷ Παππαῖον. Σκυθιστὶ γὰρ τὸ προσηγορικὸν τὸν θεὸν, καὶ Αἰγυπτιστὶ, καὶ (263) πάσῃ διαλέκτῳ, ᾗ ἕκαστος ἐντέθραπται, ὀνομάζων, οὐχ ἁμαρτήσεται.[8])

---

[1]) Hoeschel. in textu, edd. Spenc. ad marg. κόλασιν ἀπειλοῦντες.

[2]) Philoc. Ἀμοῦν. — Cfr. Herodot. lib. II. cap. 18. coll. cap. 42.

[3]) Sic Philocalia. Hoeschel. et Spencerus: ἀναγορεύσομεν θεόν.

[4]) Philoc. κατὰ τὸ εἰκός.

[5]) Philoc. Παπαῖον. — Cfr. Herodot. lib. IV. cap. 59.

[6]) Philoc. πειθόμεθα.

[7]) Philoc. Mscr., Hoeschel. teste: ὀνόματι τὸν Παπαῖον, Σκυθικὸν γάρ· τὸ προσηγορικὸν δὲ τὸν θεὸν κτλ., Philoc. vero impressa: ὀνόματι τὸν Παπαῖον· Σκυθιστὶ γὰρ τὸ προσηγορικὸν τὸν θεὸν κτλ. — Cfr. Herodot. lib. IV. cap. 59.

[8]) In Philoc. verbum: ἁμαρτήσεται, haec verba excipiunt: Οὐδὲ Ἀπόλλωνα δὲ τὸν Ἥλιον, οὐδὲ Ἄρτεμιν δὲ τὴν Σελήνην, ἀλλὰ καθαρὰν εὐσέβειαν εἰς τὸν δημιουργὸν ἀσκοῦντες, καὶ τὰ καλὰ αὐτοῦ δημιουργήματα εὐφημοῦντες, οὐδὲ μέχρι ὀνόματος χραίνομεν τὰ θεῖα, ἀποδεχόμενοι τοῦ Πλάτωνος τὸν ἐν Φιλήβῳ λόγον, μὴ βουληθέντος τὴν ἡδονὴν παραδέξασθαι θεόν· »τὸ ἐμὸν γὰρ δέος, φησὶν, ὦ Πρώταρχε, περὶ τὰ θεῶν ὀνόματα τοιόνδε τί ἐστιν·« ἡμεῖς δὲ ἀληθῶς ἔχομεν δέος περὶ τὸ ὄνομα τοῦ θεοῦ, καὶ τῶν καλῶν αὐτοῦ δημιουργη-

47. Τὸ[1]) δ' αἴτιον τῆς Ἰουδαίων περιτομῆς οὐ ταὐτόν ἐστι τῷ αἰτίῳ τῆς Αἰγυπτίων[2]) περιτομῆς, ἢ Κόλχων· διὸ οὐχ ἡ αὐτὴ νομισθείη ἂν περιτομή. Καὶ ὥσπερ ὁ θύων οὐ τῷ αὐτῷ θύει, εἰ καὶ ὁμοίως θύειν δοκεῖ· καὶ ὁ εὐχόμενος οὐ τῷ αὐτῷ εὔχεται, εἰ καὶ τὰ αὐτὰ ἐν ταῖς εὐχαῖς ἀξιοῖ· οὕτως οὐδ', εἴ τις περιτέμνεται, ἀδιαφορεῖ πάντως[3]) τῆς πρὸς ἕτερον περιτομῆς. Ἡ γὰρ πρόθεσις, καὶ ὁ νόμος, καὶ τὸ βούλημα τοῦ περιτέμνοντος, ἀλλοῖον ποιεῖ τὸ πρᾶγμα. Ἵνα δ' ἔτι μᾶλλον νοηθῇ τὸ πᾶν κατὰ τὸν τύπον· λεκτέον, ὅτι τὸ τῆς δικαιοσύνης ὄνομα ταὐτὸν μέν ἐστι παρὰ πᾶσιν Ἕλλησιν· ἤδη δὲ ἀποδείκνυται ἄλλη[4]) μὲν ἡ κατ' Ἐπίκουρον δικαιοσύνη· ἄλλη δὲ ἡ κατὰ τοὺς[5])

μάτων, ὡς μηδὲ προφάσει τροπολογίας μῦθόν τινα παραδέξασθαι ἐπὶ βλάβῃ τῶν νέων. — Cfr. lib. IV. contra Cels. num. 48. (edd. Spenc. pag. 196. lin. 34. seqq.)

[1]) Hoeschel. in notis: Οἱ καθ' ἡμᾶς θεολογοῦντές φασιν, ὅτι ἡ περιτομὴ τὸ διεφθαρμένον τῆς γενέσεως, καὶ τὸν ἐκ περιτομῆς γενηθησόμενον σωτῆρα ὑπηνίξατο.

[2]) Hoeschel. in textu, edd. Spenc. ad marg. Αἰγυπτίου.

[3]) Mallet Guietus: τῇ πρὸς ἕτερον περιτομῇ. R.

[4]) Spencer. in notis: Plutarch. lib. IV. cap. 4. de placitis philosophorum: Ἐπίκουρος διμερῆ τὴν ψυχήν, τὸ μὲν λογικὸν ἔχουσαν ἐν τῷ θώρακι καθιδρυμένον, τὸ δ' ἄλογον καθ' ὅλην τὴν σύγκρισιν τοῦ σώματος διεσπαρμένον.

[5]) Spencer. in notis: Tertullian. cap. XIV. de anima: »Dividitur autem in partes nunc in duas a Platone, nunc in tres a Zenone, nunc in quinque et in sex a Panaetio, in septem a Sorano, etiam in octo penes Chrysippum, etiam in novem penes Apollophanem; sed et in decem apud quosdam Stoicorum, et in duas amplius apud Posidonium, qui a duobus exorsus titulis, principali, quod ajunt ἡγεμονικόν, et a rationali, quod ajunt λογικόν, in duodecim exinde prosecuit.« Addas Plutarch. lib. IV. cap. 4. de placitis philosophorum.

ἀπὸ τῆς Στοᾶς ἀρνουμένους[1]) τὸ τριμερὲς[2]) τῆς ψυχῆς· ἄλλη δὲ κατὰ τοὺς[3]) ἀπὸ Πλάτωνος ἰδιοπραγίαν τῶν μερῶν τῆς ψυχῆς φάσκοντας[4]) εἶναι τὴν δίκαιοσύνην. Οὕτω δὲ καὶ ἄλλη μὲν ἡ Ἐπικούρου[5]) ἀνδρεία, ὑπομένοντος[6]) πόνους διὰ φυγὴν πόνων πλειόνων· ἄλλη δ' ἡ τοῦ ἀπὸ τῆς Στοᾶς, δι'[7]) αὐτὴν αἱρουμένου[8]) πᾶσαν ἀρετήν·[9]) ἄλλη δὲ ἡ ἀπὸ Πλάτω-

---

[1]) Cod. Jolianus ex correctione recte habet: *ἀρνουμένους*, et paulo post: *φάσκοντας*. R. — Jam Boherell. in notis: »Malim: *ἀρνουμένους*, et *φάσκοντας*. Haec (apud Hoeschel. et Spencer.) posita fuerunt in Genitivo, *ἀρνουμένων* et *φασκόντων*, propter sequentia: *ὑπομένοντος*, *αἱρουμένου*, *φάσκοντος κτλ.* Sed male; nam dispar est ratio.«

[2]) Cfr. Plato lib. IV. de republica pag. 436. et pag. 439., lib. IX. de republica pag. 580. et pag. 581., in Phaedro pag. 246., Plutarch. in quaestionib. Platonic., Clemens Stromat. V. pag. 572., Theodoret. sermon. V. de natura hominis, Philo libro de agricultura, Tertullian. cap. 16. de anima.

[3]) Vide Platonem lib. IV. de republica pag. 440 —443.

[4]) Edd. Spenc. *φασκόντων*. Cfr. pag. huj. not. 1.

[5]) Spencer. in notis: Tull. Tusculan. quaest. lib. V. »Totumque hoc de voluptate sic ille (id est Epicurus) praecepit, ut voluptatem ipsam per se, quia voluptas sit, semper optandam expetendamque putet: eademque ratione dolorem ob id ipsum, quia dolor sit, semper esse fugiendum. Itaque hac usurum compensatione sapientem, ut voluptatem fugiat, si ea majorem dolorem effectura sit, et dolorem suscipiat majorem efficientem voluptatem.«

[6]) Cfr. pag. huj. not. 1.

[7]) Dubitat Guietus, an non scribendum sit: *δι' αὐτῆς*. R. — Boherell. in notis: »Melius: *δι' αὐτήν*.«

[8]) Cfr. pag. huj. not. 1.

[9]) Spencer. in notis: Seneca libr. de vita beata cap. 9. »Itaque erras, cum interrogas: Quid sit illud, pro-

νος,[1]) *τοῦ*[2]) *θυμικοῦ μέρους τῆς ψυχῆς φάσκοντος*[3]) *αὐτὸ*[4]) *εἶναι ἀρετὴν, καὶ ἀποτάσσοντος αὐτῇ*[5]) *τόπον τὸν περὶ τὸν θώρακα. Οὕτω δ' εἴη ἂν κατὰ τὰ διάφορα τῶν περιτεμνομένων δόγματα διάφορος ἡ περιτομή· περὶ ἧς ἐν τοιούτῳ συγγράμματι οὐκ ἀναγκαῖον νῦν λέγειν. Ὅτῳ γὰρ φίλον ἰδεῖν τὰ κινήσαντα ἡμᾶς εἰς τὸν τόπον, ἀναγνώτω περὶ αὐτοῦ ἐν τοῖς εἰς τὴν πρὸς Ῥωμαίους ἐπιστολὴν Παύλου πραγματευθεῖσιν ἡμῖν.*

48. *Κἂν σεμνύνωνται τοίνυν Ἰουδαῖοι τῇ περιτομῇ, χωρίσουσιν αὐτὴν οὐ μόνον τῆς τῶν Κόλχων καὶ Αἰγυπτίων περιτομῆς, ἀλλὰ καὶ τῆς Ἰσμαηλιτῶν Ἀράβων, καί τοί γε ἀπὸ τοῦ προπάτορος αὐτῶν Ἀβραὰμ τοῦ Ἰσμαὴλ*[6]) *γεγενημένου, καὶ σὺν ἐκείνῳ περιτεμνομένου. Λέγουσι δὲ Ἰουδαῖοι τὴν μὲν ὀκταήμερον πε-*

---

pter quod virtutem petam? Quaeris enim aliquid supra summum. Interrogas: Quid petam extra virtutem? Ipsam: nihil enim habet melius: ipsa pretium sui est.« Tull. libr. V. de finibus: »Quia cum a Zenone, inquam, hoc magnifice tanquam ex oraculo editur: Virtus ad beate vivendum se ipsa contenta est.«

[1]) Spencer. in notis: Vide Platonem in Timaeo pag. 69. et 70. Tull. Tusculan. quaest. lib. I. »Ejus doctor, Plato, triplicem finxit animam; cujus principatum, id est rationem, in capite, sicut in arce, posuit; et duas partes separare voluit, iram et cupiditatem, quas locis disclusit: iram in pectore, cupiditatem subter praecordia locavit.«

[2]) Hoeschel. in notis: *Καθάπερ*, Philo inquit in Allegoricis pag. 36., *τὴν φρόνησιν τοῦ λογικοῦ, καὶ τὴν σωφροσύνην τοῦ ἐπιθυμητικοῦ.*

[3]) Cfr. pag. 256. not. 1.

[4]) Boherell. in notis: »Lego: *αὐτήν*, nempe *τὴν ἀνδρείαν*, ut versu sequenti legitur: *αὐτῇ*.«

[5]) Cfr. pag. huj. not. 4.

[6]) Cfr. Genes. XVII, 23.

ρι τομὴν εἶναι τὴν προηγουμένην, τὴν δὲ μὴ τοιαύτην ἐκ περιστάσεως· καὶ τάχα διά τινα πολέμιον τῷ Ἰουδαίων ἔθνει ἄγγελον αὐτὴ[1]) ἐτελεῖτο, δυνάμενον μὲν σίνεσθαι τοὺς μὴ περιτεμνομένους αὐτῶν, ἀτονοῦντα δὲ ἐν τοῖς περιτεμνομένοις. Ὅπερ φήσει τις δηλοῦσθαι ἐκ τῶν ἐν τῇ Ἐξόδῳ[2]) γεγραμμένων· ἐν οἷς ὁ ἄγγελος πρὸ μὲν τῆς περιτομῆς τοῦ Ἐλιάζαρ,[3]) ἐνεργεῖν ἐδύνατο κατὰ Μωϋσέως· περιτμηθέντος δ' αὐτοῦ, οὐδὲν ἴσχυσε. Καὶ τοιαῦτά γε μαθοῦσα ἡ Σεπφώρα[4]) λαβοῦσα ψῆφον, περιέτεμε τὸ παιδίον ἑαυτῆς· κατὰ μὲν τὰ κοινὰ τῶν ἀντιγράφων λέγειν ἀναγεγραμμένη τό· »ἔστη[5]) τὸ αἷμα τῆς περιτομῆς τοῦ παιδίου μου·« κατὰ δὲ τὸ Ἑβραϊκὸν αὐτό·[6]) »νυμφίος αἱμάτων σύ μοι.« Ἤιδει γὰρ τὸν περὶ τοῦ τοιουδὶ ἀγγέλου λόγον, δυναμένου πρὸ τοῦ αἵματος, καὶ παυομένου διὰ τὸ τῆς περιτομῆς αἷμα· ἐφ' ᾧ καὶ ἐλέχθη αὐτῷ[7]) τό· »νυμφίος[8]) αἱμάτων σύ μοι.« Ἀλλὰ (264) ταῦτα μὲν περιεργότερά πως εἶναι δοκοῦντα, καὶ οὐ κατὰ τὴν τῶν πολλῶν ἀκοήν, παρακεκινδυνευμένως ἐπὶ τοσοῦτον λελέχθω· οἷς ἔτι ἓν, ὡς Χριστιανῷ πρέπον, προσθεὶς ἐπὶ τὰ ἑξῆς μεταβήσομαι. Ἐδύνατο γὰρ οὗτος, οἶμαι, ὁ ἄγγελος κατὰ[9]) τῶν μὴ περιτεμνομένων ἀπὸ τοῦ λαοῦ,

---

[1]) Boherell. in notis: »Videlicet ἡ μὴ τοιαύτη, ἡ μὴ ὀκταήμερος.«

[2]) Cfr. Exod. IV, 24. 25.

[3]) Boherell. in notis: »Cave confundas cum Eleazare, qui filius fuit Aaronis; cfr. Exod. VI, 23. Hic Mosis filius erat; cfr. Exod. XVIII, 4. et I Chron. XXIII, 15.«

[4]) Cfr. Exod. IV, 25. 26.

[5]) Cfr. Exod. IV, 25. 26.

[6]) Ruaeus absque causa in notis: »Forte scribendum: αὖ τό.« — Cfr. Exod. IV, 25. 26.

[7]) Hoeschel. et Spencer. in margine: αὐτῇ.

[8]) Cfr. Exod. IV, 25. 26.

[9]) Οἱ μὴ περιτεμνόμενοι ἀπὸ τοῦ λαοῦ, καὶ σέβον-

καὶ ἁπαξαπλῶς πάντων [1]) τῶν σεβόντων μόνον τὸν δημιουργόν· καὶ ἐπὶ τοσοῦτόν γε ἐδύνατο, ὅσον οὐκ ἀνειλήφει σῶμα ὁ Ἰησοῦς. [2]) Ὅτε δ' ἀνείληφε, καὶ περιετέμνετο τὸ ἐκείνου σῶμα· καθηρέθη πᾶσα ἡ κατὰ τῶν ἐν τῇ θεοσεβείᾳ ταύτῃ περιτεμνομένων [3]) δύναμις αὐτοῦ· ἀφάτῳ γὰρ θεότητι καθεῖλεν ἐκεῖνον [4]) ὁ Ἰησοῦς. Διὸ τοῖς μαθηταῖς αὐτοῦ ἀπείρηται περιτέμνεσθαι, καὶ λέγεται αὐτοῖς· »ὅτι [5]) ἐὰν περιτέμνησθε, Χριστὸς οὐδὲν ὑμᾶς ὠφελήσει.«

49. Ἀλλ' οὐδὲ ἐπὶ τῷ συῶν ἀπέχεσθαι, ὡς μεγάλῳ τινὶ, Ἰουδαῖοι σεμνύνονται· ἐπὶ δὲ τῷ τὴν καθαρῶν καὶ ἀκαθάρτων ζώων φύσιν μεμαθηκότες, [6]) καὶ τὴν τούτου αἰτίαν ἐγνωκέναι, καὶ τὸν σῦν ἐν ἀκαθάρτοις τετάχθαι. Καὶ ταῦτα δὲ σύμβολά τινων ἦν μέχρι τῆς Ἰησοῦ ἐπιδημίας· μεθ' [7]) ὃν τῷ μαθητῇ αὐτοῦ λέλεκται, μηδέ πω νοοῦντι τὸν περὶ τούτων λόγον, καὶ φάσκοντι· »οὐδὲν [8]) κοινὸν ἢ ἀκάθαρτον εἰσῆλθεν εἰς τὸ στόμα μου·« τό· »ἃ [9]) ὁ θεὸς ἐκαθάρισε, [10]) σὺ μὴ κοίνου.« Οὔτ' οὖν πρὸς Ἰουδαίους, οὔτε πρὸς ἡμᾶς ἐστι τὸ οὐ μόνον συῶν, ἀλλὰ προσέτι αἰγῶν, καὶ οἰῶν, καὶ βοῶν, καὶ ἰχθύων ἀπέχεσθαι τοὺς Αἰγυπτίων ἱερεῖς. Ἀλλ'

τες μόνον τὸν δημιουργόν, sunt illi, qui in Actis saepius vocantur: σεβόμενοι τὸν θεόν, in antiqua versione: *coelicolae*, in scriptis vero Rabbinorum: *proselyti inquilini*. R.

[1]) Edd. Spenc. ad marg. τῶν σεβόντων πάντων μόνον. [2]) Cfr. Luc. II, 21.

[3]) Boherell. in notis: »Lego: μὴ περιτεμνομένων.«

[4]) Boherell. in notis: »Malim ἐκείνην, ut ad δύναμιν referatur.« [5]) Gal. V, 2.

[6]) Guieto scribendum videtur: μεμαθηκέναι. R.

[7]) Cod. Reg. non male: μεθ' ἣν. R.

[8]) Cfr. Act. X, 14. [9]) Cfr. Act. X, 15.

[10]) Hoeschel. in textu, edd. Spenc. ad marg. ἐκάθηρε.

ἐπεὶ οὐ τὰ εἰσερχόμενα[1]) εἰς τὸ στόμα κοινοῖ τὸν ἄνθρωπον, καὶ βρῶμα[2]) ἡμᾶς οὐ παραστήσει τῷ θεῷ· οὐ μέγα φρονοῦμεν μὴ ἐσθίοντες, οὐδ' ἀπὸ γαστριμαργίας ἤκομεν ἐπὶ τὸ ἐσθίειν. Διόπερ, τὸ ὅσον ἐφ' ἡμῖν, οἱ ἀπὸ Πυθαγόρου, ἐμψύχων[3]) ἀπεχόμενοι, χαιρόντων. Ὅρα δὲ καὶ τὴν διαφορὰν τοῦ αἰτίου τῆς τῶν ἐμψύχων[4]) ἀποχῆς, τῶν ἀπὸ τοῦ Πυθαγόρου, καὶ τῶν[5]) ἐν ἡμῖν ἀσκητῶν. Ἐκεῖνοι μὲν γὰρ, διὰ τὸν περὶ ψυχῆς μετενσωματουμένης μῦθον, ἐμψύχων[6]) ἀπέχονται·

— καί[7]) τις φίλον υἱὸν ἀείρας,
Σφάξει ἐπευχόμενος μέγα νήπιος.

---

[1]) Cfr. Matth. XV, 11. coll. versib. 17. 18.

[2]) Cfr. I Cor. VIII, 8.

[3]) Ita Cod. Basileensis, sicque paulo post ipsimet libri impressi (v. c. edd. Spenc.), qui tamen hoc loco habent: ἐμψύχου. R.

[4]) Edd. Spenc. hoc loco, cfr. pag. huj. not. 3. ἐμψύχων.

[5]) Longe ante monachorum ortum Christiani, qui severioribus pietatis officiis dabant operam, οἱ ἀσκηταί dicebantur. Sic apud Clementem Alexandrinum Stromat. IV. ταῦτα γνωστικῆς ἀσκήσεως προγυμνάσματα. Consulenda etiam Origenis Homilia XIX. in Jeremiam. Sic Hierosolymitanus Cyrillus Catechesi X. Annam prophetissam filiam Phanuelis ἀσκήτριαν vocat. Sic etiam populus Alexandrinus referente Alexandrina synodo Athanasium in episcopum flagitans, appellabat ἕνα τῶν ἀσκητῶν, et in Synopseos Athanasianae fine Lucianus martyr vocatur magnus asceta, et sic Const. Apostol. lib. VIII. R.

[6]) Edd. Spencer. hoc quoque loco, cfr. pag. huj. not. 3. ἐμψύχων.

[7]) Spencer. in notis: Versus Empedoclis apud Plutarch. in libro de Superstitione pag. 171. (cap. XII.) Τί δὲ Καρχηδονίοις οὐκ ἐλυσιτέλει, Κριτίαν λαβοῦσιν, ἢ Διαγόραν, νομοθέτην ἀπ' ἀρχῆς, μήτε τινὰ θεῶν, μήτε δαιμόνων, νομίζειν, ἢ τοιαῦτα θύειν, οἷα τῷ Κρόνῳ

Ἡμεῖς δὲ, κἂν τὸ τοιοῦτο πράττωμεν, ποιοῦμεν αὐτὸ, ἐπεὶ ὑπωπιάζομεν [1]) τὸ σῶμα καὶ δουλαγωγοῦμεν· καὶ βουλόμεθα νεκροῦν [2]) »τὰ μέλη τὰ ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, ἀσέλγειαν, πάθος, ἐπιθυμίαν κακήν·« καὶ πάντα γε πράττομεν, ἵνα »τὰς [3]) πράξεις τοῦ σώματος« θανατώσωμεν.

50. Ἔτι δὲ περὶ Ἰουδαίων ἀποφαινόμενος ὁ Κέλσος φησίν· »οὐδ' εὐδοκιμεῖν παρὰ τῷ θεῷ, καὶ στέργεσθαι διαφόρως τι τῶν ἄλλων τούτους, εἰκός· καὶ πέμπεσθαι μόνοις αὐτοῖς ἐκεῖθεν ἀγγέλους, οἷον δή τινα μακάρων χώραν λαχοῦσιν. Ὁρῶμεν γὰρ αὐτοὺς, καὶ τὴν χώραν, τίνων ἠξίωνται.« Ἐλέγξομεν οὖν καὶ τοῦτο,

---

ἔθυον; Οὐχ ὥσπερ Ἐμπεδοκλῆς φησι, τῶν τὰ ζῶα θυόντων καθαπτόμενος·

Μορφὴν δ' ἀλλάξαντα πατὴρ φίλον υἱὸν ἀείρας,
Σφάζει, ἐπευχόμενος μέγα νήπιος.

Ἀλλ' εἰδότες καὶ γινώσκοντες αὐτοὶ τὰ αὐτῶν τέκνα καθιέρευον. Sextus Empiricus lib. VIII. adversus Mathematicos pag. 331. (ed. Fabric. lib. IX. pag. 580.) Ἔνθεν καὶ παρήνουν οὗτοι οἱ φιλόσοφοι, (Pythagoraei,) ἀπέχεσθαι τῶν ἐμψύχων, καὶ ἀσεβεῖν ἔφασκον τοὺς ἀνθρώπους,

Βωμὸν ἐρεύθοντας μακάρων θερμοῖσι φόνοισι.

Καὶ Ἐμπεδοκλῆς πού φησιν·

Οὐ παύσεσθε φόνοιο δυσηχέος; οὐκ ἐσορᾶτε
Ἀλλήλους δάπτοντες ἀκηδείῃσι νόοιο;

καί·

Μορφὴν δ' ἀλλάξαντα πατὴρ φίλον υἱὸν ἀείρας,
Σφάζει, ἐπευχόμενος μέγα νήπιος· οἱ δὲ πορεῦνται
Λισσόμενοι θύοντες, ὁ δ' ἀνήκουστος ὁμοκλέων,
Σφάξας, ἐν μεγάροισι κακὴν ἀλεγύνατο δαῖτα.
Ὡς δ' αὖτως πατέρ' υἱὸς ἑλὼν, καὶ μητέρα παῖδες,
Θυμὸν ἀποῤῥαίσαντα φίλας κατὰ σάρκας ἔδουσι.

[1]) Cfr. 1 Cor. IX, 27. — Hoeschel. in textu, edd. Spenc. ad marg. ὑποπιάζομεν.

[2]) Cfr. Coloss. III, 5. [3]) Cfr. Rom. VIII, 13.

λέγοντες, ὅτι τὸ εὐδοκιμηκέναι τὸ ἔθνος τοῦτο παρὰ θεῷ δηλοῦται καὶ ἐκ τοῦ τὸν ἐπὶ πᾶσι (265) θεὸν, καὶ ὑπὸ τῶν ἀλλοτρίων τῆς ἡμετέρας πίστεως, Ἑβραίων καλεῖσθαι θεόν. Καὶ ὡς εὐδοκιμοῦντές γε ὅσον [1]) οὐκ ἐγκατελείποντο, καί τοί γε ὀλίγοι τυγχάνοντες τὸν ἀριθμὸν διετέλουν φρουρούμενοι ὑπὸ θείας δυνάμεως· ὡς μηδ' ἐπὶ Ἀλεξάνδρου τοῦ Μακεδόνος παθεῖν [2]) τι αὐτοὺς ὑπ' αὐτοῦ, καί τοί γε μὴ βουληθέντας, διά τινας συνθήκας καὶ ὅρκους, ἀναλαμβάνειν ὅπλα κατὰ τοῦ Δαρείου. Τότε φασὶ καὶ τὸν Ἰουδαίων ἀρχιερέα, ἐνδύντα τὴν ἱερατικὴν στολὴν, προσκεκυνῆσθαι ὑπὸ τοῦ Ἀλεξάνδρου, φάσκοντος [3]) αὐτῷ τούτῳ τῷ σχήματι ἑωρακέναι τινὰ, ἐπαγγελλόμενον αὐτῷ κατὰ τοὺς ὕπνους ὑποτάξειν τὴν Ἀσίαν ὅλην. Ἡμεῖς οὖν οἱ Χριστιανοι φαμεν, τὸ μὲν »εὐδοκιμεῖν [4]) παρὰ τῷ θεῷ, καὶ στέργεσθαι διαφόρως τι τῶν ἄλλων,« πάνυ ἐκείνοις συμβεβηκέναι· ταύτην δὲ τὴν οἰκονομίαν μεταβεβηκέναι καὶ τὴν χάριν ἐφ' ἡμᾶς, μεταστήσαντος τὴν ἐν Ἰουδαίοις δύναμιν ἐπὶ τοὺς ἀπὸ τῶν ἐθνῶν πιστεύσαντας τῷ [5]) Ἰησοῦ. Διὸ [6]) πολλὰ βουληθέντες Ῥωμαῖοι κατὰ

[1]) Particula negativa οὐκ deest apud Hoeschel. et Spencerum, sed reperitur in Codd. Regio, Basil. et Vaticano, eamque agnoscit Gelenius, et requirit Guietus, qui delet ὅσον. R. — Boherell. ὅσοι scribi vult pro: ὅσον.

[2]) Cfr. Flav. Joseph. lib. XI. cap. 8. Antiqq. Judaicarum.

[3]) Edd. Spenc., uncis voc. ὦφθαι appositis: φάσκοντος ὦφθαι αὐτῷ τούτῳ.

[4]) Cfr. initium hujus num.

[5]) Cod. Basil. in textu habet: τῷ θεῷ, et ad oram: τῷ Ἰησοῦ. Quid si vero utraque lectio coalescat in unam istam: τῷ θεῷ Ἰησοῦ, ut referatur Ἰησοῦ in Genitivo ad μεταστήσαντος; Forte etiam legi possit: πιστεύσαντας αὐτῷ, Ἰησοῦ. Ut ut est, Boherellus et Guietus legunt: τοῦ Ἰησοῦ, et referunt ad praecedens μεταστήσαντος.

[6]) Edd. Spenc. ad marg. Δι' ὃ πολλά.

Χριστιανῶν ἐπὶ τῷ κωλύσαι αὐτοὺς ἔτι εἶναι, οὐ δεδύνηνται· ἦν γὰρ ὑπερμαχοῦσα αὐτῶν θεία χεὶρ, καὶ βουλομένη τὸν τοῦ θεοῦ λόγον ἀπὸ μιᾶς τῆς κατὰ τὴν Ἰουδαίαν γῆν γωνίας ἐπισπεῖραι ὅλῳ τῷ γένει τῶν ἀνθρώπων.

51. *Ἀλλ' ἐπεὶ κατὰ τὸ δυνατὸν ἡμῖν λέλεκται πρὸς τὸν Κέλσον, κατηγοροῦντα Ἰουδαίων καὶ τοῦ λόγου αὐτῶν, τὰ*[1] *ἐγκείμενα· φέρε, τὰ ἑξῆς ἐκθέμενοι παραστήσωμεν, ὅτι οὔτε ἀλαζονευόμεθα ἐπαγγελλόμενοι εἰδέναι τὸν μέγαν θεόν· οὔτε γοητείᾳ, ὡς Κέλσος οἴεται, ὑπήχθημεν Μωϋσέως, ἢ καὶ αὐτοῦ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ· ἀλλ' ἐπ' ἀγαθῷ τέλει καὶ τοῦ ἐν Μωϋσῇ θεοῦ ἀκούομεν· καὶ τὸν μαρτυρούμενον ὑπ' αὐτοῦ θεὸν Ἰησοῦν ὡς υἱὸν θεοῦ παρεδεξάμεθα· τὰ ἄριστα ἐλπίζοντες, ἐπὰν κατὰ τὸν λόγον αὐτοῦ βιώσωμεν. Ἐκόντες δ' ὑπερβησόμεθα εἰπεῖν εἰς ἃ προλαβόντες ἐξεθέμεθα, διδάσκοντες »πόθεν ἥκομεν, καὶ τίνα ἀρχηγὸν ἔχομεν, καὶ τίς ὁ ἀπὸ τούτου νόμος.« Κἂν βούληταί γε ἡμᾶς μηδὲν διαφέρειν τῶν τὸν τράγον, ἢ τὸν κριὸν, ἢ τὸν κροκόδειλον, ἢ τὸν βοῦν, ἢ τὸν ἵππον*[2] *τὸν ποτάμιον,*

---

[1]) Guieto scribendum videtur: *τὰ ἐκκείμενα*. R. — Boherell. in notis: »Refer potius ad *κατηγοροῦντα*, quam ad *λέλεκται* verba: *τὰ ἐγκείμενα*. Vide libr. huj. num. 33. in fine.«

[2]) Ita recte Codd. Reg. et Basileensis, sicque Aristoteles lib. II. histor. animal. cap. 7. *Ὁ δὲ ἵππος ὁ ποτάμιος*, et lib. VIII. cap. 24. *Διὸ καὶ ἡ τοῦ ποταμίου ἵππου φύσις*. Male ergo Hoeschel. et Spencer. hoc loco habent: *τὸν ἱπποποτάμιον*. Legendum potius erat: *τὸν ἱπποπόταμον*. R. — Hoeschel. et Boherell. in notis, hic: »Vel legendum: *ἵππον ποτάμιον*, cum Diodoro Siculo et Suida, vel: *ἱπποπόταμον*, cum Aristot. Horapolline, Plinio, excerptis e vita Isidori apud Photium, et Porphyrio lib. III. *περὶ ἀποχῆς ἐμψύχων*,« hic: »Cum Hoeschel. lege vel: *ἵππον ποτάμιον*, vel: *ἱπποπόταμον*.«

ἢ τὸν κυνοκέφαλον, ἢ αἴλουρον σεβόντων Αἰγυπτίων, ὁ Κέλσος αὐτὸς ἂν εἰδείη, καὶ εἴ τις αὐτῷ περὶ τούτου ὁμοδοξεῖ. Ἡμεῖς δὲ, ὅση δύναμις, διὰ πολλῶν ἐν τοῖς πρὸ τούτων περὶ τῆς εἰς τὸν Ἰησοῦν ἡμῶν τιμῆς ἀπελογησάμεθα, δεικνύντες, ὅτι κρεῖττον εὕρομεν· καὶ μόνοι ἡμεῖς τὸ [1]) καθαρῶς καὶ ἀμιγὲς πρὸς τὸ ψεῦδος ἀληθὲς ἐν τῇ Ἰησοῦ Χριστοῦ διδασκαλίᾳ ἀποφαινόμενοι εἶναι, οὐχ ἑαυτοὺς, ἀλλὰ τὸν διδάσκαλον συνίσταμεν, ὑπὸ τοῦ ἐπὶ πᾶσι θεοῦ διὰ πλειόνων μαρτυρηθέντα, καὶ τῶν προφητικῶν ἐν Ἰουδαίοις λόγων, καὶ αὐτῆς τῆς ἐναργείας· δείκνυται γὰρ οὐκ ἀθεεὶ τὰ τηλικαῦτα δεδυνημένος.

52. Ἣν δὲ βουλόμεθα ἐξετάσαι νῦν τοῦ Κέλσου λέξιν, οὕτως ἔχει· »Καὶ δὴ παραλείπωμεν [2]) (266) ὅσα περὶ τοῦ διδασκάλου διελέγχονται, καὶ δοκείτω τις ὡς ἀληθῶς ἄγγελος. Ἦκε δὲ πότερον οὗτος πρῶτος καὶ μόνος, ἢ καὶ ἄλλοι πρότερον; Εἰ μὲν φαῖεν, ὅτι μόνος· ἐλέγχοιντο ἂν ἐναντία σφίσι ψευδόμενοι. Ἐλθεῖν γὰρ καὶ ἄλλους λέγουσι πολλάκις, καὶ ὁμοῦ γε ἑξήκοντα, ἢ ἑβδομήκοντα· οὓς δὴ γενέσθαι κακοὺς, καὶ κολάζεσθαι δεσμοῖς ὑποβληθέντας ἐν γῇ· ὅθεν καὶ τὰς θερμὰς πηγὰς εἶναι τὰ ἐκείνων δάκρυα. Καὶ μὴν καὶ πρὸς τὸν αὐτοῦ τοῦδε τάφον ἐλθεῖν ἄγγελον, οἱ μὲν ἕνα, οἱ δὲ δύο, τοὺς ἀποκρινομένους ταῖς γυναιξὶν, ὅτι ἀνέστη. Ὁ γὰρ τοῦ θεοῦ παῖς, ὡς ἔοικεν, οὐκ ἐδύνατο ἀνοῖξαι τὸν τάφον, ἀλλ' ἐδεήθη ἄλλου ἀποκινήσοντος [3]) τὴν πέτραν. Ἔτι μὲν καὶ ὑπὲρ τῆς Μαρίας κυούσης πρὸς τὸν τέκτονα ἦκεν ἄγγελος· καὶ, ὑπὲρ τοῦ

---

[1]) Malim cum Boherello: τὸ καθαρὸν καὶ ἀμιγές. R.

[2]) Primus Codex Anglicanus: παραλείπωμεν, sicque legebat Gelenius. Hoeschel. vero et Spencerus: παραλείπομεν. R.

[3]) Omnes Codd. Mss. ἀποκινήσοντες. Impressi (v. c. edd. Spenc.) ἀποκινήσαντος. R.

τὸ βρέφος ἐξαρπάσαντας φυγεῖν, ἄλλος ἄγγελος. Καὶ τί δεῖ πάντα ἀκριβολογεῖσθαι, καὶ τοὺς Μωϋσῆ τε καὶ ἄλλοις[1]) αὐτῶν πεμφθῆναι λεγομένους ἀπαριθμεῖν; Εἰ τοίνυν ἐπέμφθησαν καὶ ἄλλοι, δῆλον ὅτι καὶ ὅδε παρὰ τοῦ αὐτοῦ θεοῦ. Πλεῖον δέ τι ἀγγέλλειν δοκείτω, φέρε, ὥσπερ πλημμελούντων τι Ἰουδαίων, ἢ παραχαραττόντων τὴν εὐσέβειαν, ἢ οὐχ ὅσια δρώντων· ταῦτα γὰρ αἰνίττονται.«[2])

53. Ἤρκει μὲν οὖν τὰ προειρημένα ἐν τοῖς ἰδίᾳ περὶ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐξετασθεῖσι πρὸς τὰς Κέλσου λέξεις. Ἵνα δὲ μὴ δοκῶμεν τόπον τινὰ αὐτοῦ τῆς γραφῆς ὑπερβαίνειν ἑκόντες, ὡς μὴ δεδυνημένοι λέγειν πρὸς αὐτόν· φέρε, εἰ καὶ ταυτολογεῖν μέλλομεν, ἐπὶ τοῦτο ἡμᾶς τοῦ Κέλσου προκαλουμένου, ὅση δύναμις, ἐπιτεμώμεθα τὸν λόγον· ἐὰν ἄρα τι ὑποπέσῃ περὶ τῶν αὐτῶν ἢ ἐναργέστερον, ἢ καινότερον. Φησὶ »δὴ παραλιπεῖν ὅσα περὶ τοῦ διδασκάλου Χριστιανοὶ διελέγχονται·« οὐ παραλιπών τι ὧν ἐδύνατο λέγειν· ὅπερ ἐστὶ φανερὸν ἐκ τῶν ἀνωτέρω αὐτῷ λελεγμένων· ἄλλως δὲ ῥητορικῇ ἐγχειρήσει[3]) κατακολουθῶν τὸ τοιοῦτο ποιεῖ. Ἀλλὰ καὶ ὅτι οὐ διελεγχόμεθα περὶ[4]) τοῦ τηλικούτου σωτῆρος ἡμῶν, κἂν δοκῇ ὁ ἐγκαλῶν διελέγχειν, δῆλον ἔσται τοῖς φιλαλήθως καὶ ἐξεταστικῶς ὅλοις τοῖς περὶ αὐτοῦ προφητευομένοις, καὶ ἀναγεγραμμένοις, ἐντυγχάνουσιν. Ἑξῆς[5]) δὲ, ἐπεὶ νομί-

---

[1]) Hoeschel. in textu male, edd. Spenc. ad marg. ἀγγέλοις αὐτῶν.

[2]) Omnes Codd. Mss. αἰνίττονται, nimirum Christiani. Sed libri editi (v. c. edd. Spenc.) αἰνίττεται. R.

[3]) Mss. (itemq. edd. Spenc. ad marg.) ἐγχειρήσει. Impressi libri (v. c. edd. Spenc. in textu): ἐγχειρίσει. R.

[4]) Libri editi (v. c. edd. Spenc.) in marg. habent: περὶ τοῦ μὴ τηλικούτου σωτῆρος. R.

[5]) Edd. Spenc. et Ruaei in textu: Ἑξῆς δὲ εἰπεῖν, νομίζεται κτλ., ed. vero Ruaei in notis: »Boherell. et

ζεται συγχωρητικῶς λέγειν περὶ τοῦ σωτῆρος, ὅτι »δοκείτω τις ὡς ἀληθῶς ἄγγελος[1]) οὗτος εἶναι·« φαμὲν, ὅτι τοῦτ', οὐχ ὡς συγχωρούμενον, ἀπὸ Κέλσου λαμβάνομεν· τῷ δ' ἔργῳ αὐτοῦ ἐνορῶντες ὅλῳ τῷ γένει τῶν ἀνθρώπων ἐπιδεδημηκότος, κατὰ τὸν ἑαυτοῦ λόγον, καὶ τὴν διδασκαλίαν, ὡς ἕκαστος ἐχώρει τῶν προσιεμένων αὐτόν. Ὅπερ ἔργον ἦν τοῦ, ὡς ὠνόμασεν ἡ περὶ αὐτοῦ προφητεία, οὐχ ἁπαξαπλῶς ἀγγέλου, ἀλλὰ τοῦ τῆς μεγάλης[2]) βουλῆς ἀγγέλου· ἤγγειλε[3]) γὰρ ἀνθρώποις τὴν μεγάλην τοῦ θεοῦ, καὶ πατρὸς τῶν ὅλων, περὶ αὐτῶν βουλὴν, (267) εἰκόντων μὲν τῷ βιοῦν ἐν καθαρᾷ θεοσεβείᾳ, ὡς ἀναβαινόντων διὰ τῶν μεγάλων πράξεων πρὸς τὸν θεόν· μὴ προσιεμένων δὲ, ὡς ἑαυτοὺς μακρυνόντων ἀπὸ τοῦ θεοῦ, καὶ ἐπὶ τὴν ἀπώλειαν διὰ τῆς περὶ θεοῦ ἀπιστίας ὁδευόντων. Εἶθ' ἑξῆς φησιν· »Εἰ καὶ ἄγγελος οὗτος πρὸς ἀνθρώπους ἦλθεν, ἆρα πρῶτος ἦκε καὶ μόνος, ἢ καὶ ἄλλοι πρότερον;« Καὶ πρὸς ἑκάτερον δὲ διὰ πλειόνων οἴεται ἀπαντᾶν· οὐδενὸς δὴ τῶν ὡς ἀληθῶς Χριστιανῶν λέγοντος, μόνον τὸν Χριστὸν ἐπιδεδημηκέναι[4]) τῷ γένει τῶν ἀνθρώ-

---

Guietus εἰπεῖν mutant in εἰπών, ego vero in ἐπεί libentius mutarim, ut sensus sit: Ἐξῆς δὲ, ἐπεὶ νομίζεται συγχωρητικῶς λέγειν — σωτῆρος, ὅτι — οὗτος εἶναι· φαμὲν, ὅτι« κτλ.

[1]) Edd. Spenc. ad marg. ἄγγελος εἶναι οὗτος.

[2]) Cfr. Jesai. IX, 6.

[3]) Recte sic habent Codd. Regius et Basileensis (itemq. Boherell. in notis). At libri editi (v. c. edd. Spenc. in textu) male: ἤγγελε γὰρ ἄνθρωπος. R. — Edd. Spenc. ad marg. ἀνθρώποις.

[4]) Edd. Spenc. ἐπιδεδημηκέναι· »τῷ καὶ ἄλλους ὠφθαί φησιν ἀνθρώποις κτλ. Ed. Ruaei in textu: ἐπιδεδημηκέναι τῷ· καὶ ἄλλους κτλ., in notis vero: »Post ἐπιδεδημηκέναι addendum puto: τῷ γένει τῶν ἀνθρώπων, et consequenter legendum esse: καὶ ἄλλους« κτλ. — Cfr. libri huj. num. 54.

πων, καὶ ἄλλους ὤφθαί φησιν ἀνθρώποις ὁ Κέλσος· »εἰ [1]) μὲν δὴ φαῖεν, ὅτι μόνος.«

54. Εἶτ' [2]) ἀπανιᾷ ὡς ἑαυτῷ, ὡς βούλεται· »Οὕτω δ' οὐ μόνος ἱστόρηται ἐπιδεδημηκέναι τῷ γένει τῶν ἀνθρώπων, ὡς καὶ τοὺς προφάσει [3]) τῆς διδασκαλίας τοῦ ὀνόματος τοῦ Ἰησοῦ, ἀποστάντας τοῦ δημιουργοῦ ὡς ἐλάττονος, καὶ προσεληλυθότας ὡς [4]) κρείττονί τινι

---

[1]) Cfr. libri huj. num. 52.

[2]) Sic recte omnino habent Codd. Reg. et Basileensis. Libri impressi (v. c. edd. Spenc.), uncis vocc. συγχωρῶν ἐπιφέρει appositis: Εἶτα πάντα ἑαυτῷ, ὡς βούλεται, συγχωρῶν ἐπιφέρει· οὗτος δ' οὐ μόνος κτλ. R. — Boherell. in notis: »Lego: οὕτως, pro: οὗτος.«

[3]) Libri editi (v. c. edd. Spenc.) προφάσει τοῦ ὀνόματος τῆς διδασκαλίας Ἰησοῦ. Boherello legendum videtur: προφάσει τοῦ ὀνόματος καὶ τῆς διδασκαλίας Ἰησοῦ. Ego vero in textu sequor Codd. Reg. et Basileensem, qui meliorem servare videntur vocum ordinem. R.

[4]) Boherell. in notis: »Lego: ὡς κρείττονί τινι θεῷ τῷ πατρί.« — Spencer. in notis: Dogma Marcionistarum. Irenaeus lib. I. cap. 27. num. 2. de Marcione: »Jesum autem ab eo patre, qui est super mundi fabricatorem Deum, venientem in Judaeam temporibus Pontii Pilati praesidis, qui fuit procurator Tiberii Caesaris, in hominis forma manifestatum his, qui in Judaea erant, dissolventem prophetas, et legem, et omnia opera ejus Dei, qui mundum fecit, quem et Cosmocratorem dicit.« Tertull. lib. I. advers. Marcionem cap. 14. (ed. Paris. pag. 137.) »At cum et animalia irrides minutiora, quae maximus artifex de industria ingeniis aut viribus ampliavit, sic magnitudinem in mediocritate probari docens, quemadmodum virtutem in infirmitate secundum Apostolum: imitare, si potes, apis aedificia, formicae stabula, araneae retia, bombycis stamina; sustine, si potes, illas ipsas lectuli et tegetis tuae bestias, cantharidis venena, muscae spicula, culicis et tubam et lanceam. Qualia erunt ma-

θεῷ καὶ πατρὶ τοῦ ἐπιδημήσαντος φάσκειν, ὅτι καὶ πρὸ τούτου ἐπεδήμησάν τινες ἀπὸ τοῦ δημιουργοῦ τῷ γένει τῶν ἀνθρώπων.« Ἐπὶ δὲ φιλαλήθως τὰ κατὰ

---

jora, cum tam modicis aut juvaris, aut laederis, ut nec in modicis despicias creatorem? Postremo te tibi circumfer: intus ac foris considera hominem. Placebit tibi vel hoc opus Dei nostri, quod tuus Dominus ille Deus melior adamavit; propter quem in haec paupertina elementa de tertio coelo descendere laboravit; cujus causa in hac cellula Creatoris etiam crucifixus est. Sed ille quidem usque nunc nec aquam reprobavit Creatoris, qua suos abluit; nec oleum, quo suos ungit, nec mellis et lactis societatem, qua suos infantat; nec panem, quo ipsum corpus suum repraesentat: etiam in sacramentis propriis egens mendicitatibus creatoris. At tu, super magistrum discipulus, et servus super Dominum, sublimius illo sapis, destruens quae ille desiderat.« Justin. Apolog. II. *Μαρκίωνα δέ τινα Ποντικὸν, ὃς καὶ νῦν ἔτι ἐστὶ διδάσκων τοὺς πειθομένους, ἄλλον τινὰ νομίζειν μείζονα τοῦ δημιουργοῦ θεὸν, ὃς κατὰ πᾶν γένος ἀνθρώπων, διὰ τῆς τῶν δαιμόνων συλλήψεως, πολλοὺς πεποίηκε βλασφημίας λέγειν, καὶ ἀρνεῖσθαι τὸν ποιητὴν τοῦδε τοῦ παντὸς θεόν· ἄλλον δέ τινα, ὡς ὄντα μείζονα, τὰ μείζονα παρὰ τοῦτον ὁμολογεῖν πεποιηκέναι.* Theodoret. lib. I. de Haer. fab. in Marcione: »Haec Marcion adversus Creatorem furiose debacchatus est, atque adeo his etiam multo graviora: majores enim blasphemias silentio praeterii. Novi autem quendam eorum senem nonagenarium, qui mane surgens sputi sui excremento faciem suam lavabat, et causam rogatus dixit, se nolle opus habere Creatore, nec aquam, quae est ex illius operibus, accipere. Cum autem praesentes dixissent: Quomodo ergo comedis? quomodo bibis? et vestiris, et dormis, et quae constituta sunt mysteria peragis? dixit se necessitate adductum hoc facere.« Vide Tertull. quinque libros contra Marcionem, et Epiphanium, in Haer. 42., quae est Marcionistarum.

τὸν τόπον ἐξετάζομεν, φήσομεν, ὅτι ὁ Μαρκίωνος γνώριμος Ἀπελλῆς,[1]) αἱρέσεώς τινος γενόμενος πατὴρ, καὶ μῦθον ἡγούμενος εἶναι τὰ Ἰουδαίων γράμματα, φησὶν, ὅτι μόνος οὗτος ἐπιδεδήμηκε τῷ γένει τῶν ἀνθρώπων. Οὐδὲ πρὸς ἐκεῖνον οὖν, λέγοντα μόνον ἐπιδεδημηκέναι τὸν Ἰησοῦν ἀπὸ τοῦ θεοῦ τοῖς ἀνθρώποις, εὐλόγως ἂν ὁ Κέλσος φέροι τὰ περὶ τοῦ καὶ ἄλλους ἐληλυθέναι, ἀπιστοῦντα, (ὡς προείπομεν,) ταῖς παραδοξότερα ἀπαγγελλούσαις Ἰουδαίων γραφαῖς· πολλῷ δὲ πλέον οὐ προσήσεται ἅπερ ἔοικε παρακούσας ἀπὸ τῶν ἐν τῷ Ἐνὼχ γεγραμμένων τεθεικέναι ὁ Κέλσος. Οὐδεὶς τοίνυν ἐλέγχει ἡμᾶς ψευδομένους καὶ τὰ ἐναντία τιθέντας·[2]) ὅτι τε μόνος ἦλθεν ὁ σωτὴρ ἡμῶν, καὶ[3]) ὅτι ἔτι ἄλλοι πολλοὶ πολλάκις ἐληλύθασι. Πάνυ δὲ συγκεχυμένως ἐν τῇ περὶ τῶν ἐληλυθότων πρὸς ἀνθρώπους ἀγγέλων ἐξετάσει τίθησι τὰ ἀτρανώτως ἐλθόντα εἰς αὐτὸν ἀπὸ τῶν ἐν τῷ Ἐνὼχ γεγραμμένων· ἅτινα οὐδ' αὐτὰ φαίνεται ἀναγνοὺς, οὐδὲ γνωρίσας, ὅτι ἐν ταῖς ἐκκλησίαις οὐ πάνυ φέρεται ὡς θεῖα τὰ ἐπιγεγραμμένα τοῦ Ἐνὼχ[4]) βιβλία· ὅθεν νομισθείη ἂν ἐρριφέναι τὸ,

---

[1]) Spencer. in notis: In quibusdam a Marcione dissentit, teste Epiphanio Haeres. 44., in hoc vero dogmate forsan conveniunt. Idem Haeres. 42., quae est Marcionistarum, pag. 305. *Οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ τὸν νόμον ἀποβάλλει, καὶ πάντως προφήτας, λέγων ἐκ τοῦ ἄρχοντος, τοῦ τὸν κόσμον πεποιηκότος, τοὺς τοιούτους προπεφητευκέναι. Χριστὸν δὲ λέγει ἄνωθεν ἀπὸ τοῦ ἀοράτου καὶ ἀκατονομάστου πατρὸς καταβεβηκέναι ἐπὶ σωτηρίᾳ τῶν ψυχῶν, καὶ ἐπὶ ἐλέγχῳ τοῦ θεοῦ τῶν Ἰουδαίων, καὶ νόμου, καὶ προφητῶν.*

[2]) Hoeschel. in textu, edd. Spenc. ad marg. *τίθησι.*

[3]) Hoeschel. in textu, edd. Spenc. ad marg. *καὶ ὅτι ἐπεὶ ἄλλοι πολλοί κτλ.*

[4]) Spencer. in notis: At istius libri auctoritatem Tertullianus acriter defendit in libro de habitu muliebri cap.

ὁμοῦ [1]) »ἑξήκοντα, ἢ ἑβδομήκοντα καταβεβηκέναι κακοὺς γενομένους.«

---

3. (ed. Paris. pag. 402.) »Scio scripturam Enoch, quae hunc ordinem angelis dedit, non recipi a quibusdam: quia nec in armarium Judaicum admittitur. Opinor, non putaverunt illam ante cataclysmum editam, post eum casum orbis, omnium rerum abolitorem, salvam esse potuisse. Si ista ratio est, recordentur pronepotem ipsius Enoch fuisse superstitem cataclysmi, Noë, qui utique domestico nomine, et haereditaria traditione audierat, et meminerat de proavi sui penes Deum gratia, et de omnibus praedicatis ejus: cum Enoch filio suo Mathusalae nihil aliud mandaverit, quam ut notitiam eorum posteris suis traderet. Igitur sine dubio potuit Noë in praedicationis delegatione successisse: vel quia et alias non tacuisset, tam de Dei conservatoris sui dispositione, quam de ipsa domus suae gloria. Hoc si non tam expedite haberet, illud quoque assertionem scripturae illius tueretur: proinde potuit abolefactam eam violentia cataclysmi, in spiritu rursus reformare: quemadmodum et Hierosolymis Babylonia expugnatione deletis, omne instrumentum Judaicae literaturae per Esdram constat restauratum. Sed cum Enoch eadem scriptura etiam de Domino praedicarit, a nobis quidem nihil omnino rejiciendum est, quod pertinet ad nos. Et legimus omnem scripturam aedificationi habilem, divinitus inspirari: a Judaeis postea jam videri propterea rejectam, sicut et cetera fere, quae Christum sonant. Nec utique mirum hoc, si scripturas aliquas non receperunt, de eo locutas, quem et ipsum coram loquentem non erant recepturi. Eo accedit, quod Enoch apud Judam Apostolum testimonium possidet.« Vide eundem Tertullianum in libro de cultu feminarum cap. 10., et in libro de idololatria cap. 4. et 15., et Apologet. cap. 22. Et quanti hunc librum antiquissimi Patres aestimarint, exinde conjicias, quod Justinus, Athenagoras, Irenaeus, Lactantius, Clemens Alexandrinus, Cyprianus, Tertullia-

[1]) Cfr. libri huj. num. 52.

55. *Ἀλλ᾽ ἵνα καὶ εὐγνωμονέστερον αὐτῷ δῶμεν* [1]) *ἃ μὴ ἑώρακεν ἀπὸ τῶν ἐν τῇ Γενέσει γεγραμμένων, ὅτι »ἰδόντες* [2]) *οἱ* [3]) *υἱοὶ τοῦ* [4]) *θεοῦ τὰς θυγατέρας τῶν*

---

nus, atque alii tum philosophi, tum theologi Christiani, ex ejus lectione dogma de angelis, qui corporibus assumtis cum filiabus hominum coiere, didicerunt. »Apud literas sanctas ordine cognoscitur,« inquit Tertullianus Apolog. cap. 22., id est, per prophetiam Enoch. Contradicunt Augustinus et Hieronymus, ille in libr. XV. cap. 23., et lib. XVIII. cap. 38. de civitate Dei; hic in Catalogo scriptorum ecclesiasticorum, in Juda: *Ἰούδας ἀδελφὸς Ἰακώβου ἐλαχίστην, ἥτις ἐκ τῶν ἑπτὰ καθολικῶν ἐστιν, ἐπιστολὴν καταλέλοιπεν. Καὶ ἐπείπερ ἀπὸ τῆς βίβλου Ἐνὼχ τοῦ ἀποκρύφου τυγχανούσης, προσλαμβάνεται ἐν αὐτῇ μαρτυρίας, παρὰ πολλῶν ἐκβάλλεται· ἀλλ᾽ ὅμως τῇ ἀρχαιότητι, καὶ τῇ τῆς χρήσεως αὐθεντίᾳ, ἠξιώθη ταῖς θείαις γραφαῖς καὶ συγκαταριθμεῖσθαι.* At Origenes non penitus rejecit, ut constat ex hoc loco, et Tom. VIII. in Joann., et lib. IV. de Principiis, et Homil. XXVIII. in Numeros, nec Theodotus, epitom. *ἐκ τῶν προφητῶν.*

[1]) Ita recte habet Cod. Jolian. in margine, sicque Boherell. conjecerat legendum. Libri impressi (v. c. edd. Spenc.) *ἴδωμεν*, quod quidem servat Guietus, sed mutat praecedens: *αὐτῷ*, in: *αὐτοί*. R.

[2]) Cfr. Genes. VI, 2.

[3]) Hoeschel. in notis: »Non angeli, ut quidam Graeci Latinique opinabantur, sed filii Sethi, (Augustin. lib. XV. cap. 23. de civitate Dei), et Enosi, (Caesarius, frater Nazianz. dialog. I.), et Enochi; (Suid. in *μιαιγαμίαι*) illi, alio nomine *οἱ ἐγρήγοροι*, sunt appellati filii Dei hac de causa, si chronographo Mscr. anonymo fidem habeamus: *Ὁ Σήθ, ἁρπαγεὶς ὑπὸ ἀγγέλου, ἐμυήθη τὰ περὶ τῆς παραβάσεως μέλλοντα ἔσεσθαι τῶν υἱῶν αὐτοῦ, (ἤτοι τῶν ἐγρηγόρων, οἵτινες καὶ υἱοὶ θεοῦ ἐλέγοντο), καὶ τὰ περὶ τοῦ κατακλυσμοῦ, καὶ τῆς παρουσίας τοῦ σω-*

[4]) Hoeschel. in textu, edd. Spenc. ad marg. *τῶν θεῶν.*

ἀνθρώπων, ὅτι καλαί εἰσιν, ἔλαβον ἑαυτοῖς γυναῖκας ἀπὸ πασῶν, ὧν ἐξελέξαντο· « οὐδὲν ἧττον καὶ περὶ τούτου τοῖς[1]) δυναμένοις ἀκούειν προφητικοῦ βουλήματος πείσομεν, ὅτι καὶ τῶν πρὸ ἡμῶν τις ταῦτα ἀνήγαγεν εἰς τὸν περὶ[2]) ψυχῶν λόγον, ἐν ἐπιθυμίᾳ γενομένων

τῆρος. Ἡμέρας δὲ τεσσαράκοντα ἄφαντος ὢν, ἐλθὼν ἐξηγήσατο τοῖς πρωτοπλάσταις ὅσα ἐμυήθη διὰ τοῦ ἀγγέλου. Ἦν δὲ τότε ἐτῶν τεσσαράκοντα· εὐσεβὴς δὲ ἦν, καὶ εὐδιάπλαστος σφόδρα, αὐτός τε καὶ οἱ ἐξ αὐτοῦ ἐγρήγοροι· οἳ καὶ υἱοὶ τοῦ θεοῦ, διὰ τὴν λαμπρότητα τοῦ προσώπου τοῦ Σήθ, λεγόμενοι, καὶ τὴν ὑψηλοτέραν γῆν τῆς Ἐδὲμ ᾤκουν, πλὴν τοῦ παραδείσου, ἀγγελικῶς βιοῦντες ἕως τοῦ πρώτου κοσμικοῦ ἔτους. Τούτων τὴν ἐνάρετον πολιτείαν μὴ φέρων ὁ Ἀρχέκακος, βλέπειν εἰς τὴν ὡραιότητα τῶν θυγατέρων τῶν ἀνθρώπων, ἤγουν τοῦ Κάϊν, αὐτοὺς ἔτρωσεν.

[1]) Hoeschel. et Spencer. in marg. τοὺς δυναμένους ἀκούειν.

[2]) Hoeschel. et Spencer. in marg. περὶ ψυχῆς λόγον. — Spencer. in notis: Philo in libro de gigantibus praedictum versiculum sic exponit: Οὓς ἄλλοι φιλόσοφοι δαίμονας, ἀγγέλους Μωσῆς εἴωθεν ὀνομάζειν· ψυχαὶ δ' εἰσὶ κατὰ τὸν ἀέρα πετόμεναι. Καὶ μηδεὶς ὑπολάβῃ μῦθον εἶναι τὸ εἰρημένον· ἀνάγκη γὰρ ὅλον δι' ὅλων τὸν κόσμον ἐψυχῶσθαι. Flav. Joseph. lib. I. cap. 4. (III.) num. 1. Antiqq. Judaic. Πολλοὶ γὰρ ἄγγελοι θεοῦ, γυναιξὶ συμμιγέντες, ὑβριστὰς ἐγέννησαν παῖδας, καὶ παντὸς ὑπερόπτας καλοῦ, διὰ τὴν ἐπὶ τῇ δυνάμει πεποίθησιν· ὅμοια γὰρ τοῖς ὑπὸ γιγάντων τετολμῆσθαι λεγομένοις ὑφ' Ἑλλήνων καὶ οὗτοι δράσαι παραδίδονται. Idem sentiunt Justin. Apolog. II. pag. 44., Athenagoras legat. pro Christianis pag. 27., Lactantius lib. II. cap. 15., Clemens Alexandrinus Paedagog. lib. III. in fine cap. 2., et Strom. V. pag. 550., et Strom. III. pag. 450. Tertullianus Apolog. cap. 22., et de idololatria cap. 9.; item de cultu feminarum cap. 10., de habitu muliebri cap. 2., et de velandis virginibus cap. 7.; in libro etiam V.

τοῦ ἐν σώματι ἀνθρώπων βίου, ἅπερ τροπολογῶν ἔφασκε λελέχθαι θυγατέρας (268) ἀνθρώπων. Πλὴν, ὅπως ποτ' ἂν ἔχῃ καὶ τὰ περὶ τοὺς ἐπιθυμήσαντας θυγατέρων ἀνθρώπων υἱοὺς θεῶν· [1]) οὐδὲν αὐτῷ συμβάλλεται ὁ λόγος πρὸς τὸ, μὴ μόνον τὸν Ἰησοῦν ὡς ἄγγελον ἐπιδεδημηκέναι τοῖς ἀνθρώποις, σωτῆρα καὶ εὐεργέτην ἐναργῶς πάντων, τῶν μεταβαλλόντων ἀπὸ τῆς χύσεως τῆς κακίας, γεγενημένον. [2]) Εἶτα, φύρων καὶ συγχέων ἃ ὅπως ποτὲ ἤκουσε, καὶ τὰ ὅπου ποτ' οὖν γεγραμμένα, εἴτε δεδογμένα θεῖα εἶναι παρὰ Χριστιανοῖς, εἴτε καὶ μή, φησί· »τοὺς [3]) ὁμοῦ [4]) καταβεβηκότας ἑξήκοντα ἢ ἑβδομήκοντα κολάζεσθαι δεσμοῖς ὑποβληθέντας ἐν γῇ.« Καὶ φέρει, (ὡς ἀπὸ τοῦ Ἐνὼχ, οὐκ ὀνομάζων αὐτὸν) τό· »ὅθεν [5]) καὶ τὰς θερμὰς [6])

---

cap. 18. contra Marcionem. Irenaeus lib. IV. cap. 70., auctor libri de singularitate Clericorum, quem nonnulli Origeni adscribunt. Cyprianus denique in libro de disciplina et habitu virginum.

[1]) Guieto et Boherello scribendum videtur: θεοῦ. R.

[2]) Hoeschel. in textu male, (edd. Spenc. ad marg.): γεγενημένων. R.

[3]) Cfr. libri huj. num. 52.

[4]) In edd. Spenc. uncis inclusum legitur: ὁμοῦ.

[5]) Cfr. libri hujus num. 52.

[6]) Spencer. in notis: Irenaeus lib. I. cap. 4. num. 3. et 4. »Quis enim non eroget omnia, quae sunt ejus, uti discat, quoniam a lacrimis Enthymeseos, quae est ex passione Aeonis, maria, et fontes, et flumina, et universa humida materia generationem acceperunt: de risu autem ejus lumen, de pavore autem, et inconstabilitate, corporalia mundi elementa? Volo autem aliquid et ego conferre fructificationi eorum. Quoniam enim video dulces quidem quasdam aquas, ut fontes, et flumina, et imbres, et talia; quae autem sunt in mari, salsas, adinvenio non omnia a lacrimis ejus emissa, quoniam lacrimae salsae sunt qualitate. Manifestum est igitur, quoniam salsae

πηγὰς εἶναι τὰ ἐκείνων δάκρυα· « πρᾶγμα, οὔτε λεγόμενον, οὔτ' ἀκουόμενον ἐν ταῖς ἐκκλησίαις τοῦ θεοῦ. Οὐδὲ γὰρ ἀνόητος οὕτω τις ἦν, ἵνα σωματοποιήσῃ δάκρυα παραπλήσια τοῖς τῶν ἀνθρώπων ἐν τοῖς καταβεβηκόσιν ἐξ οὐρανοῦ ἀγγέλοις. Καὶ, εἰ χρή γε παίζειν πρὸς τὰ καθ' ἡμῶν σπανδαζόμενα τῷ Κέλσῳ, λεκτέον, ὅτι οὐκ ἄν τις εἶπε τὰς θερμὰς πηγὰς, ὧν αἱ πλεῖσται γλυκεῖαί εἰσι, δάκρυα εἶναι τῶν ἀγγέλων, ἐπεὶ ἡ φύσις τῶν δακρύων ἐστὶν ἁλμυρά· εἰ μὴ ἄρα οἱ κατὰ τὸν Κέλσον ἄγγελοι γλυκέα δακρύουσιν.

56. Εἶτα ἑξῆς τὰ ἄμικτα καὶ ἀνόμοια μιγνὺς καὶ ἑξομοιῶν ἀλλήλοις, ἐπιφέρει τῷ περὶ τῶν, (ὥς φησι,)

---

aquae hae sunt a lacrimis. Opinor autem eam in agonia, et in inconstantia grandi constitutam et sudasse. Unde etiam secundum argumentationem ipsorum suspicari oportet, fontes, et flumina, et si quae sunt aliae aquae dulces, generationem habuisse a sudoribus ejus. Non est enim suadibile, cum sint unius qualitatis lacrimae, alteras quidem salsas, alteras dulces aquas ex iis exiisse. Hoc autem magis suadibile, alteras quidem esse a lacrimis, alteras vero a sudoribus. Quoniam autem et calidae, et austerae quaedam sunt aquae in mundo: intelligere debes, quid faciens, et ex quo membro emisit has. Apti sunt enim hujusmodi fructus argumento ipsorum.« Tertullian. adversus Valentinianos cap. 15. (ed. Paris. pag. 296.) »Audisti moerorem et timorem. Ex his initiata sunt cetera. Nam ex lacrimis ejus universa aquarum natura manavit. Hic aestimandum, quem exitum duxerit, quantis lacrimarum generibus inundarit. Habuit et salsas, habuit et amaras, et dulces, et calidas, et frigidas guttas, et bituminosas, et ferruginantes, et sulphurantes, utique et venenatas; ut et Nonacris inde sudaverit, quae Alexandrum occidit, et Lyncestarum inde defluxerit, quae ebrios efficit, et Salmacis inde se solverit, quae masculos molles facit. Codestes imbres pipiavit Achamoth. Nos in cisternis etiam alienos luctus et lacrimas servare curamus.«

καταβεβηκότων ἑξήκοντα [1]) ἢ ἑβδομήκοντα ἀγγέλων λόγῳ πηγὰς θερμῶν [2]) κατὰ αὐτὸν δακρυσάντων, ὅτι »καὶ πρὸς τὸν αὐτοῦ τοῦ Ἰησοῦ τάφον ἱστόρηνται ἐληλυθέναι ὑπό τινων μὲν ἄγγελοι δύο, ὑπό τινων δὲ εἷς· οὐκ, [3]) οἶμαι, τηρήσας Ματθαῖον [4]) μὲν καὶ Μάρκον [5]) ἕνα ἱστορηκέναι, Λουκᾶν [6]) δὲ καὶ Ἰωάννην [7]) δύο· ἅπερ οὐκ ἦν ἐναντία. Οἱ μὲν γὰρ ἀναγράψαντες ἕνα, τὸν ἀποκυλίσαντα τὸν λίθον ἀπὸ τοῦ μνημείου τοῦτόν φασιν εἶναι· οἱ δὲ τοὺς δύο, τοὺς ἐπιστάντας ἐν ἐσθῆτι ἀστραπτούσῃ ταῖς γενομέναις ἐπὶ μνημεῖον γυναιξὶν, ἢ τοὺς θεωρηθέντας ἔνδον ἐν λευκοῖς καθεζομένους. Ἕκαστον δὲ τούτων νῦν παραδεικνύναι δυνατὸν, καὶ γεγενημένον, καὶ δηλωτικόν τινος εἶναι τροπολογίας τῆς [8]) περὶ τῶν προφαινομένων τοῖς [9]) τὴν ἀνάστασιν τοῦ λόγου θεωρεῖν παρεσκευασμένοις, οὐ τῆς παρούσης ἐστὶ πραγματείας, ἀλλὰ μᾶλλον τῶν τοῦ εὐαγγελίου ἐξηγητικῶν.

57. Παράδοξα δὲ πράγματα τοῖς ἀνθρώποις ἐπιφαίνεσθαί ποτε, καὶ τῶν Ἑλλήνων ἱστόρησαν οὐ μόνον οἱ ὑπονοηθέντες ἂν ὡς μυθοποιοῦντες, ἀλλὰ καὶ οἱ [10]) οἷον πολὺ ἐπιδειξάμενοι γνησίως φιλοσοφεῖν, καὶ φι-

---

[1]) Hoeschel. et Spencerus: ἑξήκοντα καὶ ἑβδομήκοντα, sed Codd. Reg. et Basil. ἑξήκοντα ἢ ἑβδομήκοντα, sicque supra scripsit Celsus. R. — Cfr. libri huj. num. 52.

[2]) Gelenius legebat ὑερμάς. R.

[3]) Boherell. absque jure in notis: »Lego: ὡς οἶμαι, τηρήσας.« — Cfr. seqq.

[4]) Cfr. Matth. XXVIII, 2.

[5]) Cfr. Marc. XVI, 5. [6]) Cfr. Luc. XXIV, 4.

[7]) Cfr. ev. Joann. XX, 12.

[8]) Ita recte Codd. Reg. et Basileensis. Hoeschel. autem et Spencerus male: τοῖς περὶ τῶν κτλ. R.

[9]) Boherell. in notis: »Lego: τοῖς κατὰ τὴν κτλ.

[10]) Mss. οἱ οἷον πολύ. Libri impressi (v. c. edd. Spenc.) οἷον πολύ. Boherell. et Guietus legebant, ille: οἱ τὸ πολύ, hic: οἱ πολύ. R.

λαλήθως ἐκτίθεσθαι τὰ εἰς αὐτοὺς φθάσαντα. Τοιαῦτα δ' ἀνέγνωμεν παρὰ τῷ Σολεῖ Χρυσίππῳ,[1]) τινὰ δὲ περὶ Πυθαγόρου· ἤδη δὲ καὶ παρά[2]) τισι τῶν νεωτέρων, καὶ χθὲς καὶ πρώην γεγενημένων· ὥσπερ παρὰ τῷ Χαιρωνεῖ Πλουτάρχῳ ἐν τοῖς[3]) περὶ ψυχῆς, καὶ τῷ (269) Πυθαγορείῳ Νουμηνίῳ[4]) ἐν τῷ δευτέρῳ περὶ ἀφθαρσίας ψυχῆς. Ἢ Ἕλληνες μὲν ἐὰν τοιαῦτα διηγῶνται, καὶ μάλιστα οἱ ἐν αὐτοῖς φιλοσοφοῦντες, οὐ χλεύη, οὐδὲ γέλως τὰ λεγόμενα, οὐδὲ πλάσματα καὶ[5]) μῦθοί ἐσιν· ἐὰν δ' οἱ τῷ θεῷ τῶν ὅλων ἀνακείμενοι, καὶ ὑπὲρ τοῦ μηδὲ μέχρι φωνῆς ψεῦδος εἰπεῖν περὶ τοῦ θεοῦ πᾶσαν αἰκίαν μέχρι θανάτου ἀναδεχόμενοι, ὡς[6]) ἰδόντες ἀπαγγέλλωσιν ἀγγέλων ἐπιφανείας· οὐκ ἄξιοι τοῦ πιστεύεσθαι κρίνονται, οὐδὲ οἱ λόγοι αὐτῶν ἐν ἀληθέσι κατατάττονται; Ἀλλ' οὐκ εὔλογον οὕτω κρίνειν τὰ περὶ ἀληθευόντων, ἢ ψευδομένων. Οἱ γὰρ τὸ

---

[1]) Guieto scribendum videtur: *Χρυσίππῳ περὶ Πυθαγόρου, ἤδη δὲ καὶ παρά τισι τῶν νεωτέρων.* Plerique Mss. (itemq. edd. Spenc. ad marg.) habent etiam: *περὶ Πυθαγόρου.* Alii cum editis (v. c. edd. Spenc. in textu): *παρὰ Πυθαγόρου.* Boherello legendum videtur: *παρὰ Πυθαγόρᾳ.* R.

[2]) Hoeschel. in textu, edd. Spenc. ad marg. *παρά τινα τῶν νεωτέρων.*

[3]) Spencer. in notis: Plutarchi liber de Anima periit, istius vero fragmenta exstant apud Euseb. lib. XI. cap. 36. Evangelic. praeparationis. Vide A. Gell. lib. I. cap. 3. et lib. XV. cap. 10.

[4]) Spencer. in notis: Eusebius in libr. XIV. cap. 4. Evangelic. praeparat. multa allegat ex primo Numenii libro *περὶ της τῶν Ἀκαδημαϊκῶν πρὸς Πλάτωνα διαστάσεως*, ibid. nonnulla ex libro *περὶ τῶν παρὰ Πλάτωνι ἀποῤῥήτων*, lib. XIII. cap. 5. quaedam etiam ex libris *περὶ ἀγαθοῦ*. Vide libri I. contra Cels. num. 15.

[5]) Libri editi (v. c. edd. Spenc.) in margine: *καὶ μῦθοί εἰσιν.* R.

[6]) Hoeschel. in textu, edd. Spenc. ad marg. *ὡς εἰδότες ἀπαγγέλλωσι ἀγγέλων κτλ.*

ἀνεξαπάτητον ἀσκοῦντες, μετὰ πολλῆς καὶ ἀκριβοῦς ἐρεύνης καὶ ἐξετάσεως τῶν κατὰ τοὺς τόπους, βράδιον καὶ ἀσφαλῶς ἀποφαίνονται περὶ τοῦ τοὺς τοιουσδὶ [1]) μὲν ἀληθεύειν, τοὺς τοιουσδὶ δὲ ψεύδεσθαι ἐν οἷς ἱστοροῦσι παραδύξοις· οὔτε πάντων τὸ τοῦ πιστεύεσθαι ἄξιον ἐπιδεικνυμένων, οὔτε πάντων ἐναργῶς ἀποδεικνυμένων, πλάσματα [2]) καὶ μύθους τοῖς ἀνθρώποις παραδεδωκέναι. Ἔτι δὲ περὶ τῆς τοῦ Ἰησοῦ ἐκ νεκρῶν ἀναστάσεως καὶ ταῦτα λεκτέον, ὅτι τότε μὲν ἢ ἕνα, ἢ δεύτερον ὤφθαι [3]) ἄγγελον, ἀγγέλλοντα αὐτὸν ἐγηγέρθαι, καὶ [4]) προορᾶσθαι τῶν ἐπὶ τῇ ὠφελείᾳ ἑαυτῶν περὶ τοῦ τοιούτου πιστευόντων, οὐ θαυμαστόν. Ἀεὶ δὲ τοὺς τοιούτους τῷ ἐγηγέρθαι [5]) τὸν Ἰησοῦν πιστεύοντας, καρπὸν τοῦ πιστεύειν οὐκ εὐκαταφρόνητον ἐπιδεικνυμένους τὸν ῥᾳθυμούμενον βίον, καὶ τὴν ἀπὸ τῆς χύσεως τῶν κακῶν μεταβολήν, οὐ χωρὶς ἐφαπτομένων τῶν [6]) βοηθούντων αὐτῶν τῇ πρὸς θεὸν ἐπιστροφῇ ἀγγέλων γίνεσθαι, οὐκ ἄλογον εἶναί μοι φαίνεται.

58. Κατηγορεῖ δ' ὁ Κέλσος καὶ τοῦ φάσκοντος λόγου, ἄγγελον ἀποκεκυλικέναι τοῦ τάφου, ἔνθα ἦν τὸ Ἰησοῦ σῶμα, τὸν λίθον, ὥσπερ μειράκιον ἐν διατριβῇ

---

[1]) Edd. Spenc. in textu: τοιούσδε, ad marg. vero: τοιουσδί.

[2]) Verba: πλάσματα καὶ μύθους τοῖς ἀνθρώποις παραδεδωκέναι, Guieto videntur superioribus parum cohaerere. Et fortasse, inquit, aliena sunt et addititia, τελεία autem στιγμῇ post voc. ἀποδεικνυμένων ponenda, et subaudiendum: τὰ ἱστορούμενα, τὰ πράγματα, et similia. R.

[3]) Cfr. pag. huj. not. 4.

[4]) Boherell. in notis: »Haec ad angelum pertinent, jungique debent cum ὤφθαι, (cfr. pag. huj. not. 3.), non cum ἐγηγέρθαι.« — Cfr. pag. huj. not. 5.

[5]) Cfr. pag. huj. not. 4.

[6]) Dubitat Guietus, an non scribendum sit: καὶ βοηθούντων. Vide lib. V. contra Cels. num. 4. et 5. R.

λαβὸν[1]) τοπικῶς κατηγορῆσαί τινος. Καὶ ὡς σοφόν τι κατὰ τοῦ λόγου εὑρὼν, φησὶν, ὅτι »ὁ τοῦ θεοῦ παῖς, ὡς ἔοικεν, οὐκ ἐδύνατο ἀνοῖξαι τὸν τάφον, ἀλλ' ἐδεήθη ἄλλου ἀποκινήσοντος[2]) τὴν πέτραν.« Καὶ ἵνα γε μηδὲν περιεργάσωμαι περὶ τῶν κατὰ τὸν τόπον, μηδὲ τροπολογίαν ἐπὶ τοῦ παρόντος ἐκτιθέμενος δόξω ἀκαίρως εἰς ταῦτα φιλοσοφεῖν, περὶ αὐτῆς ἐρῶ τῆς ἱστορίας, ὅτι σεμνότερον αὐτόθεν φαίνεται τὸ, τὸν ἐλάττονα καὶ ὑπηρέτην ἀποκεκυλικέναι τὸν λίθον, ἢ τὸν ἐπὶ ὠφελείᾳ ἀνθρώπων ἀνιστάμενον τοῦτο πεποιηκέναι. Οὐ λέγω δ' ὅτι οἱ μὲν τῷ λόγῳ ἐπιβουλεύοντες, καὶ ἀποκτεῖναι αὐτὸν βουληθέντες, καὶ δεῖξαι πᾶσι νεκρὸν, καὶ τὸ μηδὲν τυγχάνοντα, βούλονται αὐτοῦ μηδαμῶς ἀνοιχθῆναι[3]) τὸν τάφον· ἵνα μηδεὶς τὸν λόγον, μετὰ τὴν ἐπιβουλὴν αὐτῶν, ζῶντα θεάσηται· ὁ δὲ ὑπὲρ σωτηρίας τῶν ἀνθρώπων ἐπιδημῶν συνεργὸς τοῦ ἀγγέλου ἄγγελος θεοῦ, ἰσχυρότερος ὢν τῶν ἐπιβουλευόντων, ἀποκυλίει τὸν βαρὺν λίθον· ἵνα πεισθῶσιν[4]) οἱ νομίζοντες τεθνηκέναι τὸν λόγον, ὅτι οὐκ ἔστι μετὰ τῶν νεκρῶν, ἀλλὰ ζῇ, καὶ προάγει[5]) τοὺς βουλομένους αὐτῷ ἀκολουθεῖν, ἵνα ἐπιδείξηται τὰ (270) ἑξῆς οἷς[6]) ἐπεδείξατο πρότερον, τοῖς μὴ χωροῦσι πω αὐτῶν[7]) μείζονα κατὰ τὸν πρότερον τῆς εἰσαγωγῆς αὐτῶν χρόνον. Εἶτ', οὐκ οἶδ' ὅπως, μετὰ ταῦτα παραῤῥίπτει, οὐκ οἶδα εἰς τί τῇ προθέσει αὐτοῦ χρήσιμον εἶναι δοκοῦν, τὸ

---

[1]) Hoeschel. in textu male, (edd. Spenc. ad marg.) λαβών. R.

[2]) Codd. Reg. et Basil. ἀποκινήσοντος. Libri editi (v. c. edd. Spenc.) ἀποκινήσαντος. R.

[3]) Cfr. Matth. XXVII, 64.

[4]) Cfr. Luc. XXIV, 5. [5]) Cfr. Marc. XVI, 7.

[6]) Boherell. absque jure in notis: »Illud οἷς Neutrius est.«

[7]) Guieto scribendum videtur: αὐτὸν μείζονα.

»περὶ [1]) τῆς Μαρίας κυούσης ἐληλυθέναι πρὸς τὸν Ἰωσὴφ ἄγγελον·« καὶ πάλιν, ὑπὲρ [2]) »τοῦ τὸ βρέφος γεννηθὲν καὶ ἐπιβουλευόμενον ἐξαρπάσαντας φυγεῖν εἰς Αἴγυπτον.« Περὶ τούτων δὲ καὶ ἐν τοῖς ἀνωτέρω πρὸς τὰ ὑπ' αὐτοῦ εἰρημένα διελέχθημεν. Τί δὲ βούλεται Κέλσῳ τὸ »καὶ [3]) Μωϋσῆ καὶ τοῖς ἄλλοις ἱστορεῖσθαι [4]) κατὰ τὰς γραφὰς ἀγγέλους πέμπεσθαι;« Οὐδὲν γάρ μοι φαίνεται συμβάλλεσθαι αὐτῷ [5]) πρὸς ὃ βούλεται· καὶ μάλιστα, ἐπεὶ οὐδεὶς μὲν ἐκείνων περὶ τοῦ γένους τῶν ἀνθρώπων ἠγωνίσατο, ἵν' αὐτὸ ἐπιστρέψῃ, ὅση δύναμις, ἀπὸ τῶν ἁμαρτημάτων. Καὶ [6]) ἄλλοι οὖν πεπέμφθωσαν ἀπὸ τοῦ θεοῦ· καὶ οὗτός τι πλέον ἀπαγγελλέτω· καὶ πλημμελούντων Ἰουδαίων, καὶ μεταχαραττόντων τὴν εὐσέβειαν, καὶ οὐχ ὅσια δρώντων, τὴν βασιλείαν τοῦ θεοῦ μεταδεδωκέναι [7]) ἄλλοις γεωργοῖς, τοῖς πανταχοῦ ἐν ταῖς ἐκκλησίαις ἑαυτῶν [8]) ἐπιμελουμένοις, καὶ πάντα πράττουσιν ὑπὲρ τοῦ τὰς [9]) ἀπὸ τῆς διδασκαλίας τοῦ Ἰησοῦ ἀφορμὰς προσαγαγεῖν διὰ βίου καθαροῦ, καὶ λόγου ἀκολούθου τῷ βίῳ, πρὸς τὸν τῶν ὅλων θεόν.

59. Εἶθ' ἑξῆς φησιν ὁ Κέλσος· »οὐκοῦν ὁ αὐτὸς

---

[1]) Cfr. libri huj. num. 52.

[2]) Cfr. libri hujus num. 52.

[3]) Cfr. libri huj. num. 52.

[4]) Libri editi (v. c. edd. Spenc.) ad oram: *ἱστορεῖσθαι*, in textu: *ἱστορῆσθαι*. R.

[5]) Hoeschel. in textu, edd. Spenc. ad marg. *αὐτό*.

[6]) Verba: *καὶ ἄλλοι οὖν πεπέμφθωσαν κτλ.*, usque ad verba in fine num. huj. posita: *πρὸς τὸν τῶν ὅλων θεόν*, quibusdam videntur Celsi irridentis esse omnia, atque eam ob causam ab Origenis distinguenda. Mihi secus videtur. R.

[7]) Cfr. Matth. XXI. 41. 43.

[8]) Mallet Guietus: *αὐτῶν*, subaud. *τῶν ἐκκλησιῶν*. R.

[9]) Boherell. in notis: «Lego: *τοὺς ἀπὸ τῆς διδασκαλίας τοῦ Ἰησοῦ ἀφορμῶντας*.«

θεὸς Ἰουδαίοις τε καὶ τοῖσδε·« δῆλον δ' ὅτι τοῖς Χριστιανοῖς. Καὶ, ὡσπερεὶ τὸ οὐκ ἂν διδόμενον συνάγων, τοῦτό φησι· »Σαφῶς γε τῶν ἀπὸ μεγάλης ἐκκλησίας τοῦτο ὁμολογούντων, καὶ τὰ τῆς παρὰ Ἰουδαίοις φερομένης κοσμογενείας προσιεμένων ὡς [1]) ἀληθῆ, περί γε τῶν ἓξ ἡμερῶν, καὶ τῆς ἑβδόμης,« ἐν ᾗ, ὡς μὲν ἡ γραφὴ λέγει, [2]) κατέπαυσεν ἀπὸ τῶν ἔργων ἑαυτοῦ ὁ θεὸς, ἀναχωρῶν εἰς τὴν ἑαυτοῦ περιωπήν· ὡς δ' ὁ Κέλσος, μὴ τηρήσας τὰ γεγραμμένα, μηδὲ συνιεὶς αὐτὰ, φησίν· »ἀναπαυσάμενος·« ὅπερ οὐ γέγραπται. Περὶ δὲ τῆς κοσμοποιΐας, καὶ τοῦ μετ' [3]) αὐτὴν ἀπολειπομένου σαββατισμοῦ τῷ λαῷ τοῦ θεοῦ, πολὺς ἂν εἴη καὶ μυστικὸς, καὶ βαθὺς, καὶ δυσερμήνευτος λόγος. Εἶτα δοκεῖ μοι τὸ βιβλίον συμπληρῶσαι θέλων, καὶ μέγα δοκεῖν εἶναι ποιῶν εἰκῆ προστιθέναι τινά· ὁποῖά ἐστι καὶ τὰ κατὰ τὸν πρῶτον ἄνθρωπον, ὡς ἄρα λέγομεν τὸν αὐτὸν εἶναι ὡς καὶ Ἰουδαῖοι, καὶ τὴν ἀπ' ἐκείνου διαδοχὴν ὁμοίως αὐτοῖς γενεαλογοῦμεν. Ἀλλὰ καὶ εἰς ἀλλήλους μὲν ἐπιβουλὴν ἀδελφῶν οὐκ ἴσμεν· τὸν δὲ Κάϊν [4]) ἐπιβεβουλευκέναι τῷ Ἄβελ, καὶ τὸν Ἡσαῦ [5]) τῷ Ἰακώβ· οὐ [6]) γὰρ Ἄβελ τῷ Κάϊν ἐπεβούλευσεν, οὐδὲ Ἰακὼβ τῷ Ἡσαῦ· ὅπερ εἰ ἐγεγόνει, ἀκολούθως ἂν εἶπεν ὁ Κέλσος τὰς εἰς ἀλλήλους τῶν ἀδελφῶν ἐπιβουλὰς τὰς [7]) αὐτὰς ἡμᾶς Ἰουδαίοις ἱστορεῖν. Ἔστω δὲ

---

[1]) In edd. Spenc. uncis inclusum legitur: ὡς.

[2]) Cfr. Genes. II, 3.

[3]) Edd. Spenc. et Ruaei in textu: μετ' αὐτόν, Boherell. vero et Ruaeus in notis, ille: »Lege,« hic: »Scribendum videtur: μεὶ' αὐτήν.«

[4]) Cfr. Genes. IV, 8.

[5]) Cfr. Genes. XXVII, 41.

[6]) Hoeschel. in textu male, (edd. Spenc. ad marg.): ὁ γὰρ Ἄβελ τῷ Κάϊν ἐπεβούλευσεν, ὁ δὲ Ἰακὼβ τῷ Ἡσαῦ. R.

[7]) In edd. Spenc. uncis inclusum legitur: τάς.

καὶ τὴν εἰς Αἴγυπτον ἡμᾶς ἀποδημίαν τὴν αὐτὴν λέγειν ἐκείνοις, καὶ τὴν ἐκεῖθεν ἐπάνοδον, καὶ οὐ φυγήν, ὡς ὁ Κέλσος νομίζει· τί (271) οὖν ταῦτα συμβάλλεται πρὸς τὴν καθ' ἡμῶν ἢ κατὰ Ἰουδαίων κατηγορίαν; Ἔνθα μὲν οὖν ᾤετο χλευάζειν ἡμᾶς ἐν τῷ περὶ τῶν Ἑβραίων λόγῳ, φυγὴν ὠνόμαζεν· ὅπου δ' ἦν τὸ πραγματικὸν ἐξετάσαι περὶ τῶν ἀναγεγραμμένων μαστίγων[1]) ἐπεληλυθέναι τῇ Αἰγύπτῳ ἀπὸ τοῦ θεοῦ, τοῦθ' ἑκὼν ἐσιώπησεν.

60. Εἰ δ' ἀκριβῶς χρὴ ἡμᾶς λέγειν τὰ πρὸς τὸν Κέλσον, οἰόμενον τὰ αὐτὰ ἡμᾶς Ἰουδαίοις περὶ τῶν ἐγκειμένων[2]) δοξάζειν· φήσομεν ὅτι, τὰ μὲν βιβλία θείῳ γεγράφθαι πνεύματι, ὁμολογοῦμεν ἀμφότεροι· περὶ δὲ τῆς ἐκδοχῆς τῶν ἐν τοῖς βιβλίοις, οὐκέτι τὰ ὅμοιά φαμεν· οἵ γε οὐδὲ βιοῦμεν ὡς Ἰουδαῖοι, τῷ φρονεῖν, οὐ τὴν κατὰ τὸ ῥητὸν ἐκδοχὴν τῶν νόμων εἶναι τὴν περιέχουσαν τὸ βούλημα τῆς νομοθεσίας. Καὶ λέγομεν δ' ὅτι, ἡνίκα[3]) »ἂν ἀναγινώσκηται Μωϋσῆς, κάλυμμα ἐπὶ τὴν καρδίαν κεῖται,« τῷ τοῖς τὴν διὰ Ἰησοῦ Χριστοῦ μὴ ἀσπασαμένοις ὁδὸν ἐπικεκρύφθαι τὸ βούλημα τοῦ Μωϋσέως νόμου. Ἴσμεν δ' ὅτι ἐὰν[4]) ἐπιστρέψῃ τις πρὸς τὸν κύριον· (»ὁ[5]) δὲ κύριος τὸ πνεῦμά ἐστι·«) περιαιρεθὲς[6]) τὸ κάλυμμα, ἀνακεκαλυμμένῳ προσώπῳ τὴν ἐν τοῖς κεκρυμμένοις νοήμασι κατὰ τὰ γράμματα δόξαν τοῦ κυρίου ὡσπερεὶ κατοπτρίζεται, καὶ μεταλαμβάνει τῆς καλουμένης θείας δόξης, εἰς τὴν ἑαυτοῦ δόξαν· τροπικῶς μὲν λεγομένου προσώπου, γυμνότερον δ', ὡς ἂν ὀνομάσαι τις, τοῦ νοῦ· ἐν

---

[1]) Cfr. Exod. VII, 20. VIII, 6. 17. 24. IX, 6. 10. 23. X, 13. 22. XII, 29.

[2]) Guieto scribendum videtur: ἐκκειμένων. R.

[3]) Cfr. I Cor. III, 15. [4]) Cfr. I Cor. III, 16.

[5]) Cfr. I Cor. III, 17.

[6]) Cfr. I Cor. III, 16. 18.

ᾧ ἐστι τὸ [1]) τοῦ κατὰ τὸν ἔσω ἄνθρωπον πρόσωπον, πληρούμενον [2]) φωτὸς καὶ δόξης ἀπὸ τῆς περὶ [3]) τῶν κατὰ τοὺς νόμους ἀληθείας.

61. Ἐξῆς δὲ τούτοις φησί· »Μή με οἰηθῇ τις ἀγνοεῖν, ὡς οἱ μὲν αὐτῶν συνθήσονται, τὸν αὐτὸν εἶναι σφίσιν ὅνπερ Ἰουδαίοις θεόν· οἱ δ' ἄλλον, ᾧ τοὐτον ἐναντίον, παρ' ἐκείνου τε ἐλθεῖν τὸν υἱόν.« Εἴπερ δὲ τὸ εἶναι αἱρέσεις πλείονας ἐν Χριστιανοῖς, κατηγορίαν οἴεται Χριστιανισμοῦ εἶναι· διὰ τί οὐχὶ καὶ φιλοσοφίας κατηγορία κατὰ τὸ ἀνάλογον νομισθείη ἂν ἡ ἐν ταῖς αἱρέσεσι τῶν φιλοσοφούντων διαφωνία, οὐ περὶ μικρῶν καὶ τῶν τυχόντων, ἀλλὰ περὶ τῶν ἀναγκαιοτάτων; Ὥρα δὲ καὶ ἰατρικὴν κατηγορεῖσθαι διὰ τὰς ἐν αὐτῇ αἱρέσεις. Ἔστωσαν [4]) οὖν ἐν ἡμῖν οἱ μὴ τὸν αὐτὸν λέγοντες τῷ Ἰουδαίων θεῷ θεόν· ἀλλ' οὔ τί γε παρὰ τοῦτο κατηγορητέοι οἱ ἀπὸ τῶν αὐτῶν γραμμάτων ἀποδεικνύντες, ὅτι εἷς καὶ ὁ αὐτὸς θεὸς Ἰουδαίων ἐστὶ καὶ ἐθνῶν· ὡς καὶ τὸν Παῦλον λέγειν σαφῶς, ἀπὸ Ἰουδαίων προσελθόντα Χριστιανισμῷ· »χάριν [5]) ἔχω τῷ θεῷ μου, ᾧ λατρεύω ἀπὸ προγόνων ἐν καθαρᾷ συνειδήσει.« Ἔστω [6]) δ' ἔτι καὶ τρίτον [7]) γένος τῶν

---

[1]) Sic Mss. Boherellus legit: τὸ τοῦ κατὰ τὸ ἔσω ἀνθρώπου πρόσωπον. Apud Hoeschel. et Spencer. legitur: τὸ τοῦ τὸν κατὰ τὸν ἔσω ἄνθρωπον πρόσωπον. R.

[2]) Hoeschel. in textu, edd. Spenc. ad marg. πληρούμενοι.

[3]) Boherell. in notis: »E superioribus addendum puto: νοημάτων.«

[4]) Cfr. Philoc. cap. XVI. (ed. Tarini) pag. 150. — Philoc. Ἔστωσαν γὰρ ἐν ἡμῖν κτλ. Cfr. libri huj. num. 54.

[5]) Cfr. II Tim. I, 3.

[6]) Philoc. Ἔστω δέ τι καὶ τρίτον κτλ.

[7]) Vide Epiphan. Haeres. XXXI. num. 7. pag. 172., et num. 20. pag. 188., Tertullian. adversus Valentinianos cap. 29. et Irenaeum lib. I. cap. 1.

ὀνομαζόντων ψυχικούς[1]) τινας, καὶ πνευματικοὺς ἑτέρους· οἶμαι[2]) δ' αὐτὸν λέγειν τοὺς ἀπὸ Οὐαλεντίνου.[3]) Καὶ τί τοῦτο πρὸς ἡμᾶς, τοὺς[4]) ἀπὸ τῆς ἐκκλησίας, κατηγοροῦντας τῶν εἰσαγόντων φύσεις ἐκ κατασκευῆς σωζομένας, ἢ ἐκ κατασκευῆς ἀπολλυμένας; Ἔστωσαν δέ τινες καὶ ἐπαγγελλόμενοι εἶναι (272) Γνωστικοὶ,[5]) ἀνάλογον[6]) τοῖς ἑαυτοὺς ἀναγορεύουσι φιλοσόφους Ἐπικουρείοις. Ἀλλ' οὔτε οἱ τὴν πρόνοιαν ἀναιροῦντες φιλόσοφοι εἶεν ἂν ἀληθῶς, οὔτε[7]) οἱ τὰ ἀλλόκοτα ἀναπλάσματα, καὶ μὴ ἀρέσκοντα τοῖς τῆς ἀπὸ τοῦ Ἰησοῦ διαδοχῆς, ἐπεισαγαγόντες εἶεν ἂν Χριστιανοί.[8]) Ἔστωσαν δέ τινες καὶ τὸν Ἰησοῦν ἀποδεχόμενοι, ὡς παρὰ τοῦτο Χριστιανοὶ εἶναι αὐχοῦντες· ἔτι δὲ καὶ κατὰ τὸν Ἰουδαίων νόμον ὡς τὰ Ἰουδαίων πλήθη βιοῦν ἐθέλοντες· (οὗτοι δ' εἰσὶν οἱ[9]) διττοὶ Ἐβιωναῖοι, ἤτοι ἐκ παρ-

---

[1]) Cfr. Clemens Alexandrin. Stromat. IV. — Ad sequens voc. πνευματικούς quod attinet, Theodoretus (lib. I. contra Haeret.) Messalianos ita ipsos se appellasse scribit.

[2]) Philoc. οἶμαι δὲ αὐτόν.

[3]) Philoc. Οὐαλεντίνου καὶ Τίτου· τί πρὸς τοὺς ἀπὸ τῆς ἐκκλησίας ἡμᾶς κατηγοροῦντας, τῶν κτλ.

[4]) Cfr. pag. 284. not. 1.

[5]) Spenc. in notis: Vide Epiphanium Haeres. 26., et Irenaeum lib. I. cap. 30. (34.) Clemens Alexandrinus in eorum mores et insolentiam passim invehitur. Augustin. (cap. 4.) de Haeresib. »Gnostici propter excellentiam scientiae sic se appellatos esse, vel appellari debuisse, gloriantur, cum sint superioribus omnibus vaniores atque turpiores «

[6]) Codd. Reg. et Basil. habent: ἀναλόγως τοῖς ἑαυτοὺς ἀναγορεύουσι φιλοσόφους Ἐπικουρείοις. R.

[7]) Philoc. οὔτε οἱ ἀλλόκοτα ἀναπλάσματα.

[8]) Hactenus Philocalia, in qua ea statim adjunguntur, quae paulo infra, cfr. pag. 291. not. 5., leguntur.

[9]) Spenc. in notis: Grotius in annotatt. ad Matthaeum: »Et Origenes, cum duplices facit Ebionaeos, in disputatione contra Celsum: ἤτοι ἐκ παρθένου κτλ., Ebionacorum nomine laxius abutens, sub priore illa nota Na-

θένου ὁμολογοῦντες ὁμοίως ἡμῖν τὸν Ἰησοῦν, ἢ οὐχ οὕτω γεγεννῆσθαι, ἀλλ' ὡς τοὺς λοιποὺς ἀνθρώπους·) τί τοῦτο φέρει ἔγκλημα τοῖς [1]) ἀπὸ τῆς ἐκκλησίας, οὓς [2]) ἀπὸ τοῦ πλήθους ὠνόμασεν ὁ Κέλσος; Εἶπε δέ τινας εἶναι καὶ Σιβυλλιστάς· [3]) τάχα παρακούσας τινῶν ἐγκα-

---

zaracos, ut credibile est, describit.« Vossius in dissertat. de genere Jesu Christi cap. 2.

[1]) Cfr. pag. 283. not. 4.

[2]) Boherell. in notis: »Lego: οὓς τοὺς ἀπὸ τοῦ πλήθους« κτλ.

[3]) Spencer. in notis: Baron. in Apparat. ad Annal. num. 19. »Usi sunt crebro sancti patres, ad convincendos errores Gentilium, Sibyllarum oraculis. Quam ob rem Gentiles ipsi, ut auctor est Origenes, Christianos Sibyllistas nominabant.« Est auctor quidem, at non adeo luculentus. Istam vero interpretationem confirmare possumus ex Justini Apolog. II. pag. 82. *Κατ' ἐνέργειαν δὲ τῶν φαύλων δαιμόνων, θάνατος ὡρίσθη κατὰ τῶν τὰς Ὑστάσπους, ἢ Σιβύλλης, ἢ τῶν προφητῶν βίβλους ἀναγινωσκόντων, ὅπως διὰ τοῦ φόβου ἀποστρέψωσιν ἐντυγχάνοντας τοὺς ἀνθρώπους τῶν καλῶν γνῶσιν λαβεῖν, αὐτοῖς δὲ δουλεύοντας κατέχωσιν· ὅπερ εἰς τέλος οὐκ ἴσχυσαν πρᾶξαι. Ἀφόβως μὲν γὰρ οὐ μόνον ἐντυγχάνομεν αὐταῖς, ἀλλὰ καὶ ὑμῖν, ὡς ὁρᾶτε, εἰς ἐπίσκεψιν φέρομεν, ἐπισταμένοι πᾶσιν εὐάρεστα φανήσεσθαι. Κἂν ὀλίγους δὲ πείσωμεν, τὰ μέγιστα κερδήσαντες ἐσόμεθα.* Ex hoc loco intelligas, quanti Patres Sibyllinos libros aestimabant, qui, spretis imperatorum legibus, quae legenti poenam capitalem intentarunt, *ἀφόβως*, ut ait Justinus, coram suis et Gentilibus recitarunt. Eundem audi in fine Paraenesis ad Graecos pag. 36. *Ἴλην ἀλλ' ἐπειδήπερ, ὦ ἄνδρες Ἕλληνες, οὐκ ἐν ποιητικοῖς μέτροις τὰ τῆς ἀληθοῦς θεοσεβείας πράγματα, οὐδὲ ἐν τῇ παρ' ὑμῖν εὐδοκιμούσῃ παιδεύσει, ἀφέμενοι λοιπὸν τῆς τῶν μέτρων καὶ λόγων ἀκριβείας, τοῖς ὑπ' αὐτῆς εἰρημένοις ἀφιλονείκως προσέχοντες, γνῶτε πόσων ὑμῖν ἀγαθῶν αἰτία ἔσται τὴν τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χρι-*

λούντων τοῖς οἰομένοις προφῆτιν γεγονέναι τὴν Σιβύλλαν, καὶ Σιβυλλιστὰς τοὺς τοιούτους καλεσάντων.

62. Εἶτα, σωρὸν καταχέων ἡμῶν ὀνομάτων, φησὶν εἰδέναι τινὰς καὶ Σιμωνιανούς,[1]) οἳ τὴν Ἑλένην,[2])

στοῦ ἄφιξιν σαφῶς καὶ φανερῶς προαγορεύουσα. Audi etiam quae Clemens Alexandrinus ex Pauli concionibus ad populum habitis profert, Stromat. VI. pag. 636. (ed. Potteri pag. 761. seq.), ut recte conjicere videtur illustrissimus Cardinalis: »Quarum nonnulla verba in audientium aures sic esse illapsa putandum est, ut nunquam ea deleret oblivio:« Ἐπεὶ ὅτι, καθάπερ Ἰουδαίους σώζεσθαι ἐβούλετο ὁ θεὸς, τοὺς προφήτας διδοὺς, οὕτως καὶ Ἑλλήνων τοὺς δοκιμωτάτους, οἰκείους αὐτῶν τῇ διαλέκτῳ προφήτας ἀναστήσας, ὡς οἷοί τε ἦσαν δέχεσθαι τὴν παρὰ θεοῦ εὐεργεσίαν, τῶν ἰουδαίων ἀνθρώπων διέκρινεν· δηλώσει πρὸς τῷ Πέτρου κηρύγματι ὁ ἀπόστολος λέγων Παῦλος. Λάβετε καὶ τὰς Ἑλληνικὰς βίβλους· ἐπίγνωτε Σίβυλλαν, ὡς δηλοῖ ἕνα θεὸν καὶ τὰ μέλλοντα ἔσεσθαι· καὶ τὸν Ὑστάσπην λαβόντες, ἀνάγνωτε· καὶ εὑρήσετε πολλῷ τηλαυγέστερον καὶ σαφέστερον γεγραμμένον τὸν υἱὸν τοῦ θεοῦ, καὶ καθὼς παράταξιν ποιήσουσι τῷ Χριστῷ πολλοὶ βασιλεῖς, μισοῦντες αὐτὸν, καὶ τοὺς φοροῦντας τὸ ὄνομα αὐτοῦ, καὶ τοὺς πιστοὺς αὐτοῦ, καὶ τὴν ὑπομονὴν, καὶ τὴν παρουσίαν αὐτοῦ. Vide Justin. in Paraenesi pag. 16. 17. 34. 35., et in Apolog. II. pag. 66., Theophil. ad Autolyc. lib. II. pag 112. 113. 114., Clement. Alexandrin. Stromat. I. V. et alibi, Lactantium, apud quem Sibyllarum carmina totam paene faciunt paginam. Si vacat, lege illustriss. Baron. in Apparatu ad Annal. num. 20., Casaubonum Exercit. XI. ad Apparatum, Salmasium in notis ad Vopiscum, Lansselium in dispunct. calumniar. Casauboni cap. 6., et statim senties, quantum juvat altercari.

[1]) Edd. Spenc. ad marg. *Σιμωνιασμούς.*

[2]) Spenc. in notis: Irenaeus lib. I. cap. (10.) 14. legit Selenen. Augustin. de Haer., Clem. lib. II. Recognit. »Sed hic non multo post incidit in amorem mulieris il-

ἤτοι διδάσκαλον Ἕλενον,[1]) σέβοντες, Ἑλενιανοὶ λέγονται. Ἀλλὰ λανθάνει τὸν Κέλσον, ὅτι οὐδαμῶς τὸν Ἡ-

---

lius, quam Selenen, id est lunam, vocant.« Verum Justinus Apolog. II. pag. 69., Epiphanius Haer. 21., Hieronymus in epist. ad Ctesiphontem adversus Pelagianos, Theodoretus lib. I. de Haer. fab. in Simone, Eusebius lib. II. cap. 12. et 13. Eccles. Histor., et Damascenus, libro de Haeresibus, Helenam retinuerunt: et rectissime quidem, ut mihi videtur, cum Simon Magus finxerit »eam fuisse et in illa Helena, propter quam Trojanum contractum est bellum.« Cfr. Irenaeus lib. I. cap. (20.) 23. num. 2. »O Helenam, inter poëtas et haereticos laborantem, tunc adulterio, nunc stupro infamem! nisi quod de Troja gloriosius eruitur, quam de lupanari: mille navibus de Troja, nec mille denariis forsitan de lupanari.« Cfr. Tertullianus libr. de anima cap. 34. (ed. Paris pag. 554.) »Nam et Simon Samarites in Actis Apostolorum redemtor Spiritus sancti, posteaquam damnatus ab ipso cum pecunia sua in interitum, frustra flevit, conversus ad veritatis expugnationem, quasi pro solatio ultionis; fultus etiam artis suae viribus, ad praestigias virtutis alicujus Helenam quandam Tyriam, de loco libidinis publicae eadem pecunia redemit, dignam sibi mercedem pro Spiritu sancto: et se quidem fingit summum patrem, illam vero injectionem suam primam, qua injecerat angelos et archangelos condere: hujus eam propositi compotem exsilisse de patre, et in inferiora desultasse; atque illic, praevento patris proposito, angelicas potestates genuisse, ignaras patris artificis mundi hujus: ab his non perinde animo retentam, ne digressa ea alterius genimina viderentur: et ideireo omni contumeliae addictam, ut nusquam discedere depretiatam liberet, humanae quoque formae succi-

[1]) Spenc. in notis: Credo hic jocatum esse Celsum, quasi Helena, quam Simon Magus circumduxit, et vates antiquissimus, Helenus, et nomine et arte convenirent. Arnob. lib. I. pag. 22., Tull. lib. II. de natura deorum, Isidor. Pelus. lib. XI. epist. 228., Pausan. in Atticis.

σοῦν ὁμολογοῦσιν υἱὸν θεοῦ Σιμωνιανοὶ, ἀλλὰ δύναμιν θεοῦ λέγουσι τὸν Σίμωνα· τεραστεύομενοι περὶ αὐτοῦ τινα, οἰηθέντος ὅτι ἐὰν τὰ παραπλήσια προσποιήσηται οἷς ἔδοξε προσπεποιῆσθαι τὸν Ἰησοῦν, δυνήσεται καὶ αὐτὸς παρὰ ἀνθρώποις τοσοῦτον, ὅσον Ἰησοῦς τοῖς πολλοῖς. Ἀλλ' οὔτε Κέλσος, οὔτε Σίμων ἐδυνήθησαν νοῆσαι, πῶς Ἰησοῦς, ὡς καλὸς γεωργὸς λόγου θεοῦ, δεδύνηται τὴν πολλὴν Ἑλλάδα, καὶ τὴν πολλὴν βάρβαρον ἐπισπεῖραι, καὶ πληρῶσαι λόγων, μετατιθέντων τὴν ψυχὴν ἀπὸ παντὸς κακοῦ, καὶ ἀναγόντων πρὸς τὸν τῶν ὅλων δημιουργόν. Κέλσος μὲν οὖν οἶδε καὶ Μαρκελλιανοὺς [1])

---

disse, velut vinculis carnis coercendam, ita multis aevis per alios atque alios habitus femininos volutatam, etiam illam Helenam fuisse exitiosissimam Priamo, et Stesichori postea oculis, quem et excaecasset ob convicium carminis, dehinc relummasset ob satisfactionem laudis: proinde migrantem eam de corporibus in corpora, postrema dedecoratione sub titulo prostitisse Helenam viliorem. Hanc igitur esse ovem perditam, ad quam descenderit pater summus, Simon scilicet, et primum recuperata ea et revecta, nescio humeris an feminibus, exinde ad hominum respexerit salutem, quasi per vindictam liberandorum ex illis angelicis potestatibus, quibus fallendis et ipse configuratus aeque et hominibus hominem ementitus, in Judaea quidem filium, in Samaria vero patrem gesserit.« Cfr. Tertull. ibidem (ed. Paris. pag. 252. seqq.) Augustin. de Haeresibus: »Imaginesque et suam et ejusdem meretricis discipulis suis praebebat adorandas, quas et Romae tanquam deorum simulacra auctoritate publica constituerat.« Vide Clementem papam, Justinum, Irenaeum, Eusebium, Epiphanium, et Theodoretum, locis citatis.

[1]) Spenc. in notis: Irenaeus lib. I. cap. (24.) 25. num. 6. de Carpocrate: »Unde et Marcellina, quae Romam sub Aniceto venit, cum esset hujus doctrinae, multos exterminavit.« Vide Epiphan. Haer. 27., quae est

ἀπὸ Μαρκελλίνας, καὶ Ἀρποκρατιανοὺς [1]) ἀπὸ Σαλώ-

Carpocratianorum, pag. 107., Augustin. libro de Haer. et Damascen. de Haer. Exstant et alii sic dicti a Marcello Ancyrano, Celso ignoti, cum ad Epiphanii tempora ipsum vixisse constet. Epiphan. Haeres. 72.

[1]) Spenc. in notis: Quid, si legas: *Καρποκρατιανούς*? quorum haeresi forsan locupletior muliercula, cui nomen Salome, (quo nihil usitatius), se adjunxit. Hieronym. epist. ad Ctesiphontem adversus Pelagianos: »Simon Magus haeresin condidit, Helenae meretricis adjutus auxilio. Nicolaus Antiochenus, omnium immunditiarum repertor, choros duxit femineos. Marcion Romam praemisit mulierem, quae decipiendo sibi animos praepararet. Apelles Philumenen (Philomenen) suarum comitem habuit doctrinarum. Montanus, immundi spiritus praedicator, multas ecclesias per Priscam et Maximillam, nobiles et opulentas feminas, primum auro corrupit, deinde haeresi polluit. Dimittam vetera, ad viciniora transcendam. Arius, ut orbem deciperet, sororem principis ante decepit. Donatus per Africam, ut infelices quosque foetentibus pollueret aquis, Lucillae opibus adjutus est. In Hispania Agape Elpidium (Elipidium), mulier virum, caecum caeca duxit in foveam, successoremque sui Priscillianum habuit, Zoroastris Magi studiosissimum, et ex Mago episcopum: cui juncta Galla, non gente, sed nomine, Germanum huc illucque currentem alterius et vicinae haereseos reliquit haeredem.« Si haec conjectura tibi displiceat, scias velim, quod in Evangelio secundum Aegyptios, cujus meminit Origenes Homil. I. in Lucam, et Epiphan. Haeres. 62., quae est Sabellianorum, muliercula quaedam, cui nomen Salome, invenitur. Ex isthoc Evangelio Julius Cassianus, (*τὰ παραπλήσια τῷ Τατιανῷ κατὰ τοῦτο δογματίζων*· ut ait Clemens Strom. III. pag. 465.) in libro, quem *περὶ ἐγκρατείας, ἢ περὶ εὐνουχίας* conscripserat, dicta quaedam Christi cum Salome habita allegavit. Audi Clementem Stromat. III. pag. 465. (ed. Potteri pag. 553.) *Διὰ τοῦτό τοι Κασσιανός φησι*·

μης, καὶ ἄλλους ἀπὸ Μαριάμνης,[1]) καὶ ἄλλους ἀπὸ Μάρθας· ἡμεῖς δὲ, οἱ διὰ τὴν κατὰ τὸ δυνατὸν ἡμῖν

Πυνθανομένης τῆς Σαλώμης, πότε γνωσθήσεται τὰ περὶ ὧν ἤρετο, ἔφη ὁ κύριος· ὅταν τὸ τῆς αἰσχύνης ἔνδυμα πατήσητε, καὶ ὅταν γένηται τὰ δύο ἕν, καὶ τὸ ἄῤῥεν μετὰ τῆς θηλείας, οὔτε ἄῤῥεν, οὔτε θῆλυ. Constat etiam ex praedicto Clementis Stromateo, Encratitas eodem usos fuisse Evangelio, ut dogma de continentia stabilirent, pag. 452. (ed. Potteri cap. IX. lib. III. pag. 539.) *Οἱ δὲ ἀντιτασσόμενοι τῇ κτίσει τοῦ θεοῦ διὰ τῆς εὐφήμου ἐγκρατείας, κἀκεῖνα λέγουσι τὰ πρὸς Σαλώμην εἰρημένα, ὧν πρότερον ἐμνήσθημεν. Φέρεται δὲ, οἶμαι, ἐν τῷ καθ' Αἰγυπτίους εὐαγγελίῳ· φασὶ γὰρ, ὅτι αὐτὸς εἶπεν ὁ σωτήρ· ἦλθον καταλύσαι τὰ ἔργα τῆς θηλείας· θηλείας μὲν, τῆς ἐπιθυμίας· ἔργα δὲ, γένεσιν καὶ φθοράν.* Vide Theodot. Epitom. in fine Opp. Clementis, pag. 799. Penitus fateor dissimiles erant Encratitae et Carpocratiani, et dogmata amplexi sunt e diametro contraria: attamen contingere poterat, ut e Carpocratianis nonnulli, quae in isthoc Evangelio eorum opinioni ullatenus favere visa sunt, allegarent. Quod si Celsus usquam legeret, ei ansam praeberet asserendi, Carpocratianos a Salome oriundos.

[1]) Spenc. in notis: Credo quosdam haereticos prophetas et prophetides sibi finxisse, et iisdem nomina pro suo arbitrio imposuisse. De Basilide testem habemus Agrippam Castorem, scriptorem sui temporis celeberrimum apud Euseb. lib. IV. cap. 7. Eccles. Hist., et Hieronym. in Catalogo scriptor. ecclesiasticor. in Agrippa. Confecit ille *κατὰ Βασιλείδου ἔλεγχον*, in quo illius haeretici viginti quatuor Commentarios, quos in Evangelium scripserat, refellit: praestigias quoque et seducendi artes denudavit. *Ἐκφαίνων γοῦν*, inquit Euseb. loc. laudato (ed. Heinichen. Tom. I. pag. 303.) *τὰ ἀπόῤῥητα, φησὶν αὐτὸν εἰς μὲν τὸ εὐαγγέλιον τέσσαρα πρὸς τοῖς εἴκοσι συντάξαι βιβλία, προφήτας δὲ ἑαυτῷ ὀνομάσαι Βαρκαβᾶν* (ed. Heinichen. *Βαρκαββᾶν*), *καὶ Βαρκώφ,*

φιλομάθειαν οὐ μόνα τὰ ἐν τῷ λόγῳ, καὶ τὰς διαφορὰς τῶν ἐν αὐτῷ ἐξετάσαντες· ἀλλ', ὅση δύναμις, καὶ τὰ τῶν φιλοσοφησάντων φιλαλήθως ἐρευνήσαντες, οὐδέ ποτε τούτοις ὡμιλήσαμεν. Ἐμνήσθη δ' ὁ Κέλσος καὶ Μαρκιωνιστῶν, [1]) προϊσταμένων Μαρκίωνα.

63. Εἶθ', ἵνα δοκῇ καὶ ἄλλους εἰδέναι παρ' οὓς ὠνόμασε, φησὶν ἑαυτῷ συνήθως, ὅτι »ἄλλοι ἄλλον διδάσκαλόν τε καὶ δαίμονα κακῶς πλαζόμενοι, καὶ κα-

---

καὶ ἄλλους ἀνυπάρκτους τινὰς ἑαυτῷ συστησάμενον, βαρβάρους τε αὐτοῖς εἰς κατάπληξιν τῶν τὰ τοιαῦτα τεθηπότων ἐπιφημίσαι προσηγορίας. Hieronymus legit: Βαρκαβᾶν τε Μακρώβ· Epiphanius Haeres. 26. Βαρκαββᾶν. Alibi scriptum inveni: Barthoban, et Barchobeth; et fortasse Mariamne et Martha erant ejusdem originis vocabula, et usui non dissimili inserviebant. Et quid, si harum vestigiis Marthana et Marthus, sorores ex stirpe Elxai oriundae, facta aliquali nominum mutatione, insistebant? Epiphan. Haeres. 19., quae est Ossenorum: Ἕως μὲν γὰρ Κωνσιαντίου, ἐκ τοῦ γένους αὐτοῦ, Μαρθοῦς τις καὶ Μαρθάνα, δύο ἀδελφαὶ ἐν τῇ αὐτῶν χώρᾳ ἀντὶ θεῶν προσεκυνοῦντο, ὅτι ὅθεν ἐκ τοῦ σπέρματος τοῦ προειρημένου Ἠλξαὶ ὑπῆρχον. Τέθνηκε δὲ ἡ Μαρθοῦς πρὸ ὀλίγου τοῦ χρόνου, Μαρθάνα δὲ εἰς ἔτι δεῦρο ὑπῆρχεν· ὧν καὶ τὰ πτύσματα, καὶ τὰ ἄλλα τοῦ σώματος ῥύπη ἀπεφέροντο οἱ πεπλανημένοι αἱρετικοὶ ἐν ἐκείνῃ τῇ χώρᾳ ὅθεν πρὸς ἀλέξησιν νοσημάτων.

[1]) Spenc. in notis: Justin. Apolog. II. pag. 70. 92., Tertullian. de praescript. adversus Haereticos cap. 30. 51. Idem scripsit quinque libros contra Marcionem. Pseudo-Orig. de recta in unum Deum fide, contra Marcionistas, quos passim (Origenes) in suis operibus perstringit, Clemens Alexandrin. Stromat. III. IV. VII. et alibi, Euseb. lib. IV. cap. 11. et 24., Epiphan. Haeres. 42., Theodoret. lib. I. de haeres. fab., Augustin. de haer., Damascen. de haer. Eorundem reliqui Patres meminerunt, et dogmata refutarunt.

λινδούμενοι κατὰ σκότον πολὺν, τῶν Αντίνου τοῦ καὶ Αἰγυπτον θιασωτῶν ἀνομώτερόν τε καὶ μιαρώτερον.« [1]) Καὶ δοκεῖ μοι ἐπαφώμενος τῶν πραγμάτων ἀληθές τι εἰρηκέναι, ὅτι τινὲς ἄλλοι ἄλλον δαίμονα κακῶς πλαζόμενοι, καὶ καλινδούμενοι, εὕροντο [2]) προστάτην κατὰ πολὺν τὸν [3]) τῆς ἀγνοίας σκότον. Περὶ δὲ τῶν κατὰ τὸν Αντίνουν, παραβαλλόμενον ἡμῶν τῷ Ἰησοῦ, ἐν [4]) τοῖς πρὸ τούτων εἰπόντες, οὐ παλιλλογήσομεν. »Καὶ [5]) βλασφημοῦσι δὲ, φησὶν, (273) εἰς ἀλλήλους οὗτοι πάνδεινα ῥητὰ καὶ ἄῤῥητα· καὶ οὐκ ἂν εἴξαιεν οὐδὲ [6]) καθ' ὁτιοῦν εἰς ὁμόνοιαν, πάντη ἀλλήλους ἀποστυγοῦντες.« Καὶ πρὸς ταῦτα [7]) δ' ἡμῖν εἴρηται, ὅτι καὶ ἐν φιλοσοφίᾳ ἐστὶν εὑρεῖν αἱρέσεις αἱρέσεσι πολεμούσας, καὶ ἐν ἰατρικῇ. Οἱ μέν τοι τῷ λόγῳ τοῦ Ἰησοῦ ἀκολουθοῦντες, καὶ [8]) μεμελετηκότες αὐτοῦ [9]) συνῳδὰ τοῖς λόγοις φρονεῖν, καὶ λέγειν, καὶ ποιεῖν· »λοιδορούμενοι [10]) εὐλογοῦμεν, διωκόμενοι ἀνεχόμεθα, δυσφημούμενοι [11]) παρακαλοῦμεν·« καὶ οὐκ [12]) ἂν ῥητὰ καὶ ἄῤῥητα λέγοιμεν τοὺς ἄλλα δοξάζοντας, παρ' ἃ ὑπειλήφαμεν· ἀλλ', εἰ μὲν δυνάμεθα, πάντα ἂν πράττοι-

---

[1]) Codd. Reg. et Basil. βραδύτερον. R.

[2]) Libri editi (v. c. edd. Spenc.) ad oram: εὕραντο προστάτην. R.

[3]) Edd. Spenc. perperam: τὸν γῆς ἀγνοίας. Jam Boherell. vero in notis: »Lege: τὸν τῆς ἀγνοίας.«

[4]) Cfr. lib. III. num. 35.

[5]) Cfr. Philoc. cap. XVI. (ed. Tarini pag. 151. seq.) coll. pag. 283. not. 8.

[6]) Philoc. οὐδὲ καθοτιοῦν, edd. Spenc. οὐδὲ καθ' ὁ, τινοῦν. [7]) Philoc. ταῦτα δὲ ἡμῖν.

[8]) Philoc. καὶ μεμεληκότες.

[9]) Philoc. αὐτοῦ τοὺς λόγους φρονεῖν, sicque Codd. Reg. et Basileensis. R.

[10]) Cfr. I Cor. IV, 12. 13.

[11]) Philoc. βλασφημούμενοι παρακαλοῦμεν, οὐκ ἄν κτλ. [12]) Edd. Spenc. ad marg. ὑπ' ἄν.

μεν ὑπὲρ[1]) τοῦ αὐτοὺς μεταστῆσαι ἐπὶ τὸ βέλτιον, διὰ τοῦ προσανέχειν μόνῳ τῷ δημιουργῷ, καὶ πάντα πράττειν, ὡς κριθησομένους. Εἰ δὲ μὴ πείθοιντο οἱ ἑτερόδοξοι, τηροῦμεν[2]) τὸν προστάξαντα αὐτοῖς λόγον τοιαῦτα· »αἱρετικὸν[3]) ἄνθρωπον μετὰ μίαν καὶ δευτέραν νουθεσίαν παραιτοῦ· εἰδὼς, ὅτι ἐξέστραπται ὁ τοιοῦτος, καὶ ἁμαρτάνει, ὢν αὐτοκατάκριτος.« Ἔτι[4]) δὲ οἱ τό· »μακάριοι[5]) οἱ εἰρηνοποιοί·« οἱ[6]) νοήσαντες, νοήσαντες καὶ τό· »μακάριοι[7]) οἱ πραεῖς·« οὐκ ἂν ἀποστυγήσαιεν τοὺς παραχαράττοντας τὰ Χριστιανισμοῦ,[8]) οὐδὲ Κίρκας[9]) καὶ κύκηθρα αἰμύλα λέγοιεν τοὺς πεπλανημένους.

64. *Παρακηκοέναι δέ μοι φαίνεται τῆς τε ἀποστολικῆς λέξεως, φασκούσης·* »ἐν[10]) *ὑστέροις καιροῖς ἀποστήσονταί τινες τῆς πίστεως, προσέχοντες πνεύμασι πλάνοις,*[11]) *καὶ διδασκαλίαις δαιμονίων, ἐν ὑποκρίσει ψευδολόγων, κεκαυτηριασμένων*[12]) *τὴν οἰκείαν συνείδησιν, κωλυόντων γαμεῖν, ἀπέχεσθαι βρωμάτων, ἃ ὁ θεὸς*

---

[1]) Philoc. Mss., Ruaeo teste: ἐπὶ τὸ αὐτούς, Philoc. vero impressa: ἐπὶ τοὺς αὐτούς.

[2]) Philoc. ἀντεροῦμεν τὸν προστάσσοντα αὐτοῖς λόγον. Istud porro αὐτοῖς Guieto alienum videtur. R. — Philoc. impressa: ἀντεροῦμεν τὸν προστάξαντα αὐτοῖς λόγον. [3]) Tit. III, 10. 11.

[4]) Hoeschel. et Spencerus: Ἔτι δὲ τό· μακάριοι οἱ εἰρηνοποιοί· οἱ νοήσαντες, καὶ τό· μακάριοι κτλ., sed Philocalia, ut in nostro textu. R. — Cfr. pag. huj. not. 6.

[5]) Cfr. Matth. V, 9.

[6]) Deest οἱ in Philoc. — Cfr. pag. huj. not. 4.

[7]) Cfr. Matth. V, 5. [8]) Hactenus Philocalia.

[9]) Hoeschel. in notis: De sociis Ulyssis veneficio et cantionibus in porcos mutatis vide Odyss. X. vers. 133. seqq. et Gryllum Plutarchi.

[10]) Cfr. I Timoth. IV, 1—3.

[11]) Hoeschel. in textu, edd. Spenc. ad marg. πλάνης.

[12]) Hoeschel. in textu, edd. Spenc. ad marg. κεκαυστηριασμένων.

ἔκτισεν εἰς μετάληψιν μετ᾽ εὐχαριστίας τοῖς πιστοῖς· « παρακηκοέναι δὲ καὶ τῶν ταύταις τοῦ ἀποστόλου ταῖς λέξεσι χρησαμένων κατὰ τῶν παραχαραξάντων τὰ Χριστιανισμοῦ· διόπερ εἶπεν ὁ Κέλσος, ἀκοῆς[1]) »καυστήριά τινας ὀνομάζεσθαι παρὰ Χριστιανοῖς.« Αὐτὸς δέ φησι, τινὰς καλεῖσθαι αἰνίγματα·[2]) ὅπερ ἡμεῖς οὐχ

---

[1]) Spenc. in notis: Irenaeus lib. I. cap. (24.) 25., num. 6. de Carpocratianis: »Alii vero ex ipsis signant, cauteriantes suos discipulos in posterioribus partibus exstantiae dextrae auris.« Epiphan. haeres. 27. de iisdem, pag. 106. Σφραγῖδα δὲ ἐν καυτῆρι, ἢ δι᾽ ἐπιτηδεύσεως ξυρίου, ἢ ῥαφίδος ἐπιτιθέασιν οὗτοι οἱ ὑπὸ Καρποκρᾶ ἐπὶ τὸν δεξιὸν λοβὸν τοῦ ὠτὸς τοῖς ὑπ᾽ αὐτῶν ἀπατωμένοις.

[2]) Spenc. in notis: Haec et superiora, quae Celsus de Carpocratianis dixerat, confuse et minus distincte, quam res ipsa postulavit, exprimi videntur; etenim Carpocratiani non ἀκοῆς καυτήρια appellati sunt, sed ferro candente, novacula, aut alio instrumento huic rei magis idoneo, in discipulorum aures, quos in suum sodalitium receperunt, notam aliqualem aut characterem imprimere solebant. Nec deerant alii haeretici, qui symbolis usi sunt, qui occulte et obscure, id est, δι᾽ αἰνιγμάτων, quae sibimet finxerunt, ineptos animi conceptus significabant; sic ovem perditam (Luc. XV, 4—6.) decantatae Helenae symbolum mystice et αἰνιγματοδῶς constituebant. Epiphan. Haer. 21. pag. 58. Irenaeus lib. I. cap. (20.) 23. num. 2. »Et hanc esse ovem perditam.« Tertullian. de anima cap. 34. (Cfr. libri huj. num. 62.) Irenaeus lib. I. cap. (13.) 16. num. 1. »Generationem itaque Aeonum, et errorem ovis, et adinventionem adunantes in unum, mystice audent annuntiare hi, qui in numeros omnia deduxerunt.« Mulierem istam, cujus sanguis XII. annis profluxerat, (Matth. IX, 20.), duodecimi Aeonis passionem signare crediderunt. Irenaeus lib. I. cap. (I.) 3. num. 3. »Hanc autem passionem, quae circa duodecimum Aeonem facta est, significari dicunt per apostasiam Judae, qui duodecimus erat Apostolorum, et quoniam duodecimo mense passus est; uno enim anno volunt eum post baptisma praedicasse. Adhuc etiam in ea, quae profluvium sanguinis patiebatur, manifestissime hoc significari; duodecim

ἱστορήσαμεν. Ἀληθῶς δὲ τὸ τοῦ σκανδάλου[1]) ὄνομα πολὺ ἐν τοῖς γράμμασι τούτοις ἐστίν· ὅπερ εἰώθαμεν λέγειν περὶ τῶν διαστρεφόντων ἀπὸ τῆς ὑγιοῦς διδασκαλίας τοὺς ἁπλουστέρους καὶ εὐξαπατήτους. Σειρῆνας δέ τινας ἐξορχουμένας καὶ σοφιστρίας, κατασφραγιζομένας τὰ ὦτα, καὶ ἀποσυροκεφαλούσας[2]) τοὺς πει-

---

enim annis passam eam, per Domini adventum esse sanatam, cum tetigisset fimbriam vestimenti ejus, et propter hoc dixisse Salvatorem: « »»Quis me tetigit?«« »docentem discipulos quod factum esset inter Aeonas mysterium, et curationem passi Aeonis.« Errabundam ovem vagationes Achamoth extra Pleroma denotare credunt. Irenaeus lib. I. cap. VIII. num. 4. »Et quoniam erravit Achamoth extra Pleroma, et formata est a Christo, et quaesita est a Salvatore, manifestare eum dicunt in eo, quod dixit, semet ipsum venisse ad eam, quae erasset, ovem. Ovem enim errantem, matrem suam referunt dici, ex qua eam, quae sit hic, volunt esse seminatam ecclesiam.« Mulierem, quae domum verrit, et drachmam invenit, superioris Sophiae symbolum haberi volunt. Irenaeus ibidem: »Mulierem autem illam, quae mundat domum, et invenit drachmam, superiorem Sophiam narrant dici: quae cum perdidisset intentionem suam, post deinde mundatis omnibus per Salvatoris adventum, invenit eam; quoniam et hoc restituitur, secundum eos, intra Pleroma.« Plura vide apud Irenaeum lib. I. cap. 1. (13. 15.) 16. 18. et alibi. Graece invenies apud Epiphan. Haer. 31. de Valentinianis, et Haer. 34., quae est Marcosiorum. Certiora de Aenigmatis adhuc non habemus.

[1]) Cfr. Matth. XVIII, 6—10. coll. Luc. XVII, 1. 2.

[2]) Sic scribendum erat, ut monet Spencer. (in notis), non vero: ἀποσκυφαλούσας, (ut legitur in textu edd. Spenceri.) Homer. Odyss. X. vers. 235. seqq.

ἀνέμισγε δὲ σίτῳ
Φάρμακα λύγρ', ἵνα πάγχυ λαθοίατο πατρίδος αἴης.
Αὐτὰρ ἐπεὶ δῶκέν τε καὶ ἔκπιον, αὐτίκ' ἔπειτα
Ῥάβδῳ πεπληγυῖα, κατὰ συφεοῖσιν ἐέργνυ.
Οἱ δὲ συῶν μὲν ἔχον κεφαλὰς, φωνήν τε, τρίχας τε,
Καὶ δέμας·

Infeliciter hunc locum Guietus legebat sic: ἀνασφραγιζούσας τὰ ὦτα καὶ ἀποσκοπελούσας τοὺς πειθομένους.

θομένους, ἡμεῖς οὐκ ἴσμεν ὀνομαζομένους, οἶμαι δ' ὅτι οὐδ' ἄλλος τις τῶν ἐν τῷ λόγῳ, οὐδ' ἐν ταῖς αἱρέσεσιν. Ἀλλ' οὗτος, ὁ πάντ' εἰδέναι ἐπαγγελλόμενος, καὶ τοιαῦτά φησι· »Πάντων δὲ, φησὶν, ἀκούσῃ[1]) τῶν ἐπὶ τοσοῦτον διεστηκότων, καὶ σφᾶς αὐτοὺς ταῖς ἔρισιν αἴσχιστα διελεγχόντων, λεγόντων τό· « »»ἐμοὶ[2]) κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ.«« Τοῦτο γὰρ μόνον ἀπὸ τοῦ Παύλου ἔοικε μεμνημονευκέναι ὁ Κέλσος· διὰ τί γὰρ οὔ φαμεν καὶ ἄλλα μυρία τῶν γεγραμμένων, ὡς τό· »ἐν[3]) σαρκὶ γὰρ ζῶντες, οὐ κατὰ σάρκα στρατευόμεθα· (τὰ γὰρ (274) ὅπλα τῆς στρατείας ἡμῶν οὐ σαρκικὰ, ἀλλὰ δυνατὰ τῷ θεῷ πρὸς καθαίρεσιν ὀχυρωμάτων,) λογισμοὺς καθαιροῦντες, καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ θεοῦ;«

65. Ἐπεὶ δέ φησιν, ὅτι »πάντων ἀκούσῃ[4]) τῶν ἐπὶ τοσοῦτον διεστηκότων, λεγόντων τό· »ἐμοὶ[5]) κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ·« καὶ τοῦτο ψεῦδος διελέξομεν. Εἰσὶ γάρ τινες αἱρέσεις τὰς Παύλου ἐπιστολὰς τοῦ ἀποστόλου μὴ προσιέμεναι, ὥσπερ Ἐβιωναῖοι[6]) ἀμφότεροι, καὶ οἱ καλούμενοι Ἐγκρατηταί.[7])

R. — Jam Boherell. in notis: »Lege, cum Spencero: ἀποσυοκεφαλούσας.«

[1]) Edd. Spenc. ἀκούσει Jam Boherell. vero recte in notis: »Melius: ἀκούσῃ, ut libri huj. num. 65. Praecedens φησὶν autem frustra repetitur.«

[2]) Galat. VI, 14. [3]) Cfr. II Cor. X, 3. 4. 5.

[4]) Edd. Spenc. ad marg. ἀκούσει. Cfr. pag. huj. not. 1. [5]) Galat. VI, 14.

[6]) Idem de Helcesaitis tradit Origenes in Psalm. LXXXII., sed ex Epiphan. XXX, 3. constat affines hos Ebionitis fuisse, quorum in Paulum calumnias tangunt idem Epiphan. XXX, 16. et 25., Euseb. lib. III. cap. 25. hist. ecclesiastic., et Theodoretus lib. II. Haeretic. fab. cap. 1. Adde Irenaeum lib. I. cap. 26. R.

[7]) De Encratitis sive Severianis idem cfr. Euseb. lib. III. cap. 27. hist. eccles., Hieronymus praefat. ad Titum. R. — Cfr. insuper Hieronym. Catalog. scriptor. ec-

Οὐκ ἂν οὖν οἱ μὴ χρώμενοι τῷ ἀποστόλῳ, ὡς μακαρίῳ τινὶ καὶ σοφῷ, λέγοιεν τό· »ἐμοὶ[1]) κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ.« Διὸ καὶ ἐν τούτῳ ὁ Κέλσος ψεύδεται. Καὶ ἐπιδιατρίβει γε κατηγορῶν τῆς ἐν ταῖς αἱρέσεσι διαφορᾶς· οὐ πάνυ δέ μοι δοκεῖ διαρθροῦν ἃ λέγει, οὐδ' ἐπιμελῶς αὐτὰ τεθεωρηκέναι, οὐδὲ κατανενοηκέναι, πῶς πλεῖον Ἰουδαίων ἐπίστασθαι λέγουσιν ἑαυτοὺς οἱ ἐν τοῖς λόγοις διαβεβηκότες Χριστιανοί· καὶ πότερον τοῖς μὲν βιβλίοις συγκατατιθέμενοι, τὸν δὲ νοῦν ἀντεξηγούμενοι, ἢ οὐδὲ συγκατατιθέμενοι τοῖς ἐκείνων γράμμασιν. Ἑκάτερα γὰρ εὕροιμεν ἂν ἐν ταῖς αἱρέσεσι. Μετὰ ταῦτά φησι· »Φέρ' οὖν, εἰ καὶ μηδεμίαν ἀρχὴν τοῦ δόγματος ἔχουσιν, αὐτὸν ἐξετάζωμεν τὸν λόγον· πρότερον δὲ ὅσα παρακηκοότες ὑπ' ἀγνοίας[2]) διαφθείρουσιν, οὐκ ἐμμελῶς ἐν ἀρχαῖς εὐθὺς ἀπαυθαδιαζόμενοι περὶ ὧν οὐκ ἴασι, λεκτέον· ἔστι δὲ τάδε.« Καὶ εὐθέως λέξεσί τισι, τοῖς πιστεύουσι τῷ Χριστιανῶν λόγῳ συνεχῶς ὀνομαζομέναις, ἀντιπαρατίθησιν ἀπὸ τῶν φιλοσόφων· βουλόμενος τὰ καλὰ τῶν νομιζομένων Κέλσῳ παρὰ Χριστιανοῖς λέγεσθαι, καὶ βέλτιον καὶ τρανότερον εἰρῆσθαι παρὰ τοῖς φιλοσοφοῦσιν, ἵνα περισπάσῃ ἐπὶ φιλοσοφίαν τοὺς ἁλισκομένους ὑπὸ τῶν αὐτόθεν ἐμφαινόντων δογμάτων τὸ καλὸν καὶ τὸ εὐσεβές. Καὶ τὸν πέμπτον δὴ Τόμον αὐτόθι καταπαύσαντες, ἀρξώμεθα[3]) τοῦ ἕκτου ἀπὸ τῶν ἑξῆς.

---

cles. in Tatiano, Theodoret. lib. I. de haeret. fab., Epiphan. Haer. 47. pag. 400. ·

[1]) Galat. VI, 14.

[2]) Mss. ἀγνοίας. Libri editi (v. c. edd. Spenc.) ἀνοίας. R. — Boherell. in notis: »Forte: ἀγνοίας.«

[3]) Boherell. in notis: »Malim: ἀρξόμεθα. Vide finem libri VI. et VII.«

ΩΡΙΓΕΝΟΥΣ

ΚΑΤΑ ΚΕΛΣΟΥ

Τόμος ἕκτος.

1. (275) Ἕκτον [1]) τοῦτον ἐνιστάμενοι λόγον, πρὸς τὰς Κέλσου κατὰ Χριστιανῶν κατηγορίας χρήζομεν ἐν αὐτῷ, ἱερὲ Ἀμβρόσιε, ἀγωνίσασθαι· οὐ πρὸς τὰ ἀπὸ φιλοσοφίας ὑπ' αὐτοῦ ἐκτιθέμενα, ὡς οἰηθείη ἄν τις. Παρέθετο γὰρ πλείονα, μάλιστα Πλάτωνος, ὁ Κέλσος, κοινοποιῶν τὰ δυνάμενα ἑλεῖν τινα καὶ συνετὸν ἐκ τῶν ἱερῶν γραμμάτων· φάσκων, »βέλτιον αὐτὰ παρ' Ἕλλησιν εἰρῆσθαι, καὶ χωρὶς ἀνατάσεως καὶ ἐπαγγελίας [2]) τῆς ἀπὸ θεοῦ, ἢ υἱοῦ θεοῦ.« Φαμὲν οὖν ὅτι, εἴπερ τὸ προκείμενόν ἐστι τοῖς πρεσβεύουσι τὰ [3]) τῆς ἀληθείας,

---

[1]) Cfr. Philoc. cap. XV. ed. Tarini pag. 117. seqq., ubi, tituli instar, haec in fronte leguntur: *Πρὸς τοὺς Ἕλλήνων φιλοσόφους τὸ εὐτελὲς τῆς τῶν θείων γραφῶν φράσεως διασύροντας, καὶ τὰ ἐν Χριστιανισμῷ καλὰ βέλτιον παρ' Ἑλλήνων εἰρῆσθαι φάσκοντας· καὶ προσέτι δυσειδὲς τὸ τοῦ Κέλσου σῶμα λέγοντας. Καὶ τίς ὁ λόγος τῶν διαφόρων τοῦ λόγου μορφῶν.*

[2]) Philoc. Mscr., Hoeschel. teste: *ἐπαγγελίας τῆς ὡς ἀπὸ θεοῦ*, Philoc. vero impressa: *ἀπαγγελίας τῆς ὑπὸ θεοῦ*.

[3]) Hoeschel. et Spenc., uncis in textu voc. *τά* appositis, ad marginem: *τὴν ἀλήθειαν*,

πλείους, ὅση δύναμις, ὠφελεῖν, καὶ προσάγειν, ὡς οἷόν[1]) τέ ἐστιν, αὐτῇ διὰ φιλανθρωπίαν πάνθ' ὑντινοῦν, οὐ μόνον ἐντρεχῆ, ἀλλὰ καὶ ἀνόητον· πάλιν[2]) δ' αὖ οὐχὶ Ἕλληνας μὲν, οὐχὶ δὲ καὶ βαρβάρους, πολὺ δὲ τὸ ἥμερον[3]) ἐὰν καὶ τοὺς ἀγροικοτάτους καὶ ἰδιώτας οἷός τέ τις γένηται ἐπιστρέφειν· δῆλόν ἐστιν, ὅτι[4]) χαρακτῆρος ἐν τῷ λέγειν φροντιστέον αὐτῷ κοινωφελοῦς, καὶ δυναμένου πᾶσαν ἐπαγαγέσθαι ἀκοήν. Ὅσοι δὲ πολλὰ χαίρειν φράσαντες ὡς ἀνδραπόδοις τοῖς ἰδιώταις, καὶ μὴ οἷοις τε κατακούειν τῆς ἐν φράσει λόγων καὶ τάξει ἀπαγγελλομένων ἀκολουθίας, μόνων[5]) ἐφρόντισαν τῶν ἀνατραφέντων[6]) ἐν λόγοις καὶ μαθήμασιν· οὗτοι τὸ κοινωνικὸν εἰς κομιδῇ στενὸν καὶ βραχὺ συνήγαγον.

2. Ταῦτα δέ[7]) μοι λέλεκται, ἀπολογουμένῳ περὶ τῆς κατηγορουμένης ὑπὸ[8]) Κέλσου καὶ ἑτέρων ἐν λέξεσιν εὐτελείας τῶν γραφῶν, ἀμαυροῦσθαι δοκούσης ὑπὸ τῆς ἐν συνθέσει λέξεως[9]) λαμπρότητος· ἐπεὶ οἱ καθ' ἡμᾶς προφῆται, Ἰησοῦς τε, καὶ οἱ ἀπόστολοι αὐτοῦ,[10]) ἐνεῖδον τρόπῳ ἀπαγγελίας, οὐ τὰ ἀληθῆ μόνον περιεχούσης, ἀλλὰ καὶ δυναμένης ἐπαγαγέσθαι τοὺς πολλούς· ἕως προτραπέντες καὶ εἰσαχθέντες ἕκαστος,

---

[1]) Philoc. Mscr., Hoeschel. teste: οἷόν τε ἐστιν, διὰ φιλανθρωπίαν, Philoc. vero impressa, ut in nostro textu.

[2]) Philoc. πάλιν τ' αὖ.

[3]) Philoc. ἡμέτερον ἐὰν καὶ τούς.

[4]) Philoc. Mscr., Hoeschel. teste: ὃ καὶ χαρακτῆρος, Philoc. impressa: ὅτι καὶ χαρακτῆρος.

[5]) Philoc. μόνον.

[6]) Hoeschel. et Spencer. ad oram: ἀνατρεφόντων.

[7]) Philoc. δή μοι λέλεκται.

[8]) Philoc. Mscr., Hoeschel. teste: ὑπὸ τοῦ Κέλσου, Philoc. vero impressa, ut in nostro textu.

[9]) Philoc. λέξεων λαμπρότητος.

[10]) Philoc. αὐτοῦ ἐνὶ ἥδον τρόπῳ κτλ.

κατὰ δύναμιν ἀναβῶσιν[1]) ἐπὶ τὰ ἐν ταῖς δοκούσαις[2]) εὐτελέσιν εἶναι λέξεσιν ἀπορρήτως εἰρημένα. Καὶ, εἰ χρή γε τολμήσαντα εἰπεῖν, ὀλίγους μὲν ὤνησεν, (εἴγε ὤνησεν,) ἡ περικαλλὴς καὶ ἐπιτετηδευμένη Πλάτωνος, καὶ τῶν παραπλησίως φρασάντων, λέξις· πλείονας δὲ ἡ τῶν εὐτελέστερον ἅμα καὶ πραγματικῶς καὶ ἐστοχασμένως τῶν πολλῶν, διδαξάντων καὶ γραψάντων. Ἔστι γοῦν ἰδεῖν, τὸν μὲν Πλάτωνα ἐν χερσὶ τῶν δοκούντων εἶναι φιλολόγων μόνον· τὸν[3]) δὲ Ἐπίκτητον, καὶ ὑπὸ τῶν τυχόντων (276) καὶ ῥοπὴν πρὸς τὸ ὠφελεῖσθαι ἐχόντων, θαυμαζόμενον, αἰσθομένων[4]) τῆς ἀπὸ τῶν λόγων αὐτοῦ βελτιώσεως. Καὶ ταῦτά γε, οὐκ ἐγκαλοῦντες Πλάτωνι, φαμέν· (ὁ γὰρ πολὺς τῶν ἀνθρώπων κόσμος χρησίμως καὶ τοῦτον ἤνεγκεν·) ἀλλὰ[5]) καὶ δεικνύντες τὸ βούλημα τῶν εἰπόντων τό·[6]) »καὶ[7]) ὁ λόγος μου, καὶ τὸ κήρυγμά μου, οὐκ[8]) ἐν πειθοῖς ἀνθρωπίνης σοφίας λόγοις, ἀλλ' ἐν ἀποδείξει πνεύματος, καὶ δυνάμεως· ἵν'[9]) ἡ πίστις ἡμῶν μὴ ᾖ ἐν σοφίᾳ

---

[1]) Sic recte Philocalia. Hoeschel. et Spencerus: ἀναλάβωσιν. R. — Jam Boherell. in notis: »E Philoc. lege: ἀναβῶσιν.«

[2]) Edd. Spenc. δοκούσαις εἶναι εὐτελέσι λέξεσιν.

[3]) Philoc. τὸν δ' Ἐπίκτητον.

[4]) Philoc. Mscr., Hoeschel. teste: αἰσθανομένων, Philoc. vero impressa, ut in nostro textu.

[5]) Philoc. ἀλλὰ δεικνύντες.

[6]) Deest τό in Philoc.

[7]) Cfr. I Cor. II, 4. 5.

[8]) Hoeschel. in textu (edd. Spenc. ad marg.) οὐκ ἐν πειθοῖ ἀνθρωπίνης σοφίας λόγοις. Male, nisi pro λόγοις, legatur: λόγου, vel: λόγων. R.

[9]) Philoc. ἵνα ἡ πίστις κτλ.

ἀνθρώπων, ἀλλ' ἐν δυνάμει θεοῦ.« [1]) Φησὶ [2]) δ' ὁ θεῖος λόγος, οὐκ αὔταρκες εἶναι τὸ λεγόμενον, (κἂν [3]) καθ' αὐτὸ ἀληθὲς καὶ πιστικώτατον ᾖ,) πρὸς τὸ καθικέσθαι ἀνθρωπίνης ψυχῆς· ἐὰν μὴ καὶ δύναμίς τις θεόθεν δοθῇ τῷ λέγοντι, καὶ χάρις ἐπανθήσῃ τοῖς λεγομένοις, καὶ αὕτη οὐκ ἀθεεὶ ἐγγινομένη τοῖς ἀνυσίμως λέγουσι. Φησὶ [4]) γοῦν ὁ προφήτης ἐν ἑξηκοστῷ καὶ ἑβδόμῳ ψαλμῷ, ὅτι »κύριος [5]) δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ.« Ἵν' [6]) οὖν ἐπί τινων δοθῇ, τὰ αὐτὰ δόγματα εἶναι Ἕλλησι, καὶ τοῖς ἀπὸ [7]) τοῦ λόγου ἡμῶν· [8]) ἀλλ' οὔτι γε καὶ τὰ αὐτὰ δύναται,

---

[1]) Philoc. θεοῦ. Ἔστι γάρ τις οἰκεία ἀπόδειξις τοῦ λόγου, θειοτέρα παρὰ τὴν ἀπὸ διαλεκτικῆς Ἑλληνικήν· ἣν ὁ ἀπόστολος ὀνομάζει ἀπόδειξιν πνεύματος καὶ δυνάμεως· πνεύματος μέν, διὰ τὰς προφητείας, ἱκανὰς πιστοποιῆσαι τὸν ἐντυγχάνοντα, μάλιστα εἰς τὰ περὶ Χριστοῦ· δυνάμεως δέ, διὰ τὰς τεραστίους δυνάμεις, ἃς κατασκευαστέον γεγονέναι καὶ ἐκ πολλῶν μὲν ἄλλων, καὶ ἐκ τοῦ ἴχνη αὐτῶν ἔτι σώζεσθαι παρὰ τοῖς κατὰ τὸ βούλημα τοῦ λόγου βιοῦσιν. Ἔτι δὲ καὶ τοῦτό φησιν ὁ θεῖος λόγος· οὐκ αὔταρκες κτλ. Cfr. lib. I. contra Cels. num. 2. ed. nostrae pag. 21. seq.

[2]) Philoc. Ἔτι δὲ καὶ τοῦτό φησιν ὁ θεῖος λόγος· οὐκ αὔταρκες κτλ. Cfr. pag. huj. not. 1.

[3]) Philoc. κἂν κατ' αὐτὸ ἀληθὲς καὶ πιστικώτατον ᾖ πρὸς τὸ ἀνθρωπίνης καθικέσθαι ψυχῆς, ἐὰν μὴ καὶ δύναμίς τις δοθῇ θεόθεν τῷ λέγοντι, καὶ χάρισμα ἐπανθήσῃ κτλ.

[4]) Philoc. Φησὶ γοῦν ἐν ἑξηκοστῷ ἑβδόμῳ ψαλμῷ, ὅτι κτλ.

[5]) Cfr. Psalm. LXVIII, 11. (LXVII.)

[6]) Philoc. Ἵν' οὖν καὶ ἐπί τινων κτλ.

[7]) Philoc. ὑπὸ τοῦ λόγου.

[8]) Boherell. in notis: »Pro ἡμῶν lege: ἡμῖν. Nam οἱ ἀπὸ τοῦ λόγου, absolute, sunt Christiani, ut supra lib. I. num. 2. et 5.«

πρὸς τὸ ὑπαγαγέσθαι καὶ διαθεῖναι ψυχὰς κατὰ ταῦτα. Διόπερ οἱ ἰδιῶται, ὡς πρὸς φιλοσοφίαν Ἑλληνικὴν, μαθηταὶ τοῦ Ἰησοῦ, ἐκπεριῆλθον πολλὰ ἔθνη τῆς οἰκουμένης, διατιθέντες, ὡς ὁ λόγος ἐβούλετο, κατ' ἀξίαν ἕκαστον τῶν ἀκουόντων· οἳ [1]) καὶ ἀνάλογον τῇ ῥοπῇ τοῦ αὐτεξουσίου αὐτῶν πρὸς [2]) ἀποδοχὴν τοῦ καλοῦ πολλῷ βελτίους ἐγένοντο.

3. Παλαιοὶ τοίνυν ἄνδρες καὶ σοφοὶ δηλούτωσαν [3]) τοῖς ἐπίστασθαι [4]) δυναμένοις. Καὶ δὴ καὶ Πλάτων, ὁ τοῦ Ἀρίστωνος, τὰ περὶ τοῦ πρώτου ἀγαθοῦ διασημαινέτω ἔν [5]) τινι τῶν ἐπιστολῶν, καὶ φασκέτω· »μηδαμῶς εἶναι ῥητὸν τὸ πρῶτον ἀγαθὸν, ἀλλ' ἐκ πολλῆς

---

[1]) Sic Philocalia; Hoeschel. autem et Spencer. omittunt articulum οἵ.

[2]) Philoc. πρὸς ὑποδοχὴν τοῦ καλοῦ πολλοὶ βελτίους ἐγένοντο.

[3]) Hoeschel. in textu, edd. Spenc. ad marg. δηλούσθωσαν.

[4]) Hoeschel. in textu: ἐπιτάσθαι, ad marg. ἐπιτάττεσθαι, edd. Spenc. ad marg. ἐπιτάσθαι et ἐπιτάττεσθαι.

[5]) Plato epist. VII. ad Dionis propinquos et familiares pag. 341. Τοσόνδε γε μὴν περὶ πάντων ἔχω φράζειν τῶν γεγραφότων καὶ γραψόντων, ὅσοι φασὶν εἰδέναι περὶ ὧν ἐγὼ σπουδάζω, εἴτ' ἐμοῦ ἀκηκοότες, εἴτ' ἄλλων, εἴθ' ὡς εὑρόντες αὐτοὶ, τούτους οὐκ ἔστι, κατὰ γε τὴν ἐμὴν δόξαν, περὶ τοῦ πράγματος ἐπαΐειν οὐδέν. Οὔκουν ἐμόν γε περὶ αὐτῶν ἐστι σύγγραμμα, οὐδὲ μή ποτε γένηται· ῥητὸν γὰρ οὐδαμῶς ἐστιν ὡς ἄλλα μαθήματα, ἀλλ' ἐκ πολλῆς συνουσίας γιγνομένης περὶ τὸ πρᾶγμα αὐτὸ καὶ τοῦ συζῆν ἐξαίφνης, οἷον ἀπὸ πυρὸς πηδήσαντος ἐξαφθὲν φῶς, ἐν τῇ ψυχῇ γενόμενον αὐτὸ ἑαυτὸ ἤδη τρέφει. Haec ille, ut Dionysii fastum et insolentiam compesceret, qui philosophiae et scientiarum rudis, de rebus abstrusissimis libellum conscripsit, deque maximis mysteriis multa temere effutiit. Spencerus.

συνουσίας ἐγγιγνόμενον,[1]) καὶ ἐξαίφνης, οἷον ἀπὸ πυρὸς πηδήσαντος, ἐξαφθὲν φῶς ἐν τῇ ψυχῇ.« Ὧν καὶ ἡμεῖς ἀκούσαντες,[2]) συγκατατιθέμεθα ὡς καλῶς λεγομένοις· ὁ θεὸς γὰρ αὐτοῖς ταῦτα, καὶ ὅσα καλῶς λέλεκται, ἐφανέρωσε.[3]) Διὰ τοῦτο δὲ καὶ τοὺς[4]) τὰ ἀληθῆ περὶ θεοῦ ὑπολαβόντας, καὶ μὴ τὴν ἀξίαν τῆς περὶ αὐτοῦ ἀληθείας θεοσέβειαν ἀσκήσαντας, φαμὲν ὑποκεῖσθαι ταῖς τῶν ἁμαρτανόντων κολάσεσιν. Αὐταῖς γὰρ λέξεσί[5]) φησι περὶ τῶν τοιούτων ὁ Παῦλος, ὅτι »ἀποκαλύπτεται[6]) ὀργὴ θεοῦ ἀπ' οὐρανοῦ ἐπὶ πᾶσαν ἀσέβειαν καὶ ἀδικίαν ἀνθρώπων, τῶν τὴν ἀλήθειαν ἐν ἀδικίᾳ κατεχόντων. Διότι τὸ γνωστὸν τοῦ θεοῦ φανερόν ἐστιν ἐν αὐτοῖς· ὁ[7]) θεὸς γὰρ αὐτοῖς ἐφανέρωσε. Τὰ γὰρ ἀόρατα αὐτοῦ, ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα, καθορᾶται, ἥ τε ἀΐδιος αὐτοῦ δύναμις, καὶ θειότης, εἰς τὸ εἶναι αὐτοὺς ἀναπολογήτους. Διότι γνόντες τὸν θεὸν, οὐχ ὡς θεὸν ἐδόξασαν, ἢ εὐχαρίστησαν, ἀλλ' ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς αὐτῶν,[8]) καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία. Φάσκοντες εἶναι (277) σοφοὶ ἐμωράνθησαν· καὶ ἤλλαξαν τὴν δόξαν τοῦ ἀφθάρτου θεοῦ ἐν ὁμοιώματι εἰκόνος φθαρ-

---

[1]) Philoc. ἐγγινόμενον ἐξαίφνης οἷον κτλ. — Cfr. pag. 301. pag. 5.

[2]) Philoc. ἀκούσαντες οἱ μελετήσαντες μηδενὶ ἀπεχθάνεσθαι τῶν καλῶς λεγομένων, κἂν οἱ ἔξω τῆς πίστεως λέγωσι καλῶς, μὴ προσφιλονεικεῖν αὐτοῖς, μηδὲ ζητεῖν ἀνατρέπειν τὰ ὑγιῶς ἔχοντα, συγκατατιθέμεθα ὡς καλῶς λεγομένοις. — Jam Boherell. in notis: »Quae post voc. ἀκούσαντες e Philoc. affert Hoeschelius in notis, leguntur iterum (edd. Spenc.) pag. 363. media.«

[3]) Cfr. Rom. I, 19. [4]) Philoc. τοὺς τἀληθῆ.

[5]) Philoc. λέξεσι περὶ τῶν τοιούτων φησὶν ὁ Παῦλος.

[6]) Cfr. Rom. I, 18—23.

[7]) Philoc. ὁ γὰρ θεὸς αὐτοῖς κτλ.

[8]) Philoc. itemq. ed. Ruaei: αὐτῶν.

τοῦ ἀνθρώπου, καὶ πετεινῶν, καὶ τετραπόδων, καὶ ἑρπετῶν.« Καὶ[1]) ἀληθειαν γοῦν[2]) κατέχουσιν, ὡς καὶ ὁ ἡμέτερος μαρτυρεῖ λόγος, οἱ φρονοῦντες, ὅτι[3]) »ῥητὸν οὐδαμῶς ἐστι« τὸ πρῶτον ἀγαθὸν, καὶ λέγοντες, ὡς »ἐκ[4]) πολλῆς συνουσίας γινομένης[5]) περὶ τὸ πρᾶγμα αὐτὸ,[6]) καὶ τοῦ συζῆν, ἐξαίφνης, οἷον ἀπὸ πυρὸς πηδήσαντος, ἐξαφθὲν φῶς, ἐν τῇ ψυχῇ γενόμενον[7]) αὐτὸ ἑαυτὸ ἤδη τρέφει.«

4. Ἀλλ' οἱ τοιαῦτα περὶ τοῦ πρώτου ἀγαθοῦ γράψαντες καταβαίνουσιν εἰς Πειραιέα,[8]) προσευξόμενοι ὡς θεῷ τῇ Ἀρτέμιδι· καὶ ὀψόμενοι τὴν ὑπὸ ἰδιωτῶν[9]) ἐπιτελουμένην πανήγυριν· καὶ τηλικαῦτά[10]) γε φιλοσοφήσαντες περὶ τῆς ψυχῆς, καὶ τὴν διαγωγὴν τῆς καλῶς βεβιωκυίας διεξελθόντες, καταλιπόντες τὸ μέγεθος ὧν[11]) αὐτοῖς ὁ θεὸς ἐφανέρωσεν, εὐτελῆ φρονοῦσι καὶ μικρὰ, ἀλεκτρυόνα[12]) τῷ Ἀσκληπιῷ ἀποδιδόντες· καὶ

---

[1]) Deest *καί* in Philoc. [2]) Philoc. *οὖν*.

[3]) Philoc. *ὅτι ῥητόν ἐστιν οὐδαμῶς τὸ πρῶτον ἀγαθόν*. Cfr. Plato ep. VII. pag. 341. coll. ed. nostrae pag. 301. not. 5.

[4]) Cfr. Plato ep. VII. pag. 341. coll. ed. nostrae pag. 301. not. 5.

[5]) Plato loc. laudato, cfr. pag. ed. nostrae 301. not. 5. *γιγνομένης*.

[6]) Philoc. Mscr., Hoeschel. teste: *αὐτὸ καὶ συζητεῖν*, Philoc. vero impressa: *αὐτὸ καὶ τὸ ζητεῖν*. Hoeschel. in textu, edd. Spenc. ad marg. *αὐτὸ καὶ τὸ συζῆν*.

[7]) Philoc. *γινόμενον*. — In seqq. Philoc. *περὶ πρώτου ἀγαθοῦ*. [8]) Philoc. *Πειραιᾶ*.

[9]) Sic optime Philocalia, male autem Hoeschel. et Spencerus: *Ἰουδαίων*. R. — Jam Boherell. in notis: »Lege: *ἰδιωτῶν*, e Philocalia.«

[10]) Philoc. Mscr., Hoeschel. teste: *τηνικαῦτα φιλοσοφήσαντες*, Philoc. vero impressa: *τηλικαῦτα φιλοσοφήσαντες*.

[11]) Philoc. *ὧν ὁ θεὸς αὐτοῖς ἐφανέρωσεν*. — Cfr. Rom. I, 19.

[12]) Spencer. in notis: Plato in Phaedone pag. 188.

τὰ ἀόρατα[1]) τοῦ θεοῦ, καὶ τὰς ἰδέας φαντασθέντες ἀπὸ τῆς κτίσεως τοῦ κόσμου, καὶ τῶν αἰσθητῶν, ἀφ' ὧν

Καὶ ἐκκαλυψάμενος, (ἐνεκεκάλυπτο γὰρ,) εἶπεν, ὃ δὴ τελευταῖον ἐφθέγξατο· ὦ Κρίτων ἔφη, τῷ Ἀσκληπιῷ ὀφείλομεν ἀλεκτρυόνα· ἀλλὰ ἀπόδοτε, καὶ μὴ ἀμελήσητε. Tertull. Apolog. cap. 45. (46.) »Socratis vox est: Si daemonium permittat. Idem et cum aliquid de veritate sapiebat deos negans, Aesculapio tamen gallinacium prosecari jam in fine jubebat: credo ob honorem patris ejus, quia Socratem Apollo sapientissimum omnium cecinit.« Et libr. de Anima cap. 1. Lactant. lib. III. cap. 20. »Illud vero nonne summae vanitatis, quod ante mortem familiares suos rogavit, ut Aesculapio gallum, quem voverat, pro se sacrarent? Timuit videlicet, ne apud Rhadamanthum receptorem (recuperatorem) voti reus fieret ab Aesculapio. Dementissimum hominem putarem, si morbo affectus perisset. Cum vero hoc sanus fecerit, est ipse insanus, qui eum putet fuisse sapientem.« »At ego, o Lactanti, non te quidem dementem dixerim, inquit Coelius Rhodiginus lib. XVI. cap. 12. lect. antiq., cum et prudenter et docte scripseris non parum multa; sed Socratem, ut temporibus illis bene cordatum hominem contenderim: cujus vita, ut Christianae sanctitatis imago quaedam, laudatur a scientissimis. Te vero Platonis sensum haudquaquam assecutum id argumento est, quod quae obvelatis traduntur figuris, nec nisi allegoricis enarrationibus unquam intelligenda, ipse ut simpliciter dicta accepisti, oblitus, ut videtur, sententiae illius: Nunquam futurum Platonicum, qui allegorice Platonem non putet intelligendum.« Haec morituri Socratis verba Coelius Rhodiginus loco citato, Theodoretus etiam, et Mirandula, magis candide interpretati sunt: hic in oratione de hominis dignitate: »Postremo ut gallum nutriamus, nos admonebit, id est, ut divinam animae nostrae partem divinarum rerum cognitione, quasi solido cibo, et coelesti ambrosia pascamus. Hic est gallus, cujus adspectum leo,

[1]) Cfr. Rom. I, 20.

ἀναβαίνουσιν ἐπὶ τὰ νοούμενα· τήν τε ἀΐδιον[1]) αὐτοῦ δύναμιν καὶ θειότητα οὐκ ἀγεννῶς ἰδόντες, οὐδὲν ἧττον ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς αὐτῶν· καὶ[2]) ἡ ἀσύνετος αὐτῶν καρδία ἐν σκότῳ καὶ ἀγνοίᾳ καλινδεῖται τῇ περὶ τοῦ θεραπεύειν τὸ θεῖον. Καὶ ἔστιν ἰδεῖν τοὺς ἐπὶ σοφίᾳ μέγα φρονοῦντας καὶ θεολογίᾳ, ὁμοιώματι εἰκόνος φθαρτοῦ ἀνθρώπου προσκυνοῦντας εἰς[3]) τιμὴν, φασὶν,[4]) ἐκείνου· ἐσθ'[5]) ὅτε δὲ καταβαί-

---

id est, omnis terrena potestas, formidat et reveretur: hic ille gallus, cui datam esse intelligentiam apud Job legimus: hoc gallo canente, aberrans homo resipiscit: hic gallus in matutino crepusculo, cum matutinis astris Deum laudamus, quotidie commodulatur: hunc gallum moriens Socrates, cum divinitatem animi sui divinitati majoris mundi copulaturum se speraret, Aesculapio, id est, animarum medico, jam extra omne morbi discrimen positus, debere se dixit:« ille in sermone VII. ad Graecos de sacrificiis: Ἐγὼ δὲ οἶμαι καὶ Σωκράτην, τὸν Σωφρονίσκου, τὸν ἀλεκτρυόνα θῦσαι κελεῦσαι, ἵνα τὴν κατ' αὐτοῦ γεγενημένην διελέγξῃ γραφήν· ἐγραψάτην γὰρ αὐτὸν Ἄνυτός τε καὶ Μέλιτος, ὡς εἴναι θεοὺς οὐ νομίζοντα. Ὅτι γὰρ ἀνενδεὲς τὸ θεῖον ἠπίστατο, σαφῶς ἐν ἑτέροις δεδήλωκεν. Αὐτοῦ γὰρ δὴ καὶ ταῦτα· εἴπερ δὴ ἄρα ὁ Πλάτων τὰ ἐκείνου ξυνέγραψε δόγματα· οὐ γὰρ χρείας ἕνεκεν ὁ θεὸς ἐποίησε τὸν κόσμον, ἵνα τιμάς τε πρὸς ἀνθρώπων, καὶ πρὸς θεῶν ἄλλων, καὶ δαιμόνων καρποῖτο, οἷον πρόσοδόν τινα ἀπὸ τῆς γενέσεως ἀρνύμενος· παρὰ μὲν ἡμῶν, καπνούς· παρὰ δὲ θεῶν καὶ δαιμόνων, οἰκείας λειτουργίας.

[1]) Cfr. Rom. I, 20. 21.

[2]) Sic Mss. Hoeschel. et Spencer. (itemq. Philoc.) καὶ ὡς ἀσύνετος αὐτῶν ἡ καρδία. R. — Cfr. Rom. I, 21.

[3]) Libri editi (v. c. edd. Spenc., itemq. Philoc.) in textu: εἰς τιμὴν φησιν ἐκείνου. R.

[4]) Sic edd. Spenc. ad marginem. Cfr. pag. huj. not. 3.

[5]) Libri editi (v. c. edd. Spenc.) ἐσθ' ὅτε καὶ κα-

νοντας μετ' Αἰγυπτίων ἐπὶ τὰ πετεινὰ, [1]) ἢ τετράποδα, ἢ ἑρπετά. Ἵνα δὲ καὶ δοκῶσί τινες ταῦτα ὑπεραναβεβηκέναι· [2]) ἀλλ' εὑρεθήσονται ἀλλάξαντες [3]) τὴν ἀλήθειαν τοῦ θεοῦ ἐν τῷ ψεύδει, καὶ σέβοντες, καὶ λατρεύοντες »τῇ κτίσει παρὰ τὸν κτίσαντα.« Διόπερ τῶν ἐν Ἕλλησι σοφῶν, καὶ πολυμαθῶν [4]) τοῖς ἔργοις περὶ τὸ θεῖον πλανωμένων, ἐξελέξατο [5]) »ὁ θεὸς τὰ μωρὰ τοῦ κόσμου, ἵνα καταισχύνῃ τοὺς σοφοὺς, καὶ τὰ ἀγενῆ, [6]) καὶ τὰ ἀσθενῆ, καὶ τὰ ἐξουθενημένα, καὶ τὰ μὴ ὄντα, ἵνα τὰ ὄντα καταργήσῃ·« καὶ ἀληθῶς, ἵνα »μὴ καυχήσηται πᾶσι σὰρξ ἐνώπιον τοῦ θεοῦ.« Πρῶτοι [7]) δὲ οἱ ἡμῶν σοφοὶ, Μωϋσῆς [8]) ὁ ἀρχαιότατος, καὶ οἱ ἑξῆς αὐτῷ προφῆται, οὐδαμῶς ῥητὸν [9]) ἐπιστάμενοι τὸ πρῶτον ἀγαθὸν, ἔγραψαν μὲν, ὡς [10]) θεοῦ ἑαυτὸν ἐμφανίζοντος τοῖς ἀξίοις καὶ ἐπιτηδείοις, ὅτι ὤφθη [11]) ὁ θεὸς τῷ Ἀβραὰμ, ἢ τῷ Ἰσαὰκ, [12]) ἢ τῷ Ἰακώβ. [13]) Τίς δὲ

ταβαίνοντας. R. — Philoc. ἔσθ' ὅτε δὲ καὶ καταβαίνοντας.

[1]) Cfr. Rom. I, 23.

[2]) Philoc. Mscr., Hoeschel. teste: ὑπερβεβηκέναι, Philoc. vero impressa, ut in nostro textu.

[3]) Cfr. Rom. I, 25. [4]) Philoc. φιλομαθῶν.

[5]) Cfr. I Cor. I, 27. 28. 29.

[6]) Philoc itemq. edd. Spenc. ad marg. ἀγεννῆ.

[7]) Sic Philocalia. Hoeschel. autem et Spenc. Πρῶτον δὲ ἡμῶν σοφοί. R. — Jam Boherell. in notis: »Lege: Πρῶτοι, e Philocalia.«

[8]) Philoc. Μωσῆς.

[9]) Cfr. Platon. ep. VII. pag. 341.

[10]) Sic Philocalia. Apud Hoeschel. et Spencer. deest ἑαυτόν. R. — Jam Boherell. in notis: »Post θεοῦ adde: ἑαυτόν.«

[11]) Philoc. ὤφθη θεὸς, φέρε εἰπεῖν, τῷ Ἀβραάμ. — Cfr. Gen. XII, 7.

[12]) Cfr. Gen. XXVI, 2.

[13]) Cfr. Gen. XXXV, 9.

ὧν ὤφθη, καὶ ποταπὸς, καὶ[1]) τίνα τρόπον, καὶ[2]) τίνι τῶν ἐν ἡμῖν, καταλελοίπασιν ἐξετάζειν τοῖς δυναμένοις ἑαυτοὺς ἐμπαρέχειν παραπλησίους[3]) ἐκείνοις, οἷς[4]) ὤφθη ὁ θεός· ὀφθεὶς[5]) αὐτῶν οὐ τοῖς τοῦ σώματος ὀφθαλμοῖς, ἀλλὰ τῇ καθαρᾷ καρδίᾳ. Καὶ γὰρ, κατὰ τὸν Ἰησοῦν ἡμῶν· »μακάριοι[6]) οἱ καθαροὶ τῇ καρδίᾳ· ὅτι αὐτοὶ τὸν θεὸν ὄψονται.«

5. Τὸ[7]) δ' (278) ἐξαίφνης, οἷον ἀπὸ πυρὸς πηδήσαντος, ἐξάπτεσθαι φῶς ἐν τῇ ψυχῇ, πρότερος[8]) οἶδεν ὁ λόγος, εἰπὼν ἐν τῷ προφήτῃ· »φωτίσατε[9]) ἑαυτοῖς[10]) φῶς γνώσεως.« Καὶ Ἰωάννης δὲ, ὕστερον[11]) ἐκείνου γενόμενος, λέγει,[12]) ὅτι »ὃ γέγονεν ἐν τῷ λόγῳ, ζωὴ ἦν, καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων·«

---

[1]) Philoc. Mscr., Hoeschel. teste: καὶ τίνι τρόπῳ, Philoc. vero impressa, ut in nostro textu.

[2]) Cod. Anglicanus primus habet: καὶ τίνι τῷ ἐν ἡμῖν. R. — Edd. Spenc. in textu: καὶ τίνι, τῶν ἐν ἡμῖν καταλελοίπασιν κτλ., Boherell. vero in notis: »Lege: καὶ τίνι τῶν ἐν ἡμῖν, deleta virgula: atque adde ὅμοιος, quod satis affine est τῷ ἡμῖν, ut excidere potuerit librariorum incuria.«

[3]) Sic Philocalia. Edd. Spenc. παραπλησίως.

[4]) Philoc. οἷς ὤφθη θεός.

[5]) Philoc. Mscr., Hoeschel. teste: ὀφθεὶς οὐ τοῖς τοῦ σώματος ἡμῶν ὀφθαλμοῖς, Philoc. vero impressa: ὀφθεὶς οὐ τοῖς τοῦ σώματος αὐτῶν ὀφθαλμοῖς.

[6]) Cfr. Matth. V, 8.

[7]) Philoc. Τὸ δὲ ἐξαίφνης κτλ. — Cfr. Platon. ep. VII. pag. 341. coll. pag. 301. ed. nostrae not. 5.

[8]) Philoc. πρότερος ὁ λόγος οἶδεν.

[9]) Hos. X, 12.

[10]) Sic Philocalia. Hoeschel. et Spenc. ἑαυτούς. R.

[11]) Philoc. ὕστερος ἐκείνου κτλ.

[12]) Hoeschel. et Spencerus: λέγει, ὅτι (χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν,) ὃ γέγονεν· ἐν τῷ λόγῳ κτλ.; sed quae uncis includunt, desiderantur in omnibus Mss. R. — Philoc. λέγει· ὅτι ἐν τῷ λόγῳ κτλ. — Cfr. ev. Joann. I, 3. 4.

ὅπερ »φῶς[1]) ἀληθινὸν φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς[2]) τὸν κόσμον,« τὸν ἀληθινὸν, καὶ νοητὸν, καὶ ποιεῖ αὐτὸν φῶς τοῦ κόσμου. »Ἔλαμψε[3]) γὰρ τοῦτο τὸ[4]) φῶς ἐν ταῖς καρδίαις ἡμῶν, πρὸς φωτισμὸν τοῦ εὐαγγελίου τῆς δόξης τοῦ θεοῦ ἐν[5]) προσώπῳ Χριστοῦ.« Διό φησιν ἀρχαιότατος προφήτης, πρὸ πολλῶν γενεῶν τῆς Κύρου βασιλείας προφητεύσας, (ὑπὲρ[6]) τὰς τεσσαρεσκαίδεκα γὰρ γενεὰς πρεσβύτερος αὐτοῦ ἦν,) τό· »κύριος[7]) φωτισμός μου καὶ σωτήρ μου, τίνα φοβηθήσομαι;« καί· »λύχνος[8]) τοῖς ποσί μου ὁ νόμος σου, καὶ φῶς ταῖς τρίβοις μου.« Καί· »ἐσημειώθη[9]) ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, κύριε·« καί· »ἐν[10]) τῷ φωτί σου ὀψόμεθα φῶς.« Καὶ ἐπὶ τὸ φῶς τοῦτο προτρέπων ἡμᾶς, ὁ ἐν τῷ Ἡσαΐᾳ λόγος φησί· »φωτίζου,[11]) φωτίζου Ἱερουσαλήμ· ἥκει γάρ σου τὸ φῶς, καὶ ἡ δόξα κυρίου ἐπὶ σὲ ἀνέτειλεν.«[12]) Ὁ δ' αὐτὸς[13]) οὗτος προφητεύων περὶ[14]) τῆς τοῦ Ἰησοῦ ἐπιδημίας, ἀφιστάντος[15]) ἀπὸ τῆς τῶν εἰδώλων, καὶ

---

[1]) Cfr. ev. Joann. I, 9.

[2]) Philoc. *εἰς τὸν ἀληθινὸν καὶ νοητὸν κόσμον· καὶ ποιεῖ κτλ.*

[3]) Cfr. II Cor. IV, 6. [4]) Deest *τό* in Philoc.

[5]) Philoc. *ἐν προσώπῳ τοῦ Χριστοῦ.*

[6]) Philoc. *ὑπὲρ τὰς τέσσαρας γὰρ καὶ δέκα γενεὰς πρεσβύτερος κτλ.*

[7]) Psalm. XXVII, 1. (XXVI.)

[8]) Psalm. CXIX, 105. (CXVIII.)

[9]) Psalm. IV, 6.

[10]) Psalm. XXXVI, 9. (XXXV.)

[11]) Cfr. Jesai. LX, 1.

[12]) Philoc., itemq. edd. Spenc. ad marg. *ἀνατέταλκεν.*

[13]) Philoc. Mscr., Hoeschel. teste: *αὐτὸς οὗτος προφήτης προφητεύων περί κτλ.*, Philoc. vero impressa: *αὐτὸς τοῦτο προφητεύων περί κτλ.*

[14]) Philoc. *περὶ τῆς τοῦ θεοῦ ἐπιδημίας.*

[15]) Mss. *ἀφιστάντος ἀπὸ τῆς κτλ.* Hoeschel. et Spen-

ἀγαλμάτων, καὶ δαιμόνων θεραπείας, φησὶν, ὅτι »καθημένοις[1]) ἐν χώρᾳ καὶ σκιᾷ θανάτου φῶς ἀνέτειλεν αὐτοῖς·« καὶ πάλιν· »λαὸς[2]) ὁ καθήμενος ἐν[3]) σκότει, φῶς εἶδε μέγα.« Ὅρα οὖν τὴν διαφορὰν τοῦ καλῶς λελεγμένου[4]) ὑπὸ τοῦ Πλάτωνος περὶ τοῦ πρώτου ἀγαθοῦ, καὶ τῶν εἰρημένων ἐν τοῖς προφήταις περὶ τοῦ φωτὸς τῶν[5]) μακαρίων· καὶ ὅρα, ὅτι ἡ μὲν ἐν Πλάτωνι περὶ[6]) τούτου ἀλήθεια οὐδὲν ὡς πρὸς εἰλικρινῆ εὐσέβειαν ὤνησε τοὺς[7]) ἐντυγχάνοντας, ἀλλ'[8]) οὐδ' αὐτὸν τὸν τοιαῦτα περὶ τοῦ πρώτου ἀγαθοῦ φιλοσοφήσαντα· ἡ δὲ τῶν θείων γραμμάτων εὐτελὴς λέξις[9]) ἐνθουσιᾷν πεποίηκε τοὺς γνησίως ἐντυγχάνοντας αὐτῇ· παρ' οἷς τρέφεται τοῦτο τὸ φῶς τῷ ἔν τινι παραβολῇ εἰρημένῳ ἐλαίῳ τηροῦντι τῶν δᾴδων τὸ φῶς ἐν ταῖς φρονίμοις[10]) πέντε παρθένοις.[11])

6. Ἐπὶ δὲ καὶ ἄλλην λέξιν οὕτως ἔχουσαν ἐκτίθεται ἀπὸ τῆς Πλάτωνος ἐπιστολῆς ὁ Κέλσος· »Εἰ[12])

---

cer. ἀπιστάντος τῆς ἀπό κτλ. R. — Boherell. in notis: »Lege: ἀπὸ τῆς, vel dele: ἀπό.« Philoc. ἀπιστάντων ἀπὸ τῆς κτλ.

[1]) Cfr. Jesai. IX, 2. coll. Matth. IV, 16. et Jesai. LX, 1.

[2]) Cfr. Jesai. IX, 2. coll. Matth. IV, 16.

[3]) Philoc. ἐν σκοτίᾳ εἶδε φῶς μέγα.

[4]) Philoc. λεγομένου. — Cfr. Platon. ep. VII. pag. 341.

[5]) Philoc. Mscr., Hoeschel. teste: τοῦ μακαρίου, Philoc. vero impressa, ut in nostro textu.

[6]) Philoc. Mscr., Hoeschel. teste: περὶ αὐτοῦ, Philoc. vero impressa: περὶ τοῦ αὐτοῦ.

[7]) Philoc. Mscr., Hoeschel. teste: τοὺς ἐνιυγχάνοντας αὐτῇ, Philoc. vero impressa, ut in nostro textu.

[8]) Philoc. ἀλλ' οὐδὲ αὐτόν.

[9]) Hoeschel. et Spencer. (in textu): λέξεσι. Philoc. (itemq. edd. Spenc. ad marg.) λέξις. R.

[10]) Cfr. Matth. XXV, 4.

[11]) Hactenus hoc loco Philocalia.

[12]) Cfr. Platon. epist. VII. pag. 341.

δέ μοι ἐφαίνετο γραπτέα[1]) τε ἱκανῶς εἶναι πρὸς τοὺς πολλοὺς καὶ ῥητὰ, τί[2]) κάλλιον ἐπέπρακτ' ἂν ἡμῖν ἐν τῷ βίῳ, ἢ τοῖς τε ἀνθρώποις μέγα ὄφελος γράψαι, καὶ τὴν φύσιν εἰς φῶς τοῖς[3]) πᾶσι προαγαγεῖν;« φέρε, καὶ περὶ τούτου βραχέα διαλεχθῶμεν, πότερον μὲν εἶχέ τι Πλάτων σεμνότερον ὧν ἔγραψε, καὶ θειότερον ὧν κατέλιπεν, ἢ μὴ, καταλιπόντες ἑκάστῳ ἐξετάζειν κατὰ δυνατὸν, δεικνύντες δὲ,[4]) ὅτι καὶ οἱ καθ' ἡμᾶς προφῆται ἐφρόνουν τινὰ μείζονα γραμμάτων, ἅπερ οὐκ ἔγραψαν. Ὁ μὲν γὰρ Ἰεζεκιὴλ[5]) κεφαλίδα λαμβάνει βιβλίου, γεγραμμένην ἔμπροσθεν καὶ ὄπισθεν, ἐν ᾗ θρῆνος ἦν, καὶ μέλος, (279) καὶ οὐαί· καὶ, προστάξαντος[6]) αὐτῷ τοῦ λόγου, κατεσθίει τὴν βίβλον, ἵν' αὐτὴν μὴ γράψῃ, καὶ προδῷ ἀναξίοις. Καὶ ὁ Ἰωάννης[7]) δὲ τὸ παραπλήσιον ἀναγέγραπται ἑωρακέναι καὶ πεποιηκέναι. Ἀλλὰ γὰρ καὶ ὁ Παῦλος ἤκουσεν[8]) »ἄῤῥητα ῥήματα, ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι.« Ὁ δὲ πάντων τούτων κρείσσων Ἰησοῦς, ὅτι μὲν ἐλάλει[9]) τὸν τοῦ θεοῦ λόγον τοῖς μαθηταῖς κατ' ἰδίαν, καὶ μάλιστα ἐν ταῖς ἀναχωρήσεσιν, εἴρηται· τίνα δ' ἦν ἃ ἔλεγεν, οὐκ ἀναγέγραπται. Οὐ γὰρ ἐφαίνετο αὐτοῖς γραπτέα ἱκανῶς

---

[1]) Ed. Bekkeri: *γραπτέα θ' ἱκανῶς.*

[2]) Edd. Spenc., uncis voc. *τούτου* appositis: *τί τούτου κάλλιον.*

[3]) Hoeschel. *τοῖς πατράσι προσαγαγεῖν.* Cod. Basileensis: *τοῖς πατράσι προαγαγεῖν*, quod consentit cum lectione Platon. ep. VII., modo pro: *πατράσι*, legatur: *πᾶσι.* R. — Edd. Spenc. in textu: *τοῖς πᾶσι προσαγαγεῖν*, ad marginem: *πατράσιν.*

[4]) Deest *δέ* in edd. Spenceri. Jam Boherell. vero in notis: »Post: *δεικνύντες*, adde: *δέ*, quod respondeat praecedenti: *μέν.*«

[5]) Cfr. Ezech. II, 9. 10.

[6]) Cfr. Ezech. III, 1. 2.

[7]) Cfr. Apocal. X, 9.

[8]) Cfr. II Cor. XII, 4.

[9]) Cfr. Marc. IV, 34.

εἶναι ταῦτα πρὸς τοὺς πολλούς, οὐδὲ ῥητά. Καὶ, εἰ μὴ φορτικὸν εἰπεῖν περὶ τῶν τηλικούτων ἀνδρῶν τὸ ἀληθὲς, φημὶ, ὅτι μᾶλλον Πλάτωνος [1]) οὗτοι ἑώρων, ἀφ' ὧν ἐλάμβανον χάριτι θεοῦ νοημάτων, τίνα μὲν τὰ γραπτέα, καὶ πῶς γραπτέα, τίνα δὲ οὐδαμῶς γραπτέα εἰς τοὺς πολλοὺς, καὶ τίνα μὲν ῥητὰ, τίνα δὲ οὐ τοιαῦτα. Πάλιν τε αὖ ὁ Ἰωάννης, [2]) διδάσκων ἡμᾶς γραπτέων καὶ οὐ γραπτέων διαφορὰν, ἑπτὰ βροντῶν φησιν ἀκηκοέναι περί τινων διδασκουσῶν αὐτὸν, καὶ ἀπαγορευουσῶν γραφῆ παραδοῦναι τοὺς λόγους αὐτῶν.

7. Πολλὰ δ' ἂν καὶ παρὰ τῷ Μωϋσῇ εὑρεθείη, καὶ τοῖς προφήταις, οὐ μόνον Πλάτωνος, ἀλλὰ καὶ Ὁμήρου, καὶ τῆς τῶν παρ' Ἕλλησι γραμμάτων εὑρέσεως πρεσβυτέροις, ἄξια τῆς εἰς αὐτοὺς χάριτος τοῦ θεοῦ, καὶ μεγαλονοίας πεπληρωμένα· οἵτινες οὐχ, ὡς οἴεται Κέλσος, παρακούσαντες τοῦ Πλάτωνος, τοιαῦτ' εἰρήκασι. Πῶς γὰρ οἷόν τ' ἦν τοῦ μηδέ πω γενομένου αὐτοὺς ἀκηκοέναι; Ἵνα δὲ καὶ ἐπὶ τοὺς Ἰησοῦ ἀποστόλους τις, νεωτέρους γενομένους Πλάτωνος, ἀναγάγῃ τὸν Κέλσου λόγον· ὅρα, εἰ μὴ αὐτόθεν ἀπίθανόν ἐστι τὸ λέγειν, Παῦλον τὸν σκηνοποιὸν, καὶ Πέτρον τὸν ἁλιέα, καὶ Ἰωάννην τὸν καταλιπόντα τὰ δίκτυα τοῦ πατρὸς, παρακούσαντας [3]) τῶν [4]) Πλάτωνι ἐν ταῖς ἐπιστολαῖς εἰρημένων, τοιαῦτα περὶ τοῦ θεοῦ παραδεδωκέναι. Πολλάκις [5]) δὲ ἤδη ὁ Κέλσος θρυλλήσας ὡς ἀξιού-

---

[1]) Cfr. Platon. ep. VII. pag. 341.

[2]) Cfr. Apocal. X, 4.

[3]) Hoeschel. et Spencerus: *παρακούσαντες*.

[4]) Hoeschel. in textu, edd. Spenc. ad marg. *τῷ Πλάτωνι ἐν ταῖς ἐπιστολαῖς τῶν εἰρημένων*.

[5]) Guietus sic hunc locum legendum proponit: *Πολλάκις δὲ ἤδη ὁ Κέλσος ἀξιούμενος εὐθέως πιστεύειν, ὡς καινόν τι παρὰ τὰ πρότερον εἰρημένα θρυλλήσας, πάλιν αὐτό φησιν.* Boherellus eo, qui in textu nostro

μενον εὐθέως πιστεύειν, ὡς καινόν τι παρὰ τὰ πρότερον εἰρημένα, πάλιν αὐτό φησιν· ἀρκεῖ δ' ἡμῖν τὰ εἰς ταῦτα λελεγμένα. Ἐπεὶ δὲ καὶ ἄλλην λέξιν ἐκτίθεται Πλάτωνος, δι' ὧν φησιν [1]) ἐρωτήσεσι καὶ ἀποκρίσεσι χρώμενον [2]) ἐλλάμπειν φρονήμασι τοῖς καθ' αὐτὸν φιλοσοφοῦσι· φέρε, παραδείξωμεν ἀπὸ τῶν ἱερῶν γραμμάτων, ὅτι προτρέπει καὶ ὁ θεῖος λόγος ἡμᾶς ἐπὶ διαλεκτικήν· ὅπου μὲν Σολομῶντος λέγοντος· »παιδεία [3]) δὲ ἀνεξέλεγκτος πλανᾶται·« ὅπου δὲ τοῦ τὸ σύγγραμμα τὴν σοφίαν ἡμῖν καταλιπόντος Ἰησοῦ υἱοῦ Σειρὰχ φάσκοντος· »γνῶσις [4]) ἀσυνέτου, ἀδιεξέταστοι λόγοι.« Εὐμενεῖς οὖν ἔλεγχοι παρ' ἡμῖν εἰσι μᾶλλον, τοῖς μαθοῦσιν ὅτι δεῖ τὸν προϊσάμενον τοῦ λόγου δυνατὸν εἶναι τοὺς ἀντιλέγοντας ἐλέγχειν. [5]) Εἰ δὲ ῥᾳθυμοῦσί τινες, οὐκ ἀσκοῦντες προσέχειν [6]) ταῖς θείαις ἀναγνώσεσι, καὶ ἐρευνᾷν [7]) τὰς γραφὰς, καὶ, κατὰ τὴν ἐντολὴν τοῦ Ἰησοῦ, ζητεῖν [8]) τὴν (280) διάνοιαν τῶν γραφῶν, καὶ αἰτεῖν περὶ αὐτῶν ἀπὸ τοῦ θεοῦ, καὶ κρούειν αὐτῶν τὰ κεκλεισμένα· οὐ παρὰ τοῦτο ὁ λόγος κενός ἐστι σοφίας.

8. Εἶτά φησι μετὰ ἄλλας λέξεις Πλατωνικὰς, δηλοῦσας, ὅτι ὀλίγοις ἐστὶ γνωστὸν τὸ ἀγαθόν· »ἐπεὶ [9]) οἱ πολλοὶ μετὰ καταφρονήσεως οὐκ ὀρθῆς, ὑψηλῆς καὶ χαύνης ἐλπίδος πληρωθέντες, ὡς σεμνὰ ἄττα μεμαθηκότες, λέγουσί τινα ὡς ἀληθῆ·« »ὅτι ταῦτα προειρηκὼς

---

est, servato verborum ordine tantum mutat ἀξιούμενον in ἀξιοῦμεν, quod magis (?) placet. R.

[1]) Boherellus: »Celsus nempe.«

[2]) Libri antea editi (v. c. edd. Spenc.) χρωμένων, sed Mss. χρώμενον, rectius, ut de Platone intelligatur. R.

[3]) Prov. X, 17.

[4]) Sap. Sirac. XXI, 18. (Ecclesiastic.)

[5]) Cfr. Tit. I, 9. [6]) Cfr. I Tim. IV, 13.

[7]) Cfr. ev. Joann. V, 39. [8]) Cfr. Matth. VII, 7.

[9]) Cfr. Platon. ep. VII. pag. 341.

ὁ Πλάτων, ὅμως οὐ τερατεύεται, οὐδ' ἀποφράττει τοῦ [1]) προσερεῖσθαι βουλομένου τί ποτέ ἐστιν ὃ ἐπαγγέλλεται, τὴν γλῶτταν· οὐδ' αὐτόθεν κελεύει φθάσαντας πιστεύειν, ὅτι τοιόσδε ἐστὶν ὁ θεὸς, καὶ υἱὸν ἔχει τοιόνδε· καὶ οὗτος κατελθὼν ἐμοὶ διελέξατο.« Καὶ πρὸς ταῦτά φημι, ὅτι περὶ μὲν Πλάτωνος Ἀρίστανδρος, οἶμαι, ἀνέγραψεν, ὡς οὐκ Ἀρίστωνος υἱοῦ, ἀλλὰ φάσματος ἐν Ἀπόλλωνος εἴδει προσελθόντος τῇ Ἀμφικτιόνῃ.[2]) Καὶ ἄλλοι δὲ πλείονες τῶν Πλατωνικῶν ἐν [3]) τῷ Πλάτωνος βίῳ ταῦτ' εἰρήκασι. Περὶ δὲ Πυθαγόρου,[4]) πλεῖστα ὅσα τερατευσαμένου, καὶ δείξαντος μὲν ἐν πανηγύρει Ἑλλήνων ἐλεφάντινον [5]) τὸν μηρὸν, ἀνεγνωρικέναι δὲ φήσαντος τὴν ἀσπίδα, ἣ ἔχρητο, ὅτ' Εὔφορβος [6]) ἦν, καὶ ἐν [7]) μιᾷ λεγομένου ἡμέρᾳ ἐν δύο πεφηνέναι πό-

---

[1]) Ed. Ruaei in textu: τοῦ προαιρεῖσθαι βουλομένου, in notis: »Ita Codd. Regius et Basileensis. Cod. Anglican. vero secundus et libri editi in margine: τῷ προαιρεῖσθαι βουλομένῳ. Utraque lectio bona, modo legatur: προσέρεσθαι, vel: προσερεῖσθαι. Male Hoeschel. et Spencer. in textu habent: τοῦ προαιρεῖσθαι βουλομένους.« — Edd. Spenc. ad marg. βουλομένῳ, Boherell. vero in notis: »Lego: τοῦ προσέρεσθαι βουλομένου, vel: τῷ προσέρεσθαι βουλομένῳ.«

[2]) Spenc. in notis: »Lege: Περικτιόνῃ.« — Cfr. lib. I. contra Cels. num. 37.

[3]) Sic. Mss. Regius, Basileensis et Vaticanus. Cod. Anglican. secundus pro: ταῦτ' εἰρήκασι, habet: τοιαῦτα εἰρήκασι. Hoeschel. et Spenc. ἐν τῇ Πλάτωνος βιοτῇ ταῦτ' εἰρήκασι. R.

[4]) Cfr. Porphyr. de vita Pythagorae, Jamblich. cap. 13. et cap. 28, Ammian. Marcell. lib. XXII., Cyrill. Alexandr. lib. III. contra Julian.

[5]) Spenc. in notis: »Apud alios: χρύσεον. Cfr. Jamblich. cap. 18. et cap. 28., Porphyr. in vita Pythagorae pag. 192. et 193, Ammian. Marcell. lib. XXII.«

[6]) Cfr. Porphyr. in vita Pythag. pag. 33., Jamblich. cap. 14., Tertull. de anima cap. 24., Cyrill. lib. III. contra Julian., Ovid. lib. III. Metamorph. fab. 3.

[7]) Porphyr. in vita Pythag. pag 35., Jamblich. cap. 28.

λεσι· τί χρὴ καὶ λέγειν; Ὁ δὲ βουλόμενος κατηγορεῖν ὡς τερατείας ἱστορουμένης περὶ Πλάτωνος καὶ Σωκράτους, ἐκθήσεται καὶ τὸν συνιστάμενον Σωκράτει καθ' ὕπνον κύκνον,[1]) καὶ τὸν διδάσκαλον εἰπόντα ἐπὶ τῇ συστάσει τοῦ νεανίσκου· »οὗτος ἆρα ὁ κύκνος ἦν.« Ἀλλὰ καὶ ὃν τρίτον[2]) εἶδεν ὀφθαλμὸν ἑαυτὸν ἔχοντα ὁ Πλάτων, εἰς τερατείαν ἀναλήψεται. Οὐ λείψει[3]) δὲ τοὺς κακοήθεις, καὶ κατηγορεῖν[4]) βουλομένους τὰ τοῖς κρείττοσι παρὰ τοὺς πολλοὺς ἐπιφανέντα, διαβολὴ καὶ κατηγορία·[5]) οἵτινες καὶ τὸ Σωκράτους δαιμόνιον[6]) ὡς πλάσμα χλευάσουσιν. Οὐ τερατευόμεθα οὖν τὰ περὶ τοῦ Ἰησοῦ διηγούμενοι· οὐδ' οἱ γνήσιοι αὐτοῦ μαθηταὶ

---

[1]) Cfr. Pausan. in Attic. pag. 58., Suid. in voc. *Πλάτων.*, Laërt. in Pythag., Tertull. de anima cap. 15. 16. (ed. Paris. pag. 552.) Apulej. lib. I. de philosoph., Plutarch. de solertia animalium.

[2]) Spenc. in notis: »Credo Platonem per tertium oculum *πολυμάθειαν*, et scientiam, qua ceteris anteibat, denotare voluisse: non aliter quam Pythagoraei per *τρίτον ἄλλο* eximiam sui magistri pietatem, et naturam plane divinam significabant. Cfr. Jamblich. cap. XXVIII. de vita Pythagorae.«

[3]) Hoeschel. in textu, edd. Spenc. ad marg. *λήψει.*

[4]) Hoeschel. et Spenc. in marg. *κακηγορεῖν.*

[5]) Hoeschel. et Spenc. in marg. *κακηγορία.*

[6]) Tertull. de anima cap. 1. (ed. Paris. pag. 524.) »Sane Socrates facilius diverso spiritu agebatur: si quidem ajunt daemonium illi a puero adhaesisse, pessimum revera paedagogum; etsi post deos et cum diis daemonia deputantur penes poëtas et philosophos.« Ibidem cap. XXXIX., Apolog. cap. XXII., Cyprian. de idolor. vanitate, Augustin. lib. VIII. cap. 14. de civit. dei, Lactant. lib. II. cap. 15. Plato in Apolog. pag. 31. *Τούτου δὲ αἴτιόν ἐστιν, ὃ ὑμεῖς ἐμοῦ πολλάκις ἀκηκόατε πολλαχοῦ λέγοντος, ὅτι μοι θεῖόν τι καὶ δαιμόνιον γίγνεται φωνή· ὃ δὴ καὶ ἐν τῇ γραφῇ ἐπικωμῳδῶν Μέλιτος ἐγράψατο.* (Spenc.)

τοιούτους ἀνέγραψαν λόγους περὶ αὐτοῦ. Ὁ δὲ πάντ' ἐπαγγελλόμενος εἰδέναι Κέλσος, καὶ πολλὰ τῶν Πλάτωνος παρατιθέμενος, ἐκὼν, οἶμαι, σιωπᾷ τὸν περὶ υἱοῦ θεοῦ λόγον, τὸν παρὰ Πλάτωνι λεγόμενον[1]) ἐν τῇ πρὸς Ἑρμείαν καὶ Κόρισκον ἐπιστολῇ. Οὕτω δὲ ἔχει ἡ τοῦ Πλάτωνος λέξις· »Καὶ[2]) τὸν τῶν πάντων θεὸν, ἡγεμόνα τῶν τε ὄντων καὶ τῶν μελλόντων, τοῦ τε ἡγεμόνος[3]) καὶ αἰτίου πατέρα[4]) καὶ κύριον ἐπομνύντας· ὧν, ἂν ὄντως φιλοσοφῶμεν, εἰσόμεθα πάντες σαφῶς[5]) εἰς δύναμιν ἀνθρώπων εὐδαιμόνων.«

9. Καὶ ἄλλην δὲ τοῦ Πλάτωνος λέξιν ἐκτίθεται ὁ Κέλσος, οὕτως ἔχουσαν· »Ἔτι[6]) δὲ μακρότερα περὶ αὐτῶν ἐν νῷ μοι γέγονεν εἰπεῖν· τάχα γὰρ ἂν[7]) περὶ ὧν λέγω, σαφέστερον ἂν εἴη τι λεχθέντων αὐτῶν· ἔστι γάρ τις λόγος ἀληθὴς, ἐναντίος τῷ (281) τολμήσαντι γράφειν τῶν τοιούτων καὶ[8]) ὁττιοῦν,[9]) πολλάκις μὲν ὑπ' ἐμοῦ καὶ[10]) πρότερον λεχθείς, ἔοικε δ' οὖν εἶναι καὶ νῦν λεκτέος. Ἔστι τῶν ὄντων ἑκάστῳ, δι' ὧν τὴν

---

[1]) Aliquot Mss. λελεγμένον. R.

[2]) Vide Platonis epist. VI. ad Hermiam, Erastum et Coriscum pag. 323.

[3]) Hoeschel. in textu (edd. Spenc. ad marg.) ἡγεμονικοῦ, sicque omnes Mss. R.

[4]) Plato ex ed. Bekkeri: *πατέρα κύριον ἐπομνύντας.*

[5]) Abest σαφῶς ab omnibus Mss. R. — Edd. Spenc. ad marg. *πάντες εἰς δύναμιν κτλ.*

[6]) Vide Platon. epist. VII. ad Dionis propinquos et familiares pag. 341. et pag. 342.

[7]) Deest. ἄν in ed. Ruaei.

[8]) Hoeschel. in textu (edd. Spenc. ad marg.) uncis voc. ἄν appositis: ἂν ὁτιοῦν, pro quo dubitabat Guietus, an non legendum: ἓν ὁτιοῦν. R.

[9]) Edd. Spenc. et Ruaei: ὁττιοῦν, Plato ex rec. Bekkeri: ὁτιοῦν.

[10]) Sic Mss. et Hoeschel. in textu. R. — Edd. Spenc. in textu: καὶ πρόσθεν λεχθείς, ad marg. καὶ πρότερον λεχθείς. Plato ex ed. Bekkeri: καὶ πρόσθεν ῥηθείς.

ἐπιστήμην ἀνάγκη παραγίγνεσθαι, τρία· τέταρτον [1]) δὲ αὖτη· πέμπτον δ' αὐτὸ τιθέναι δεῖ, ὃ δὴ γνωστόν τε καὶ ἀληθές [2]) ἐστιν. Ὧν ἓν μέν, ὄνομα· δεύτερον δὲ, λόγος· τὸ δὲ τρίτον, εἴδωλον· τὸ [3]) τέταρτον δὲ, ἐπιστήμη.« Καὶ κατὰ ταῦτα δὲ εἴποιμεν ἄν, ὅτι »φωνὴ [4]) μὲν βοῶντος ἐν τῇ ἐρήμῳ« εἰσῆκται ὁ Ἰωάννης πρὸς [5]) τοῦ Ἰησοῦ, ἀνάλογον τῷ παρὰ Πλάτωνι ὀνόματι· δεύτερος δὲ μετὰ τὸν Ἰωάννην δεικνύμενος ὑπ' αὐτοῦ ὁ Ἰησοῦς, ᾧ ἐφαρμόζει τό· »ὁ [6]) λόγος σὰρξ ἐγένετο·« ἀνάλογον ὂν τῷ παρὰ Πλάτωνι λόγῳ. Πλάτων μὲν οὖν τὸ τρίτον φησὶν εἴδωλον· ἡμεῖς δὲ, τὸ ὄνομα τοῦ εἰδώλου ἐπ' ἄλλου τάττοντες, τρανότερον φήσομεν ἐν τῇ ψυχῇ γινόμενον μετὰ τὸν λόγον τῶν τραυμάτων τύπον, τοῦτον εἶναι τὸν [7]) ἐν ἑκάστῳ Χριστὸν, ἀπὸ Χριστοῦ λόγου. Εἰ δὲ καὶ ἀνάλογόν ἐστι τῷ τετάρτῳ ὄντι ἐπιστήμῃ, [8]) ἡ ἐν τοῖς καθ' ἡμᾶς τελείοις σοφία ὁ Χριστός· ἐπιστήσει ὁ δυνάμενος.

10. Εἶτά φησιν, ὅτι »ὁρᾷς, ὅπως Πλάτων, καί τοι διαβεβαιωσάμενος ὅτι ῥητὸν οὐκ ἔστιν· ὅμως, ἵνα μὴ εἰς ἀνεξέλεγκτον ἀναχωρεῖν δόξῃ, λογισμὸν ὑπέχει ταύτης τῆς ἀπορίας· εἴη γὰρ ἂν τυχὸν ῥητὸν [9]) καὶ τὸ μηδέν.« Ἀλλ' ἐπεὶ τοῦτο φέρει εἰς κατασκευὴν τοῦ δεῖν μὴ ἁπλῶς πιστεύειν, ἀλλὰ λογισμὸν ὑπέχειν τῶν πι-

---

[1]) Plato ex ed. Bekkeri: *τέταρτον δ' αὐτή.*

[2]) Hoeschel. in textu (edd. Spenc. ad marg.) et omnes Mss *ἀληθῶς ἐστιν ὄν· ἓν μὲν ὄνομα κιλ.*, sed libri editi Platonis, ut in nostro textu. R.

[3]) Deest *τό* in libris editis Platonis.

[4]) Cfr. Matth. III, 3. coll. Jesai. XL, 3.

[5]) Boherellus legit: *πρὸ τοῦ Ἰησοῦ.*

[6]) Ev. Joann. I, 14.

[7]) Deest *τόν* in edd. Spenc.

[8]) Dubitat Guietus, an legendum: *ἐπιστήμῃ*, in tertio casu. R.

[9]) Hoeschel. in notis: »Gelenius: *ἀῤῥητον.*«

στευομένων· χρησόμεθα καὶ ἡμεῖς τοῦ Παύλου λέξει, ἐγκαλούσῃ τῷ εἰκῇ πιστεύοντι, ἐν ᾗ φησιν· »ἐκτὸς [1]) εἰ μὴ εἰκῇ ἐπιστεύσατε.« Τὸ ὅσον δ' ἐπ' αὐτῷ, ἀναγκαζει ἡμᾶς ταυτολογεῖν ταυτολογῶν ὁ Κέλσος, λέγων μετὰ τὰς εἰρημένας ὥσπερ ἀλαζόνων ἀλαζονείας, ὅτι »ὁ Πλάτων οὐκ ἀλαζονεύεται καὶ ψεύδεται, φάσκων αὐτὸς καινόν τι εὑρίσκειν, ἢ ἀπ' οὐρανοῦ παρὼν ἀγγέλλειν· ἀλλ' ὁπόθεν ἐστὶ ταῦθ' ὁμολογεῖ.« [2]) Εἴποι ἄν τις ὅ.ν καὶ πρὸς ταῦτα, βουλόμενος ἀπαντᾶν τῷ Κέλσῳ, ὅτι καὶ Πλάτων ἀλαζονεύεται, ἐν τῇ τοῦ Διὸς κατὰ τὸν Τίμαιον δημηγορίᾳ λέγων· »Θεοὶ [3]) Θεῶν, ὧν ἐγὼ δημιουργὸς, [4]) καὶ πατὴρ,« καὶ τὰ ἑξῆς. Ἀλλ' εἰ ἀπολογήσεταί τις περὶ τούτων διὰ τὸν νοῦν τοῦ δημηγοροῦντος παρὰ τῷ Πλάτωνι Διός· διὰ τί ὁ ἐξετάζων τὸν νοῦν τῶν λόγων τοῦ υἱοῦ τοῦ θεοῦ, ἢ [5]) τῶν ἐν τοῖς προφήταις τοῦ δημιουργοῦ, οὐχὶ καὶ πλεῖόν τι ἐρεῖ, παρὰ τὴν ἐν τῷ Τιμαίῳ τοῦ Διὸς δημηγορίαν; Τὸ γὰρ χαρακτηρίζον τὴν θεότητα, ἡ περὶ μελλόντων ἐστὶν ἀπαγγελία, οὐ κατ' ἀνθρωπίνην φύσιν λεγομένων, καὶ ταῖς ἐκβάσεσι κρινομένων, ὅτι θεῖον πνεῦμα ἦν τὸ ταῦτα ἀπαγγέλλον. Οὐ πρὸς πάντα οὖν τὸν προσιόντα φαμὲν, ὅτι »πρῶτον πίστευσον, ὃν εἰσηγοῦμαί σοι, τοῦτον εἶναι υἱὸν θεοῦ·« ἀλλ' (282) ἑκάστῳ, κατὰ τὸ πρέπον αὐτοῦ τῷ ἤθει καὶ τῇ καταστάσει, προσάγομεν τὸν λόγον· »μαθόντες [6]) εἰδέναι, πῶς [7]) δεῖ ἡμᾶς ἑνὶ

---

[1]) 1 Cor. XV, 2.

[2]) Mss. ὁμολογεῖ. Hoeschel. et Spenc. ὁμολογεῖν. R.

[3]) Plato in Timaeo pag. 41.

[4]) Ed. Bekkeri: δημιουργὸς πατήρ τε ἔργων.

[5]) Edd. Spenc. ἢ τῶν ἐν τοῖς προφήταις δημιουργοῦ. Boherell. legi vult: ἢ τοῦ ἐν τοῖς κτλ.

[6]) Coloss. IV, 6.

[7]) Sic recte Mss. (itemq. Boherell. in notis.) Hoeschel. autem et Spencerus: πῶς δὴ ἡμᾶς ἑνὶ ἑκάστῳ ἀποκρίνασθαι. R.

ἑκάστῳ ἀποκρίνεσθαι.« Καί εἰσιν, οἷς πλεῖον μὴ δυναμένοις τοῦ προτραπῆναι εἰς τὸ πιστεύειν τοῦτο κηρύττομεν· ἄλλοις δὲ, ὅση δύναμις, ἀποδεικτικῶς δι' ἐρωτήσεων καὶ ἀποκρίσεων προσερχόμεθα. Ἀλλ' οὐδὲ λέγομεν τὸ μετὰ χλεύης ὑπὸ τοῦ Κέλσου εἰρημένον, ὅτι »πίστευσον, ὃν εἰσηγοῦμαί σοι, τοῦτον εἶναι υἱὸν θεοῦ, κἂν ᾖ δεδεμένος ἀτιμότατα, ἢ κεκολασμένος αἴσχιστα, κἂν χθὲς καὶ πρώην ἐν τοῖς πάντων ὀφθαλμοῖς ἐπονειδιστότατα κεκαλινδημένος·« οὐδέ φαμεν· »ταύτῃ καὶ μᾶλλον πίστευσον.« Εἰς ἕκαστον γὰρ πειρώμεθα λέγειν, καὶ πλείονα ὧν ἐν τοῖς ἀνωτέρω ἐξεθέμεθα.

11. Μετὰ ταῦτά φησιν ὁ Κέλσος· »ὅτι ἐὰν οὕδε μὲν, (λέγων Χριστιανοὺς,) εἰσηγῶνται τόνδε, ἄλλοι δὲ ἄλλον· κοινὸν δὲ πάντων [1]) ἢ καὶ πρόχειρον· πίστευσον, εἰ σωθῆναι θέλεις, ἢ ἄπιθι· τί ποιήσουσιν οἱ ἀληθῶς σώζεσθαι θέλοντες; Ἢ κύβους ἀναῤῥίψαντες μαντεύσονται, ποῖ τράπωνται, καὶ τίσι προσθῶνται;« Καὶ πρὸς τοῦτο δὲ ἀπὸ τῆς ἐναργείας [2]) ὁρμώμενοι ταῦτα φήσομεν· Εἰ μὲν πλείους ἦσαν, ὁμοίως τῷ Ἰησοῦ ἱστορούμενοι τῷ βίῳ τῶν ἀνθρώπων ἐπιδεδημηκέναι, ὡς υἱοὶ θεοῦ· καὶ ἕκαστος αὐτῶν περισπάσας [3]) τινὰς εἰς αὑτὸν, ὥστ' ἀμφήριστον εἶναι, διὰ τὴν ὁμοιότητα τῆς ἐπαγγελίας περὶ τοῦ υἱὸν εἶναι θεοῦ, τὸν ὑπὸ τῶν πιστευόντων αὐτῷ μαρτυρούμενον· χώραν ἂν εἶχε τό· »ἐὰν οὕδε μὲν εἰσηγῶνται τόνδε, ἄλλοι δὲ ἄλλον· καὶ κοινὸν δὲ πάντων [4]) ἢ καὶ πρόχειρον· πίστευσον, εἰ σωθῆναι θέλεις, ἢ ἄπιθι,« καὶ τὰ ἑξῆς. Νυνὶ δὲ εἰς

[1]) Boherell. in notis: »Lego: *πάντων ἢ καὶ πρόχειρον.*«

[2]) Hoeschel. in textu, edd. Spenc. ad marg. *ἐνεργείας.*

[3]) Boherellus in notis: »Melius forte: *περιέσπασε.*«

[4]) Boherell. in notis: »Lego: *πάντων ἢ καὶ πρόχειρον.*« Cfr. pag. huj. not. 1.

πᾶσαν τὴν οἰκουμένην Ἰησοῦς κεκήρυκται, ἐπιδημήσας τῷ γένει τῶν ἀνθρώπων μόνος υἱὸς θεοῦ· οἱ γὰρ ὁμοίως Κέλσῳ ὑπολαβόντες τετερατεῦσθαι, [1]), καὶ διὰ τοῦτο βουληθέντες τερατεύσασθαι, ὡς καὶ αὐτοὶ παραπλησίως κρατήσοντες τῶν ἀνθρώπων, τὸ οὐδὲν εἶναι ἐξηλέγχθησαν· Σίμων [2]) τε ὁ Σαμαρεὺς μάγος, καὶ Λοσίθεος ὁ ἀπὸ τῆς αὐτῆς χώρας ἐκείνῳ τυγχάνων· ἐπεὶ ὁ μὲν ἔφασκεν αὐτὸν εἶναι δύναμιν [3]) θεοῦ, τὴν καλουμένην μεγάλην· ὁ δὲ, καὶ αὐτὸς υἱὸς τοῦ θεοῦ. Οὐδαμοῦ γὰρ τῆς οἰκουμένης Σιμωνιανοί· καί τοί γε ὑπὲρ τοῦ πλείονας ὑπαγαγέσθαι ὁ Σίμων τὸν περὶ τοῦ θανάτου κίνδυνον, ὃν Χριστιανοὶ αἱρεῖσθαι ἐδιδάχθησαν, περιεῖλε τῶν μαθητῶν, ἐναδιαφορεῖν αὐτοὺς διδάξας πρὸς [4]) τὴν εἰδωλολατρίαν. Ἀλλ' οὐδὲ τὴν ἀρχὴν Σιμωνιανοὶ ἐπεβουλεύθησαν. Ἤιδει γὰρ ὁ ἐπιβουλεύων δαίμων πονηρὸς τῇ τοῦ Ἰησοῦ διδασκαλίᾳ, οὐδὲν τῶν ἰδίων παραλυθησόμενον βούλημα ἐκ τῶν Σίμωνος μα-

---

[1]) Edd. Spenc. et Ruaei in textu: ὁμοίως τετερατεῦσθαι, ed. vero Ruaei, Boherello duce, in notis: »Dele istud ὁμοίως, natum ex altero ὁμοίως priori. Et forte aliud quid exciderit, verbi gratia: τὰ τοῦ Ἰησοῦ.«

[2]) De Simone, Simonianis, Dositheo, Dositheanis, et de Juda Galilaeo vide Orig. contra Cels. lib. I. num. 57.

[3]) Cfr. Act. VIII, 10.

[4]) Spenc. in notis: Irenaeus lib. I. cap. 23. num. 3. (ed. Paris. pag. 99. seq.) de Simone: »Prophetas autem a mundi fabricatoribus angelis inspiratos dixisse prophetias: quapropter nec ulterius curarent eos hi, qui in eum et in Helenam ejus spem habeant, et ut liberos agere quae velint: secundum enim ipsius gratiam salvari homines, sed non secundum operas justas. Nec enim esse naturaliter operationes justas, sed ex accidenti.« Eundem vide lib. I. cap. 24. de Saturnino, lib. I. cap. 1. de Valentinianis, lib. I. cap. 26. de Nicolaitis. Vide etiam Tertulliani Scorpiacon, et Hammondum in dissertat. I. cap. 3. de jure episcopatus adversus Blondellum.

ϑημάτων.[1]) Οἱ δὲ Λοσιϑηνοὶ[2]) οὐδὲ πρότερον ἤκμασαν· νῦν δὴ παντελῶς ἐπιλελοίπασιν, ὥστε τὸν ὅλον αὐτῶν ἱστορεῖσθαι ἀριθμὸν, οὐκ εἶναι ἐν τοῖς τριάκοντα. Καὶ Ἰούδας δὲ ὁ Γαλιλαῖος, ὡς ὁ Λουκᾶς ἐν ταῖς Πράξεσι τῶν ἀποστόλων ἔγραψεν,[3]) ἐβουλήθη ἑαυτόν τινα εἰπεῖν μέγαν, καὶ πρὸ ἐκείνου Θευδᾶς·[4]) ἀλλ' ἐπεὶ (283) οὐκ ἦν ἐκ ϑεοῦ αὐτῶν ἡ διδαχὴ, ἀνηρέθησαν,[5]) καὶ πάντες, ὅσοι ἐπείϑοντο αὐτοῖς, παραχρῆμα διεσκεδάσϑησαν. Οὐ »κύβους[6]) οὖν ἀναρριπτοῦντες μαντευόμεϑα, ποῖ τραπώμεϑα, καὶ τίνι προσϑώμεϑα,« ὡς δυναμένων πλειόνων περισπᾶσαι ἡμᾶς τῇ ἐπαγγελίᾳ τοῦ ϑεόϑεν ἐπιδεδημηκέναι τῷ γένει τῶν ἀνϑρώπων. Ἀλλὰ γὰρ καὶ περὶ τούτων ἅλις.

12. Λοὺ μεταβαίνωμεν[7]) ἐπ' ἄλλην Κέλσου κατηγορίαν, οὐδὲ τὰς λέξεις ἡμῶν εἰδότος, ἀλλ' ἐκ παρακουσματίων φήσαντος· »ὅτι φαμὲν τὴν ἐν ἀνϑρώποις σοφίαν μωρίαν εἶναι παρὰ ϑεῷ·« τοῦ Παύλου λέγοντος· »ἡ[8]) σοφία τοῦ κόσμου μωρία παρὰ ϑεῷ ἐστι.« Καί φησιν ὁ Κέλσος, ὅτι »ἡ τοιοῦτου αἰτία καὶ πάλαι εἴρηται.« Οἴεται δὲ[9]) αἰτίαν εἶναι »τὸ βούλεσθαι ἡμᾶς διὰ τῆς λέξεως ταύτης τοὺς ἀπαιδεύτους καὶ ἠλιθίους προσάγεσθαι[10]) μόνους.« Ἀλλ', ὡς καὶ αὐτὸς ἐσημει-

---

[1]) Sic Codd. Regius, Basileensis, Anglicanus secundus et Vaticanus (itemq. edd. Spenc. ad marg.) Libri editi (v. c. edd. Spenc) in textu: *μαϑητῶν*. R.

[2]) Epiphan. *Λοσίϑεοι*, Theodoret. *Λοσιϑιανοί*.

[3]) Cfr. Act. V, 37. [4]) Cfr. Act. V, 36.

[5]) Cfr. Act. V, 36. 37.

[6]) Cfr. num. huj. initium.

[7]) Sic Codd. Reg. et Basileensis. Libri editi (v. c. edd. Spenc.) *μεταβαίνομεν*. R.

[8]) Cfr. 1 Cor. III, 19.

[9]) Edd. Spenc. in textu: *δὴ αἰτίαν*, ad marg. vero: *δὲ αἰτίαν*.

[10]) Codd. Reg. et Basil. *ἐπάγεσθαι*.

ὡσατο, ταὐτὸ εἶπεν ἀνωτέρω· καὶ ἡμεῖς πρὸς τὸν λόγον, κατὰ τὸ δυνατὸν ἡμῖν, ἀπηντήσαμεν. Ὅμως μέν τοι ἐβουλήθη καὶ τοῦτο δεῖξαι πεπλασμένον ἡμῖν, καὶ ληφθὲν ἀπὸ τῶν παρ' Ἕλλησι σοφῶν, ἄλλην μὲν εἶναι φησάντων τὴν ἀνθρωπίνην σοφίαν, ἄλλην δὲ τὴν θείαν. Καὶ ἐκτίθεταί γε Ἡρακλείτου λέξεις· μίαν μέν, ἐν ᾗ φησιν· »ἦθος γὰρ ἀνθρώπειον μὲν οὐκ ἔχει γνώμας, θεῖον δὲ ἔχει·« ἑτέραν δέ· »ἀνὴρ νήπιος ἤκουσε πρὸς δαίμονος, ὅκως περ παῖς πρὸς ἀνδρός.« Ἐκτίθεται δὲ καὶ ἀπὸ τῆς Πλάτωνος γεγραμμένης Σωκράτους ἀπολογίας ταῦτα· »ἐγὼ [1]) γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, δι' [2]) οὐδὲν ἄλλο, ἢ διὰ σοφίαν, τοῦτο τὸ ὄνομα ἔσχηκα. Ποίαν [3]) δὲ σοφίαν ταύτην; Ἥπερ ἐστὶν ἴσως ἀνθρωπίνη σοφία· τῷ ὄντι γὰρ κινδυνεύω ταύτην εἶναι σοφός.« Ἃ μὲν οὖν ἐκτίθεται ὁ Κέλσος ταῦτά ἐστιν. Ἐγὼ δὲ ἀπὸ τῆς πρὸς Ἑρμείαν, καὶ Ἔραστον, καὶ Κορίσκον Πλάτωνος ἐπιστολῆς καὶ ταῦτα παραθήσομαι· »Ἐράστῳ [4]) δὲ καὶ Κορίσκῳ, πρὸς τῇ τῶν εἰδῶν [5]) σοφίᾳ τῇ καλῇ ταύτῃ [6]) φημὶ ἐγὼ, καί περ γέρων ὤν, προσδεῖν σοφίας τῆς περὶ τοὺς πονηροὺς καὶ ἀδίκους φυλακτικῆς καί τινος ἀμυντικῆς δυνάμεως. Ἄπειροι γάρ εἰσι, διὰ τὸ μεθ' ἡμῶν [7]) μετρίων ὄντων, καὶ οὐ κακῶν, συχνὸν διατετριφέναι τοῦ βίου. Διὸ δὴ τούτων προσδεῖν εἶπον, ἵνα μὴ ἀναγκάζωνται τῆς ἀληθινῆς μὲν

---

[1]) Cfr. Plato in Apologia Socratis pag. 20.

[2]) Ed. Bekkeri: *δι' οὐδὲν ἀλλ' ἢ διὰ σοφίαν τινὰ τοῦτο κτλ.*

[3]) Ed. Bekkeri: *Ποίαν δὴ σοφίαν.*

[4]) Cfr. Platon. ep. VI. pag. 322.

[5]) Hoeschel. in textu (edd. Spenc. ad marg.) *εἰδώλων*, sicque duo Codd. Anglicani. R.

[6]) Ed. Bekkeri: *ταύτῃ φήμ' ἐγώ.*

[7]) Omnes Mss. (itemq. edd. Spenc. ad marg.) *ἡμῶν.* Spenc. in textu: *ὑμῶν.* R.

ἀμελεῖν σοφίας, τῆς[1]) δ' ἀνθρωπίνης τε καὶ ἀναγκαίας ἐπιμελεῖσθαι μειζόνως[2]) ἢ δεῖ.«

13. Οὐκοῦν κατὰ ταῦτα ἡ μέν τις θεία σοφία ἐστὶν, ἡ δὲ ἀνθρωπίνη. Καὶ ἡ μὲν ἀνθρωπίνη ἐστὶν ἡ καθ' ἡμᾶς λεγομένη σοφία τοῦ κόσμου, ἥτις ἐστὶ »μωρία[3]) παρὰ τῷ θεῷ·« ἡ δὲ θεία, καὶ ἑτέρα παρὰ τὴν ἀνθρωπίνην, εἴπερ ἐστὶ θεία, χάριτι θεοῦ θωρουμένου[4]) αὐτὴν τοῖς ἑαυτοὺς ἐπιτηδείους πρὸς παραδοχὴν αὐτῆς κατασκευάσασι παραγίνεται· καὶ μάλιστα τοῖς ἐκ τοῦ ἐγνωκέναι τὴν διαφορὰν ἑκατέρας σοφίας πρὸς τὴν ἑτέραν ἐν ταῖς πρὸς θεὸν εὐχαῖς λέγουσι· »κἂν[5]) γάρ τις τέλειος (284) ἐν υἱοῖς ἀνθρώπων, τῆς ἀπὸ σοῦ σοφίας ἀπούσης, εἰς οὐδὲν λογισθήσεται.« Καὶ γυμνάσιον μέν φαμεν εἶναι τῆς ψυχῆς τὴν ἀνθρωπίνην σοφίαν, τέλος δὲ τὴν θείαν· ἥτις καὶ στερεὰ λέγεται τῆς ψυχῆς εἶναι τροφὴ, παρὰ τῷ φήσαντι· »τελείων[6]) δέ ἐστιν ἡ στερεὰ τροφὴ, τῶν διὰ τὴν ἕξιν τὰ αἰσθητήρια γεγυμνασμένα ἐχόντων πρὸς διάκρισιν καλοῦ τε καὶ κακοῦ.« Καὶ ἀρχαία μὲν ἀληθῶς ἐστιν ἥδε ἡ δόξα, οὐχ, ὡς οἴεται δὲ ὁ Κέλσος, τῆς περὶ αὐτῶν ἀρχαιότητος εἰς Ἡράκλειτον καὶ Πλάτωνα ἀναφερομένης. Ἀνωτέρω γὰρ τούτων οἱ προφῆται διέστειλαν τὸ περὶ ἑκατέρας σοφίας· ἀρκεῖ δ' ἐπὶ τοῦ παρόντος εἰπεῖν ἀπὸ τῶν λόγων τοῦ Δαυὶδ τὸ περὶ τοῦ κατὰ θείαν σοφίαν σοφοῦ λεγόμενον· »ὅτι[7]) οὐκ ὄψεται καταφθορὰν, φησὶν, ὅταν ἴδῃ σοφοὺς ἀποθνήσκοντας.« Ἡ θεία τοίνυν

---

[1]) Ed. Bekkeri: τῆς δὲ ἀνθρωπίνης κτλ.

[2]) Hoeschel. in textu, edd. Spenc. ad marg. μειζόνως ἤδη. [3]) Cfr. I Cor. III, 19.

[4]) Libri editi (v. c. edd. Spenc.) in margine: δωρουμένη. R. [5]) Sap. Sal. IX, 6.

[6]) Hebr. V, 14.

[7]) Sic Codd. Reg. et Basileensis. Libri editi (v. c. edd. Spenc.) ὅστις οὐκ ὄψεται. R. — Cfr. Psalm. XLIX, 9. 10. (XLVIII.)

σοφία, ἑτέρα οὖσα τῆς πίστεως, πρώτον ἐστι τῶν καλουμένων χαρισμάτων τοῦ θεοῦ· καὶ μετ' ἐκείνην δεύτερον, τοῖς ἀκριβοῦν τὰ τοιαῦτα ἐπισταμένοις, ἡ καλουμένη γνῶσις· καὶ τρίτον, ἐπεὶ σώζεσθαι χρὴ καὶ τοὺς ἁπλουστέρους, προσιόντας κατὰ δύναμιν τῇ θεοσεβείᾳ, ἡ πίστις. Διὸ λέγεται παρὰ τῷ Παύλῳ· »ᾧ [1]) μὲν γὰρ διὰ τοῦ πνεύματος δίδοται λόγος σοφίας, ἄλλῳ δὲ λόγος γνώσεως κατὰ τὸ αὐτὸ πνεῦμα· ἑτέρῳ δὲ πίστις ἐν τῷ αὐτῷ πνεύματι.« Διόπερ οὐ τοὺς τυχόντας εὕροις ἂν μετειληφότας τῆς θείας σοφίας, ἀλλὰ τοὺς ὑπερέχοντας καὶ διαφέροντας πάντων τῶν Χριστιανισμῷ προσεχόντων· οὐδὲ τοῖς νηπαιδευτοτάτοις, ἢ ἀνδραπόδοις, ἢ ἀμαθεστάτοις,« διέξεισί τις τὰ περὶ τῆς θείας σοφίας.

14. Καί τοί γε ἄλλους μέν φησιν ἀπαιδευτοτάτους εἶναι, καὶ ἀνδράποδα, καὶ ἀμαθεστάτους ὁ Κέλσος, τοὺς μὴ ἐπισταμένους αὐτοῦ, [2]) οἶμαι, τὰ προστάγματα, μηδὲ παιδευθέντας τὰ τῶν [3]) Ἑλλήνων μαθήματα· ἡμεῖς δὲ ἀπαιδευτοτάτους φαμὲν τοὺς μὴ αἰσχυνομένους ἐν τῷ τοῖς ἀψύχοις προσλαλεῖν, καὶ περὶ μὲν ὑγείας τὸ ἀσθενὲς ἐπικαλουμένους, περὶ δὲ ζωῆς τὸ νεκρὸν ἀξιοῦντας, περὶ δὲ ἐπικουρίας τὸ [4]) ἀπορώτατον ἱκετεύοντας. Κἂν τινες δὲ μὴ ταῦτά φασιν εἶναι τοὺς θεούς, ἀλλὰ [5]) μιμήματα θεῶν ἀληθινῶν κἀκείνων σύμβολα· οὐδὲν ἧτ-

---

[1]) I Cor. XII, 8. 9.

[2]) Ita Cod. Basil., cujus lectio videtur praeferenda vulgatae (v. c. edd. Spenc.) αὐτοῦ τὰ πράγματα, μηδέ κτλ. R. [3]) Deest τῶν in edd. Spenc.

[4]) Quatuor Mss., Reg., Basil., Vatican. et Anglican. secundus: τὸ ἀπειρότατον ἱκετεύοντας. R.

[5]) Edd. Spenc. et Ruaei in textu: ἀλλὰ μιμημάτων ἀληθινῶν κἀκείνων κτλ., ed. vero Ruaei in notis: »Lege cum Boherello: ἀλλὰ μιμήματα τῶν ἀληθινῶν κἀκείνων, vel: ἀλλὰ μιμήματα θεῶν ἀληθινῶν κἀκείνων.«

τον καὶ οὗτοι, ἐν βαναύσων χερσὶ τὰ μιμήματα τῆς θειότητος φανταζόμενοι εἶναι, ἀπαίδευτοί εἰσι, καὶ ἀνδράποδα, καὶ ἀμαθεῖς· ὡς τοὺς ἐσχάτους τῶν ἐν ἡμῖν ἀπηλλάχθαι ταύτης τῆς ἀπαιδευσίας, καὶ τῆς ἀμαθίας· καὶ φρονιμωτάτοις δὲ τὴν θείαν ἐλπίδα νοεῖσθαι καὶ καταλαμβάνεσθαι, φαμέν. Οὐ[1]) λέγομεν δὲ καὶ οὐχ οἷόν τ' εἶναι, μὴ ἐγγυμνασάμενον τῇ ἀνθρωπίνῃ σοφίᾳ χωρεῖν τὴν θειοτέραν· καὶ μωρίαν πᾶσαν τὴν ἀνθρωπίνην σοφίαν, ὡς πρὸς τὴν θείαν, ὁμολογοῦμεν. Εἶτα δέον αὐτὸν ἀγωνίζεσθαι περὶ τοῦ λόγου, ὁ δὲ »γόητας ἡμᾶς« καλεῖ, καί φησιν, ὅτι »φεύγομεν τοὺς χαριεστέρους προτροπάδην, ὡς οὐχ ἑτοίμους ἀπατᾶσθαι· παλεύομεν δὲ τοὺς ἀγροικοτέρους.« Οὐ γὰρ εἶδεν[2]) (285) ἄνωθεν καὶ ἐξ ἀρχῆς καὶ τοῖς ἔξωθεν μαθήμασι πεπαιδευμένους τοὺς παρ' ἡμῖν σοφοὺς, Μωϋσέα[3]) μὲν πάσῃ Αἰγυπτίων σοφίᾳ· Δανιὴλ[4]) δὲ, καὶ Ἀνανίαν, καὶ Ἀζαρίαν, καὶ Μισαὴλ πᾶσι τοῖς Ἀσσυρίων γράμμασιν, ὥστ' αὐτοὺς εὑρεθῆναι πάντων τῶν ἐκεῖ σοφῶν δεκαπλασίους. Καὶ νῦν δὲ αἱ ἐκκλησίαι ἔχουσι μὲν ἀνάλογον τοῖς πλήθεσιν ὀλίγους σοφοὺς προσελθόντας, καὶ ἀπὸ τῆς καλουμένης παρ' ἡμῖν κατὰ σάρκα[5]) σοφίας· ἔχουσι δὲ καὶ τοὺς διαβεβηκότας ἀπ' ἐκείνης ἐπὶ τὴν θείαν σοφίαν.

15. Εἶτα μετὰ ταῦτα ὁ Κέλσος, ὡς περιηχηθεὶς τὰ περὶ ταπεινοφροσύνης, καὶ μὴ ἐπιμελῶς αὐτὴν νοήσας, βούλεται μὲν τὴν παρ' ἡμῖν κακολογεῖν· οἴεται δ' αὐτὴν παράκουσμα εἶναι τῶν Πλάτωνος λόγων, ὃς φησί που ἐν τοῖς νόμοις· »Ὁ[6]) μὲν δὴ θεὸς, ὥσπερ καὶ ὁ

[1]) Quatuor Codd. Mss. non agnoscunt partic. negativ. οὐ. R.

[2]) Libri editi (v. c. edd. Spenc.) in marg. οἶδεν. R.

[3]) Cfr. Act. VII, 22.

[4]) Cfr. Dan. I, 4. 17. 19. 20.

[5]) Cfr. I Cor. I, 26.

[6]) Vide Platonem lib. IV. de Legibus pag. 715. seq.

παλαιὸς λόγος, ἀρχήν τε καὶ τελευτὴν καὶ μέσα τῶν ὄντων ἁπάντων ἔχων, εὐθείᾳ [1]) περαίνει κατὰ φύσιν παραπορευόμενος. [2]) Τῷ δ' ἀεὶ ξυνέπεται δίκη τῶν ἀπολελειμμένων [3]) τοῦ θείου νόμου τιμωρός· ἧς ὁ μὲν εὐδαιμονήσειν μέλλων ἐχόμενος ξυνέπεται ταπεινὸς καὶ κεκοσμημένος·« οὐχ ὁρῶν, ὅτι παρὰ τοῖς πολὺ Πλάτωνος ἀρχαιοτέροις λέλεκται ἐν εὐχῇ, τό· »κύριε, [4]) οὐχ ὑψώθη ἡ καρδία μου, οὐδ' ἐμετεωρίσθησαν οἱ ὀφθαλμοί μου· οὐδὲ ἐπορεύθην ἐν μεγάλοις, οὐδὲ ἐν θαυμασίοις ὑπὲρ ἐμέ· εἰ μὴ ἐταπεινοφρόνουν.« Ἅμα δὲ δηλοῦται διὰ τούτων, ὅτι οὐ πάντως ὁ ταπεινοφρονῶν ἀσχημόνως καὶ ἀπαισίως ταπεινοῦται, χαμαιπετὴς ἐπὶ τῶν γονάτων καὶ πρηνὴς ἐρριμμένος, ἐσθῆτα δυστήνων ἀμφισκόμενος, καὶ κόνιν ἐπαμώμενος. Ὁ γὰρ κατὰ τὸν προφήτην ταπεινοφρονῶν, πορευόμενος ἐν μεγάλοις καὶ θαυμασίοις, τοῖς ὑπὲρ αὐτὸν, τοῖς ἀληθῶς μεγάλοις δόγμασι καὶ τοῖς θαυμασίοις νοήμασι, ταπεινοῖ ἑαυτὸν ὑπὸ τὴν κραταιὰν [5]) χεῖρα τοῦ θεοῦ. Εἰ δέ τινες, διὰ τὴν ἰδιωτείαν [6]) μὴ τρανώσαντες τὸ περὶ τῆς ταπεινοφροσύνης δόγμα, τοιαῦτα ποιοῦσιν· οὐ τὸν λόγον αἰτιατέον, ἀλλὰ τῇ ἰδιωτείᾳ [7]) τῶν προθεμένων μὲν τὰ κρείττονα, διὰ δὲ τὸν ἰδιωτισμὸν [8]) ἀποτυγχανόν-

---

[1]) Sic Hoeschel. in textu (itemq. edd. Spenc. ad marg.) Codd. Reg. et Basil. εὐθέα. R. — Edd. Spenc. in textu: εὐθεῖαν.

[2]) Ed. Bekkeri, itemq. edd. Spenc. in textu: περιπορευόμενος, ad marg. vero edd. Spenc. παραπορευόμενος.

[3]) Edd. Spenc. in textu, itemq. ed. Bekkeri: ἀπολειπομένων. Edd. vero Spenc. ad marg. ἀπολελειμμένων.

[4]) Cfr. Psalm. CXXXI, 1. 2. (CXXX.)

[5]) Cfr. Petr. V, 6.

[6]) Sic recte Codd. Reg. et Basil. Libri autem editi (v. c. edd. Spenc.) ἰδιότητα. R. — Boherellus: »Rarum in hoc significatu, et per o scriptum: ἰδιότητα. Mox dicet usitatius ἰδιωτείᾳ, et ἰδιωτισμόν.«

[7]) Cfr. pag. huj. not. 6. [8]) Cfr. pag. huj. not. 6.

των, συγγνωστέον. Μᾶλλον γὰρ τοῦ κατὰ Πλάτωνα ταπεινοῦ καὶ κεκοσμημένου ταπεινὸς καὶ κεκοσμημένος ἐστὶν, ὁ κεκοσμημένος μὲν διὰ τὸ πορεύεσθαι [1]) ἐν μεγάλοις καὶ θαυμασίοις ὑπὲρ αὐτόν· ταπεινὸς δὲ, ἐπεὶ καὶ ἐν τούτοις ὢν, ταπεινοῦται ἑκών· οὐχ ὑπὸ τὸν τυχόντα, ἀλλ' »ὑπὸ [2]) τὴν κραταιὰν χεῖρα τοῦ θεοῦ,« διὰ τοῦ διδασκάλου τῶν τοιούτων μαθημάτων [3]) Ἰησοῦ· »ὃς [4]) οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών· καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, ἐταπείνωσεν ἑαυτὸν, γενόμενος ὑπήκοος μέχρι (286) θανάτου, θανάτου δὲ σταυροῦ.« Καὶ οὕτω μέγα δόγμα τὸ περὶ ταπεινοφροσύνης ἐστὶν, ὡς μὴ τὸν τυχόντα διδάσκαλον ἔχειν περὶ αὐτοῦ, ἀλλ' αὐτὸν λέγειν τὸν τηλικοῦτον ἡμῶν σωτῆρα· »μάθετε [5]) ἀπ' ἐμοῦ, ὅτι πρᾷός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν.«

16. Μετὰ ταῦτα τὴν κατὰ τῶν πλουσίων ἀπόφασιν τοῦ Ἰησοῦ εἰπόντος· »εὐκοπώτερον [6]) κάμηλον εἰσελθεῖν διὰ τρυπήματος [7]) ῥαφίδος, ἢ πλούσιον εἰς τὴν βασιλείαν τοῦ θεοῦ·« φησὶν »ἄντικρυς ἀπὸ Πλάτωνος εἰρῆσθαι, τοῦ Ἰησοῦ παραφθείραντος [8]) τὸ Πλατωνικὸν, ἐν οἷς εἶπεν ὁ Πλάτων· ὅτι ἀγαθὸν [9]) ὄντα διαφερόντως, [10]) καὶ πλούσιον εἶναι διαφερόντως, ἀδύνατον.«

---

[1]) Cfr. Psalm. CXXXI, 1. (CXXX.)

[2]) Cfr. I Petr. V, 6.

[3]) Sic Codd. Reg. et Basil. Libri editi (v. c. edd. Spenc.) μαθητῶν. R.

[4]) Cfr. Philipp. II, 6—8.

[5]) Cfr. Matth. XI, 29. [6]) Cfr. Matth. XIX, 24.

[7]) Codd. Vatican. et Anglican. primus: τρύματος. R.

[8]) Sic Cod. Regius. Libri editi (v. c. edd. Spenc.) παραφθείροντος. R.

[9]) Vide Platon. lib. V. de Legibus pag. 743.

[10]) Hoeschel. in textu, (edd. Spenc. ad marg.) διαφόρως, sicque Mss. R.

Τίς δ' οὐκ ἂν, καὶ μετρίως ἐφιστάνειν τοῖς πράγμασι δυνάμενος, τὸν Κέλσον γελάσαι, οὐ τῶν πιστευόντων τῷ Ἰησοῦ μόνον, ἀλλὰ καὶ τῶν λοιπῶν ἀνθρώπων, ἀκούων ὅτι Ἰησοῦς ὁ παρὰ Ἰουδαίοις γεγεννημένος καὶ ἀνατεθραμμένος, καὶ Ἰωσὴφ τοῦ τέκτονος[1] *νομισθεὶς εἶναι υἱὸς, καὶ μηδὲ γράμματα μεμαθηκὼς, οὐ μόνον τὰ Ἑλλήνων, ἀλλ' οὐδὲ τὰ Ἑβραίων, ὅπερ καὶ αἱ φιλαλήθεις μαρτυροῦσι γραφαὶ*[2] *τῶν περὶ αὐτὸν, ἀνέγνω Πλάτωνα· καὶ ἀρεσθεὶς τῇ περὶ τῶν πλουσίων ἀποφαινομένῃ αὐτοῦ λέξει, ὡς »ἀδύνατόν*[3] *ἐστιν ἀγαθὸν εἶναι διαφερόντως καὶ πλούσιον,« παρέφθειρεν αὐτὴν, καὶ πεποίηκε τό· »εὐκοπώτερον*[4] *κάμηλον διὰ τρυπήματος ῥαφίδος εἰσελθεῖν, ἢ πλούσιον εἰς τὴν βασιλείαν τοῦ Θεοῦ;« Εἰ*[5] *δὲ μὴ μετὰ τοῦ μισεῖν καὶ ἀπεχθάνεσθαι ἐντυχὼν τοῖς εὐαγγελίοις, φιλαλήθης ἦν ὁ Κέλσος, ἐπέστησεν ἄν, τί δή ποτε παρελήφθη κάμηλος, τὸ*[6] *τῶν ζώων ὅσον ἐπὶ τῇ κατασκευῇ σκολιὸν, παραβαλλόμενον τῷ πλουσίῳ· καὶ τί αὐτῷ ἐβούλετο ἡ στενὴ τῆς ῥαφίδος τρυμαλία, στενὴν*[7] *φάσκοντι εἶναι καὶ τεθλιμμένην τὴν*[8] *ὁδὸν τὴν ἀπάγουσαν εἰς τὴν ζωήν· καὶ τὸ, κατὰ τὸν νόμον*[9] *δὲ ἀκάθαρτον τὸ ζῶον ἀναγεγράφθαι τοῦτο, ἔχον μέν τι ἀπόδεκτον, τὸ μηρυ-*

---

[1]) Cfr. Matth. XIII, 55. coll. Marc. VI, 3.

[2]) Cfr. Matth. XIII, 54. sqq. coll. Marc. VI, 2. ev. Joann. VII, 15.

[3]) Cfr. Plato lib. V. de Legibus pag. 743.

[4]) Cfr. Matth. XIX, 24.

[5]) Ruaeus, Boherello duce, in notis: »Melius forte legatur: *Εἰ δὲ κἂν μετὰ τοῦ μισεῖν.*«

[6]) Guietus legit: *τὸ ζῶον ὅσον*. R.

[7]) Cfr. Matth. VII, 14.

[8]) In edd. Spenc. uncis inclusa leguntur verba: *τὴν ὁδόν*.

[9]) Cfr. Levit. XI, 4.

κᾶσθαι, ἔχον δὲ καὶ ψεκτὸν, τὸ [1]) μὴ διχηλεῖν. Ἐξήτασεν ἂν καὶ ὁσάκις ἐν ταῖς θείαις παρελήφθη κάμηλος γραφαῖς, καὶ ἐπὶ τίνων· ἵνα θεωρήσῃ τὸ περὶ τῶν πλουσίων τοῦ λόγου βούλημα. [2]) Οὐκ εἴασεν ἂν ἀβασάνιστον, καὶ τὸ μακαρίζεσθαι μὲν τοὺς πτωχοὺς ὑπὸ τοῦ Ἰησοῦ, [3]) ταλανίζεσθαι δὲ τοὺς πλουσίους· πότερον ἐπὶ τῶν αἰσθητῶν αὐτῷ ταῦτα [4]) πτωχῶν καὶ πλουσίων, ἢ οἷδέ τινα πτωχείαν πάντως μακαριζομένην ὁ λόγος, καὶ πλοῦτον πάντως ψεκτόν. Οὐκ ἂν γὰρ οὐδ' ὁ τυχὼν ἀκρίτως τοὺς πτωχοὺς ἐπήνεσεν, ὧν οἱ πολλοὶ καὶ φαυλότατοί εἰσι τὰ ἤθη. Ἀλλὰ ταῦτα μὲν ταύτῃ.

17. Ἐπεὶ δ' ἐξῆς ἐξευτελίσαι βουλόμενος τὰ περὶ βασιλείας θεοῦ γεγραμμένα παρ' ἡμῖν, τούτων μὲν οὐδὲν παρέθετο, ὡς οὐδὲ τῆς παρ' αὐτῷ ἄξιον ἀναγραφῆς· τάχα ἐπεὶ μηδὲ ἤδει αὐτά· Πλάτωνος δὲ λέξεις ἐκτίθεται ἀπό τε τῶν ἐπιστολῶν, καὶ τοῦ Φαίδρου, ὡς τούτων μὲν ἐνθέως εἰρημένων, οὐδὲν δὲ τοιοῦτον ἐχόντων τῶν (287) ἡμετέρων γραμμάτων· φέρε, ὀλίγα παραβάλλωμεν, παραθέσεως ἕνεκεν τῆς πρὸς τὰ Πλάτωνι οὐκ ἀπιθάνως μὲν εἰρημένα, οὐ μὴν καὶ διαθέντα τὸν φιλόσοφον ἀξίως [5]) κἂν αὐτῷ ἀναστραφῆναι ἐν τῇ πρὸς τὸν ποιητὴν τῶν ὅλων εὐσεβείᾳ· ἣν ἐχρῆν μὴ νοθεύειν, μηδὲ μιαίνειν τῇ, ὡς ἡμεῖς ὀνομάζομεν, εἰδωλολα-

---

[1]) Edd. Spenc. perperam: τὸ μὴ διχηλεῖν, ἐξήτασεν ἂν· καὶ ὁσάκις κτλ.

[2]) Edd. Spenc. perperam: βούλημα· οὐκ εἴασεν ἂν ἀβασάνιστον. Καὶ τό κτλ. Jam Boherell. vero: »Dele punctum ante καί.«

[3]) Cfr. Matth. V, 3.

[4]) Post ταῦτα videtur deesse: εἴρηται, vel quid simile. R.

[5]) Guieto scribendum videtur: ἀξίως καὶ αὐτόν, vel ἄξιον καὶ αὐτόν. R. — Cfr. Tertull. Apolog. cap. 46., Athen. lib. XI. cap. 15., Tertull. de anima cap. 54., Plato in Sympos., in Phaedro pag. 249., Athen. lib. XIII. cap. 6. (Spencer)

τρείᾳ,[1]) ὡς δὲ καὶ οἱ πολλοὶ λέγοιεν ἂν χρώμενοι τῷ ὀνόματι, καὶ τῇ δεισιδαιμονίᾳ. Τρόπῳ δή Ἑβραϊκῷ τινι λέγεται περὶ τοῦ θεοῦ ἐν ἑπτακαιδεκάτῳ ψαλμῷ, ὅτι »ἔθετο[2]) σκότος ἀποκρυφὴν ὁ θεός·« ἵνα δηλωθῇ, ὅτι ἀφανῆ καὶ ἄγνωστά ἐστι τὰ κατ' ἀξίαν νοηθέντα ἂν περὶ τοῦ θεοῦ, ἀποκρύψαντος[3]) ἑαυτὸν οἱονεὶ ἐν σκότῳ, τοῖς μὴ φέρουσι τὰς τῆς γνώσεως αὐτοῦ μαρμαρυγάς, μηδὲ δυναμένοις αὐτὸν ὁρᾶν· πὴ μὲν διὰ τὸ μιασμὸν τοῦ νοῦ, σώματι ταπεινώσεως ἀνθρώπων ἐνδεδεμένου, πὴ δὲ διὰ τὴν βραχυτέραν δύναμιν αὐτοῦ τῆς κατανοήσεως τοῦ θεοῦ. Ἵνα δὲ δηλωθῇ τὸ σπανίως εἰς ἀνθρώπους φθάνον, καὶ ἐν πάνυ ὀλίγοις εὑρισκόμενον τῆς γνώσεως τοῦ θεοῦ· Μωϋσῆς ἀναγέγραπται[4]) εἰσεληλυθέναι εἰς τὸν γνόφον, ὅπου ἦν ὁ θεός. Καὶ περὶ Μωϋσέως πάλιν· »ἐγγιεῖ[5]) Μωϋσῆς μόνος πρὸς τὸν θεὸν, οἱ δὲ λοιποὶ οὐκ ἐγγιοῦσι.« Πάλιν τε αὖ, ἵνα τὸ βάθος παραστήσῃ ὁ προφήτης τῶν περὶ θεοῦ δογμάτων, ἄληπτον τυγχάνον τοῖς μὴ ἔχουσι πνεῦμα[6]) τὸ πάντ' ἐρευνῶν, ἐρευνῶν δὲ καὶ τὰ βάθη τοῦ θεοῦ, εἶπε τό· »ἄβυσσος[7]) ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ.« Ἀλλὰ καὶ ὁ σωτὴρ ἡμῶν καὶ κύριος, λόγος τοῦ θεοῦ, τὸ μέγεθος παριστὰς τῆς γνώσεως τοῦ πατρὸς, ὅτι κατ' ἀξίαν προηγουμένως αὐτῷ μόνῳ λαμβάνεται καὶ γιγνώσκεται, δευτέρως δὲ τοῖς ἐλλαμπομένοις τὸ ἡγεμονικὸν ὑπ' αὐτοῦ τοῦ λόγου καὶ θεοῦ, φησίν· »οὐδεὶς[8]) ἔγνω[9]) τὸν υἱὸν, εἰ μὴ ὁ πατήρ· οὐδὲ

---

[1]) Hoeschel. in textu, edd. Spenc. ad marg. εἰδωλολατρίᾳ.

[2]) Cfr. Psalm. XVIII, 11. (XVII.)

[3]) Hoeschel. in textu, edd. Spenc. ad marg. ἀποκρύψαντα ἑαυτῷ.

[4]) Cfr. Exod. XX, 21. [5]) Exod. XXIV, 2.

[6]) Cfr. I Cor. II, 10. [7]) Psalm. CIV. 6. (CIII.)

[8]) Cfr. Matth. XI, 27.

[9]) Mss. et Hoeschel. in textu (itemq. edd. Spenc. ad marg.) ἔγνω. Spencer. (in textu); ἐπιγινώσκει. R.

τὸν πατέρα, εἰ μὴ ὁ υἱὸς, καὶ ᾧ ἂν ὁ υἱὸς ἀποκαλύψῃ.« Οὔτε γὰρ τὸν ἀγέννητον [1]) καὶ πάσης γενητῆς φύσεως πρωτότοκον [2]) κατ' ἀξίαν εἰδέναι τις δύναται, ὡς ὁ γεννήσας αὐτὸν πατὴρ, οὔτε τὸν πατέρα, ὡς ὁ ἔμψυχος λόγος, καὶ σοφία αὐτοῦ, καὶ ἀλήθεια· οὗ [3]) μετοχῇ περιαιροῦντος ἀπὸ τοῦ πατρὸς τὸ λεγόμενον σκότος, ὃ [4]) »ἔθετο ἀποκρυφὴν αὐτοῦ,« καὶ τὸ λεγόμενον περιβόλαιον [5]) αὐτοῦ, τὴν ἄβυσσον, καὶ ἀποκαλύπτοντος οὕτω τὸν πατέρα [6]) ὅ, τίποτ' ἂν χωρῇ γινώσκειν αὐτὸν γιγνώσκει.

18. Ταῦτα [7]) δ' ἡγησάμην βραχέα ἀπὸ πλείστων ὅσων τῶν περὶ θεοῦ τοῖς ἱεροῖς ἀνδράσι νενοημένων παραθέσθαι, δεικνὺς, ὅτι τῶν θαυμασθέντων ὑπὸ Κέλσου Πλατωνικῶν λόγων ἔχει τι σεμνότερον, τοῖς ἔχουσιν ὀφθαλμοὺς βλέπειν τὰ σεμνὰ τῶν γραφῶν δυναμένους, τὰ ἱερὰ τῶν προφητῶν γράμματα. Ἔχει δ' ἡ Πλάτωνος λέξις, ἣν ὁ Κέλσος ἐξέθετο, τοῦτον τὸν τρόπον· »Περὶ [8]) τὸν πάντων βασιλέα πάντ' ἐστὶ, καὶ ἐκείνου ἕνεκα πάντα, καὶ ἐκεῖνο αἴτιον ἁπάντων [9]) κα-

---

[1]) Locus diligenter notandus, ubi filius e creaturarum numero diserte eximitur, dum ἀγένητος dicitur. At non dissimulandum in unico Cod. Anglicano secundo legi: τὸν γεννητόν. Vide Origenianor. lib. II. quaest. II. num. XXIII. R. [2]) Cfr. Coloss. I, 15.

[3]) Sic recte jamjam, Gelen. duce, Spencerus. Hoeschel. male: οὐ μετοχῇ.

[4]) Cfr. Psalm. XVIII, 11. (XVII.)

[5]) Cfr. Psalm. CIV, 6. (CIII.)

[6]) Boherellus: »Lego: πατέρα ὅστις ποτ' ἂν χωρῇ« κτλ.

[7]) Hoeschel. in textu (edd. Spenc. ad marg.) Ταῦτα διηγησάμην, et ita Cod. Anglican. primus. R.

[8]) Vide Platon. epist. II. ad Dionys. pag. 312. — Ruaeus solus: Περὶ τῶν πάντων κτλ., ed. vero Bekkeri, itemq. edd. Spenceri: Περὶ τὸν πάντων κτλ. Cfr. pag. 332. not. 1.

[9]) Ed. Bekkeri: ἁπάντων τῶν καλῶν.

λῶν. Δεύτερον δὲ περὶ τὰ δεύτερα· καὶ τρίτον (288) περὶ τὰ τρίτα. Ἡ οὖν ἀνθρωπίνη ψυχὴ περὶ αὐτὰ ὀρέγεται μαθεῖν, ποῖα[1]) ἅττα ἐστὶ, βλέπουσα εἰς τὰ αὐτῆς[2]) συγγενῆ, ὧν οὐδὲν ἱκανῶς ἔχει. Τοῦ δὴ βασιλέως πέρι, καὶ ὧν εἶπον, οὐδέν ἐστι τοιοῦτον.« Ἐδυνάμην δὲ παραθέσθαι τὰ περὶ τῶν παρ' Ἑβραίοις καλουμένων Σεραφεὶμ, ἀναγεγραμμένων ἐν τῷ Ἡσαΐᾳ,[3]) καλυπτόντων τὸ πρόσωπον καὶ τοὺς πόδας τοῦ θεοῦ· καὶ τὰ περὶ τῶν ὀνομαζομένων Χερουβεὶμ, ἃ διέγραψεν ὁ Ἰεζεκιὴλ,[4]) καὶ τῶν ὡσανεὶ σχημάτων αὐτῶν, καὶ τίνα τρόπον ὀχεῖσθαι λέγεται ἐπὶ τῶν Χερουβεὶμ ὁ θεός. Ἀλλ', ἐπεὶ πάνυ κεκρυμμένως εἴρηται διὰ τοὺς ἀναξίους καὶ ἀσέμνους, μὴ δυναμένους παρακολουθῆσαι μεγαλονοίᾳ καὶ σεμνότητι θεολογίας, οὐχ ἡγησάμην πρέπον εἶναι ἐν τῷ συγγράμματι τούτῳ περὶ αὐτῶν διαλεχθῆναι.

19. Ἐξῆς δὲ τούτοις φησὶν ὁ Κέλσος, παρακούσαντάς »τινας Χριστιανοὺς Πλατωνικῶν λέξεων αὐχεῖν τὸν[5]) ὑπερουράνιον θεὸν, ὑπεραναβαίνοντας τὸν Ἰουδαίων οὐρανόν.« Ἐν τούτοις δὲ οὐ διασαφεῖ, πότερον καὶ τὸν Ἰουδαίων θεὸν ὑπεραναβαίνουσιν, ἢ μόνον ὃν ὀμνύουσιν οὐρανόν. Περὶ μὲν οὖν τῶν ἕτερον ἐπαγγελλομένων θεὸν, παρὰ τὸν καὶ ὑπὸ Ἰουδαίων προσκυνούμενον, οὐ πρόκειται νῦν ἡμῖν λέγειν· περὶ δὲ ἑαυτῶν ἀπολογεῖσθαι, καὶ δεικνύναι, ὅτι οὐ δύνανται οἱ παρ' ἡμῖν Ἰουδαίων προφῆται ἀπὸ Πλάτωνός τι ἑλλη-

---

[1]) Edd. Spenc. et Ruaei: ποῖα ἅττα ἐστί, ed. Bekkeri: ποῦ ἅττα ἐστί.

[2]) Ed. Bekkeri: αὑτῆς.

[3]) Cfr. Jesai. VI, 2. [4]) Cfr. Ezech. I. coll. X.

[5]) Cod. Jolian. ad oram habet: τὸν ὑπερουράνιον τόπον, quae correctio inde nata videtur, quod infra dicat Origenes Platonem non fuisse, qui primus τὰ περὶ τοῦ ὑπερουρανίου τόπου invenerit. Ut ut est, omnes alii Codd. Mss. habent: τὸν ὑπερουράνιον θεόν. R.

φέναι· πρεσβύτεροι γὰρ ἦσαν αὐτοῦ. Οὔτ' οὖν τὴν φάσκουσαν λέξιν· »περὶ [1]) τὸν πάντων βασιλέα πάντ' ἐστὶ, καὶ ἐκείνου ἕνεκα πάντα·« ἀπὸ Πλάτωνος εἰλήφαμεν, ἀλλὰ [2]) τούτων κρειττόνως εἰρημένα ἀπὸ τῶν προφητῶν μεμαθήκαμεν, σαφηνίσαντος τοῦ Ἰησοῦ, καὶ τῶν μαθητῶν αὐτοῦ, τὸ βούλημα τοῦ ἐν τοῖς προφήταις πνεύματος· ὅπερ οὐκ ἄλλο ἦν τοῦ πνεύματος τοῦ Χριστοῦ. Οὔτε τὰ περὶ τοῦ ὑπερουρανίου τόπου πρῶτος ὁ φιλόσοφος παρίστησιν· ἀλλὰ Δαυὶδ τὴν βαθύτητα τοῦ πλήθους τῶν ἐν τοῖς ὑπεραναβεβηκόσι τὰ αἰσθητὰ τῶν περὶ θεοῦ θεωρημάτων πάλαι παρέστησεν, εἰπὼν ἐν τῇ βίβλῳ τῶν ψαλμῶν· »αἰνεῖτε [3]) τὸν θεὸν οἱ οὐρανοὶ τῶν οὐρανῶν, καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν· αἰνεσάτωσαν τὸ ὄνομα κυρίου.« Ἐγὼ δὲ οὐκ ἀπογινώσκω τὰς ἀπὸ τοῦ Φαίδρου λέξεις ἀπό τινων Ἑβραίων μεμαθηκότα τὸν Πλάτωνα, ὡς δέ τινες ἀνέγραψαν, [4]) ἔτι καὶ τοῖς προφητικοῖς ἐντυχόντα λόγοις, ἐκτεθεῖσθαι, ἐν οἷς ἔλεγε· »τὸν [5]) ὑπερουράνιον τόπον οὔτε [6]) τις ὕμνησέ πω τῶν τῇδε ποιητὴς, οὔτε ποθ'

---

[1]) Vide Platon. ep. II. ad Dionys. pag. 312. — Edd. Spenc. et Ruaei hoc loco, cfr. pag. 330. not. 8. *Περὶ τὸν πάντων κτλ.*

[2]) Edd. Spenc., uncis voc. *καί* appositis: *ἀλλὰ καὶ τούτων.* [3]) Cfr. Psalm. CXLVIII, 4.

[4]) Cfr. Josephi lib. II. contra Apionem cap. 36. (ed. Havercamp. Tom. II. pag. 492.) a verbis: *Μάλιστα δὲ Πλάτων μεμίνηται κτλ.* Clem. Strom. I. cap. XXII. (ed. Potteri pag. 410. al. 342.) a verbis: *Ἀριστόβουλος δὲ ἐν τῷ πρώτῳ κτλ.* Ibid cap. XIV. XV. XIX. (ed. Havercamp. pag. 353. 355. 372. al. 302. 303. 315.) Strom. V. cap. V. (ed. Haverc. pag. 662. al. 560.) et alibi. Just. Paraen. pag. 21. 28—31. Apolog. II. pag. 81. 92. 93. Euseb. lib. VIII. cap. 6. lib. XI. cap. 6. 9. 10. 12. lib. XII. cap. 11—16. etc.

[5]) Cfr. Plato in Phaedro pag. 247. coll. pag. 331. not. 5.

[6]) Ed. Bekkeri: *οὔ τέ τις ὕμνησέ πω τῶν τῇδε ποιητὴς, οὔ τέ ποθ' ὑμνήσει.*

ὑμνήσει κατ' ἀξίαν,« καὶ τὰ ἑξῆς. Ἐν οἷς ἐστι καὶ τό· »ἡ [1]) γὰρ ἀχρώματός τε, καὶ ἀσχημάτιστος, καὶ ἀναφὴς οὐσία, ὄντως οὖσα ψυχῆς κυβερνῆτις [2]) νῷ μόνῳ θεατὴ, περὶ ὃν τὸ τῆς ἀληθοῦς ἐπιστήμης γένος τοῦτον ἔχει τὸν [3]) τόπον.« Καὶ ἀπ' ἐκείνων γε τῶν λόγων παιδευθεὶς ὁ Παῦλος ἡμῶν, καὶ ποθῶν ὑπερκόσμια καὶ ὑπερουράνια, καὶ δι' ἐκεῖνα πάντα πράττων, (289) ἵν' αὐτῶν τύχῃ, φησὶν ἐν τῇ δευτέρᾳ πρὸς Κορινθίους ἐπιστολῇ· »τὸ [4]) γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως ἡμῶν, καθ' ὑπερβολὴν εἰς ὑπερβολὴν, αἰώνιον βάρος δόξης κατεργάζεται ἡμῖν· μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα. Τὰ γὰρ βλεπόμενα, πρόσκαιρα· τὰ δὲ μὴ βλεπόμενα, αἰώνια.«

20. Ἄντικρυς γὰρ τοῖς ἀκούειν δυναμένοις παρίσησι τὰ μὲν αἰσθητὰ, λέγων αὐτὰ »βλεπόμενα,« [5]) τὰ δὲ νοητὰ, καὶ νῷ μόνῳ καταληπτὰ, ὀνομάζων »μὴ βλεπόμενα.« Οὗτος δὲ καὶ »πρόσκαιρα« μὲν οἶδε, τὰ αἰσθητὰ καὶ »βλεπόμενα·« »αἰώνια« δὲ, τὰ νοητὰ καὶ »μὴ βλεπόμενα·« καὶ βουλόμενος πρὸς τῇ ἐκείνων θέᾳ γενέσθαι, ὑπὸ τοῦ πρὸς ἐκεῖνα πόθου βοηθούμενος, πᾶσαν θλῖψιν τὸ οὐδὲν, καὶ ἐλαφράν τινα, ἐνόμιζεν εἶναι· καὶ παρ' αὐτὸν τὸν τῆς θλίψεως καὶ τῶν πόνων καιρὸν μηδαμῶς μὲν βαρούμενος ὑπ' αὐτῶν, ἐπελαφρίζων δὲ, διὰ τὴν περὶ ἐκεῖνα θέαν, πᾶσαν περίστασιν· ἐπεὶ καὶ ἔχομεν ἡμεῖς »ἀρχιερέα [6]) μέγαν,« τῷ

---

[1]) Cfr. Plato in Phaedro pag. 247.

[2]) Ita Codd. Reg. et Basileensis, sicque Hoeschelius, nisi quod pro: κυβερνῆτις, habet: κυβερνήτη. R. — Spencer. in textu sequitur libros editos Platonis: κυβερνήτη (ed. Bekkeri: κυβερνήτῃ,) μόνῳ θεατῇ νῷ χρῆται, περὶ ἣν κτλ., ad marg. vero habet: κυβερνήτειρα νῷ μόνῳ θεατή· περὶ ὃν κτλ., et: θεατῇ χρῆται· περὶ ἣν κτλ.

[3]) Guietus ex conjectura legit: τὸν τρόπον. R.

[4]) II Cor. IV, 17. 18.

[5]) II Cor. IV, 18. [6]) Cfr. Hebr. IV, 14.

μεγέθει τῆς δυνάμεως καὶ τοῦ νοῦ αὐτοῦ »διεληλυθότα τοὺς οὐρανούς, Ἰησοῦν τὸν υἱὸν τοῦ θεοῦ·« ἐπαγγειλάμενον τοῖς γνησίως μαθοῦσι τὰ θεῖα, καὶ ἀξίως αὐτῶν βιώσασι, προάξειν αὐτοὺς ἐπὶ τὰ ὑπερκόσμια· φησὶ γάρ· »ἵν'[1]) ὅπου ἐγὼ ὑπάγω, καὶ ὑμεῖς ἦτε.« Διὰ τοῦτο ἡμεῖς μετὰ τοὺς ἐνταῦθα πόνους καὶ τοὺς ἀγῶνας ἐλπίζομεν πρὸς ἄκροις γενέσθαι τοῖς οὐρανοῖς· καὶ πηγὰς[2]) ὕδατος ἀλλομένου εἰς ζωὴν αἰώνιον ἀναλαβόντες, κατὰ τὴν Ἰησοῦ διδασκαλίαν, ποταμούς τε χωρήσαντες τῶν θεωρημάτων, σὺν τοῖς λεγομένοις ὕδασιν[3]) ὑπεράνω τῶν οὐρανῶν, αἰνοῦσι τὸ ὄνομα κυρίου, ἔσεσθαι. Καὶ, ὅσον[4]) γε αἰνοῦμεν αὐτὸν, οὐ περιαχθησόμεθα ἀπὸ τῆς τοῦ οὐρανοῦ περιφορᾶς, ἀεὶ δὲ πρὸς τῇ θέᾳ ἐσόμεθα τῶν ἀοράτων τοῦ θεοῦ· οὐκέτι ἀπὸ κτίσεως κόσμου[5]) τοῖς ποιήμασι νοουμένων ἡμῖν, ἀλλ', ὡς ὠνόμασεν ὁ γνήσιος τοῦ Ἰησοῦ μαθητὴς, λέγων· »τότε[6]) δὲ πρόσωπον πρὸς πρόσωπον·« καὶ τό· »ἐὰν[7]) ἔλθῃ τὸ τέλειον, τὸ ἐκ μέρους καταργηθήσεται.«

21. Ἑπτὰ δὲ οὐρανούς, ἢ ὅλως περιωρισμένον ἀριθμὸν αὐτῶν, αἱ φερόμεναι ἐν ταῖς ἐκκλησίαις τοῦ

---

[1]) Cfr. ev. Joann. XIV, 3.

[2]) Cfr. ev. Joann. IV, 14.

[3]) Cfr. Psalm. CXLVIII, 4.

[4]) Boherellus: »Lego: *Καὶ ὅσοι γε αἰνοῦμεν*, vel: *αἰνήσομεν αὐτόν*.« — Spencerus ad marg. *Νόει κατὰ τὸ τοῦ Πλάτωνος ἐν τῷ Φαίδρῳ*. — Plato in Phaedro pag. 247. *Αἱ μὲν γὰρ ἀθάνατοι καλούμεναι, ἡνίκα ἂν πρὸς ἄκρῳ γένωνται, ἔξω πορευθεῖσαι ἔστησαν ἐπὶ τῷ τοῦ οὐρανοῦ νώτῳ, ἱστάσας* (Bekker. στάσας) *δὲ αὐτὰς περιάγει ἡ περιφορά· αἱ δὲ θεωροῦσι τὰ ἔξω τοῦ οὐρανοῦ.*

[5]) Vox *κόσμου* Guieto addititia videtur et recidenda. R. — Cfr. Rom. I, 20.

[6]) I Cor. XIII, 12. [7]) Cfr. I Cor. XIII, 10.

θεοῦ οὐκ ἀπαγγέλλουσι γραφαί· ἀλλ' οὐρανούς, εἴτε τὰς σφαίρας τῶν παρ' Ἕλλησι λεγομένων πλανήτων, εἴτε καὶ ἄλλο τι ἀπορρητότερον ἐοίκασι διδάσκειν οἱ λόγοι. Καὶ τὸ, ὁδὸν [1]) μὲν εἶναι ταῖς ψυχαῖς ἐς γῆν, καὶ [2]) ἀπὸ γῆς, Κέλσος μὲν κατὰ Πλάτωνά φησι γίνεσθαι διὰ τῶν πλανήτων· Μωϋσῆς [3]) δὲ, ὁ ἀρχαιότατος ἡμῶν προφήτης, ἐν ὕψει τοῦ [4]) προφήτου ἡμῶν Ἰακὼβ, φησὶν ἑωρᾶσθαι θεῖον ἐνύπνιον, κλίμακα [5]) εἰς

---

[1]) Sic Codd. Reg. et Basileensis. Libri editi (v. c. edd. Spenc.) ὁδὸν δὲ εἰδέναι ταῖς ψυχαῖς ἐς γῆν. R. — Plato in Timaeo pag. 41. Ξυστήσας δὲ τὸ πᾶν διεῖλε ψυχὰς ἰσαρίθμους τοῖς ἄστροις, ἔνειμέ θ' ἑκάστην πρὸς ἕκαστον, καὶ ἐμβιβάσας ὡς ἐς ὄχημα, τὴν τοῦ παντὸς φύσιν ἔδειξε, νόμους τε τοὺς εἱμαρμένους εἶπεν αὐταῖς, ὅτι γένεσις πρώτη μὲν ἔσοιτο τεταγμένη μία πᾶσιν, ἵνα μή τις ἐλαττοῖτο ὑπ' αὐτοῦ. Et pag. 42. ibidem: Διαθεσμοθετήσας δὲ πάντα αὐτοῖς ταῦτα, ἵνα τῆς ἔπειτα εἴη κακίας ἑκάστων ἀναίτιος, ἔσπειρε τοὺς μὲν εἰς γῆν (al. ἥλιον,) τοὺς δ' εἰς σελήνην, τοὺς δ' εἰς τἆλλα ὅσα ὄργανα χρόνου. Plato de anima mundi pag. 99. Ὧν τὰς ψυχὰς ἐπιῤῥύτως ἐνάγαγε, τὰς μὲν ἀπὸ σελάνας, τὰς δ' ἀπὸ ἀλίου, τὰς δὲ ἀπὸ τῶν ἄλλων τῶν πλαζομένων ἐν τῷ τῶ ἑτέρω μοίρᾳ.

[2]) Spencerus: Plato in Timaeo pag. 42. Ὧν εἰ μὲν κρατήσειαν, ἐν δίκῃ βιώσοιντο, κρατηθέντες δὲ ἀδικίᾳ. Καὶ ὁ μὲν εὖ τὸν προσήκοντα βιοὺς χρόνον, πάλιν εἰς τὴν τοῦ ξυννόμου πορευθεὶς οἴκησιν ἄστρου, βίον εὐδαίμονα καὶ συνήθη ἕξοι· σφαλεὶς δὲ τούτων εἰς γυναικὸς φύσιν ἐν τῇ δευτέρᾳ γενέσει μεταβαλοῖ· (χιλιοστῷ δὲ ἔτει ἀμφότεραι, ἀφικνούμεναι ἐπικλήρωσιν καὶ αἵρεσιν τοῦ δευτέρου βίου, αἱροῦνται ὃν ἂν ἐθέλῃ βίον ἑκάστη.) — Verba uncis inclusa frustra desiderantur in ed. Bekkeri. [3]) Cfr. Gen. XXVIII, 12. 13.

[4]) Boherellus: »Haec e praecedd. nata, mutanda videntur in: τοῦ πατριάρχου ἡμῶν.«

[5]) Philo: οὐρανοκλίμακα.

οὐρανὸν φθάνουσαν, καὶ ἀγγέλους τοῦ θεοῦ ἀναβαίνοντας καὶ καταβαίνοντας ἐπ' αὐτῆς, τὸν δὲ κύριον ἐπεστηριγμένον ἐπὶ τοῖς ἄκροις αὐτῆς· εἴτε ταῦτα, εἴτε[1]) τινὰ μείζονα τούτων, αἰνιττόμενος ἐν τῷ περὶ τῆς κλίμακος λόγῳ· περὶ ἧς καὶ τῷ Φίλωνι συνιέτακται βιβλίον,[2]) ἄξιον φρονίμου καὶ συνετῆς παρὰ (290) τοῖς φιλαλήθεσιν ἐξετάσεως.

22. Ἐξῆς δὲ τούτοις βουλόμενος ὁ Κέλσος πολυμάθειαν ἑαυτοῦ ἐπιδείξασθαι ἐν τῷ καθ' ἡμῶν λόγῳ, ἐκτίθεταί τινα καὶ Περσικὰ μυστήρια, ἐν οἷς φησιν· »Αἰνίττεται ταῦτα καὶ ὁ Περσῶν λόγος, καὶ ἡ τοῦ Μίθρου[3]) τελετὴ παρ' αὐτοῖς ἐστιν. Ἔστι γάρ τι ἐν αὐτῇ

---

[1]) Cfr. lib. I. contra Cels. num. 32. 33.

[2]) Philo de Somniis, ed. Paris. pag. 384., ed. Francof. pag. 585. in fine: *Κλίμαξ τοίνυν ἐν μὲν τῷ λεγομένῳ κόσμῳ λέγεται συμβολικῶς ὁ ἀὴρ, οὗ βάσις μέν ἐστι γῆ, κεφαλὴ δὲ οὐρανός. Ἀπὸ γὰρ τῆς σεληνιακῆς σφαίρας, ἣν ἐσχάτην μὲν τῶν κατ' οὐρανὸν κύκλων, πρώτην δὲ τῶν πρὸς ἡμᾶς ἀναγράφουσιν οἱ φροντισταὶ τῶν μετεώρων, ἄχρι γῆς ἐσχάτης ὁ ἀὴρ πάντη ταθεὶς ἔφθασεν. Οὗτος δέ ἐστι ψυχῶν ἀσωμάτων οἶκος, κτλ.*

[3]) Spencerus Porphyr. de antro Nympharum, pag. 263. ed. Cantabrig. *Τοῦ δὴ ἄντρου εἰκόνα καὶ σύμβολόν φησι τοῦ κόσμου φέροντος Νουμήνιος, καὶ ὁ τοῦτου ἑταῖρος Κρόνιος· δύο εἶναι ἐν οὐρανῷ ἄκρα· ὧν οὔτε νοτιώτερόν ἐστι τοῦ χειμερινοῦ τροπικοῦ, οὔτε βορειότερον τοῦ θερινοῦ. Ἔστι δ' ὁ μὲν θερινὸς, κατὰ καρκίνον· ὁ δὲ χειμερινὸς, κατ' αἰγόκερων, κτλ.* Et pag. 268. *Λύο οὖν ταύτας ἔθεντο πύλας, καρκίνον καὶ αἰγόκερων, οἱ θεόλογοι· Πλάτων δὲ δύο στομία ἔφη. Τούτων δὲ καρκίνον μὲν εἶναι, δι' οὗ κατιᾶσιν αἱ ψυχαί· αἰγόκερων δὲ, δι' οὗ ἀνιᾶσιν, κτλ.* Et pag. eadem: *Λύο δὲ στομία Πλάτων φησί· δι' οὗ μὲν ἀναβαινόντων εἰς οὐρανόν· δι' οὗ δὲ κατιόντων εἰς γῆν·*

σύμβολον τῶν δύο τῶν ἐν οὐρανῷ περιόδων, τῆς τε ἀπλανοῦς, καὶ τῆς εἰς τοὺς πλάνητας αὖ γεγενημένης,[1] καὶ τῆς δι' αὐτῶν τῆς ψυχῆς διεξόδου. Τοιόνδε τὸ σύμβολον· κλίμαξ[2] ὑψίπυλος, ἐπὶ δ' αὐτῇ πύλη ὀγδόη. Ἡ πρώτη τῶν πυλῶν μολίβδου,[3] ἡ δευτέρα κασσιτέρου, ἡ τρίτη χαλκοῦ, ἡ τετάρτη σιδήρου, ἡ πέμπτη κερασιοῦ[4] νομίσματος, ἡ ἕκτη ἀργύρου, χρυσοῦ δ' ἡ ἑβδόμη. Τὴν πρώτην τίθενται Κρόνου, τῷ μολίβδῳ τεκμηριούμενοι τὴν βραδυτῆτα[5] τοῦ ἀστέρος· τὴν δευτέραν Ἀφροδίτης, παραβάλλοντες αὐτῇ τὸ φαιδρόν τε καὶ μαλακὸν τοῦ κασσιτέρου· τὴν τρίτην τοῦ Διός, τὴν χαλκοβάτην[6] καὶ στερρὰν· τὴν τετάρτην Ἑρμοῦ, τλήμονα γὰρ ἔργων ἁπάντων, καὶ χρηματιστὴν, καὶ πολύκμητον[7] εἶναι, τόν τε σίδηρον καὶ τὸν Ἑρμῆν· τὴν πέμπτην Ἄρεος, τὴν ἐκ τοῦ κράματος ἀνώμαλόν τε καὶ ποικίλην· ἕκτην σελήνης, τὴν ἀργυρᾶν· ἑβδόμην

καὶ τῶν θεολόγων πύλας ψυχῶν ἥλιον τιθέντων, καὶ σελήνην· καὶ διὰ μὲν ἡλίου ἀνιέναι, διὰ δὲ σελήνης κατιέναι, κτλ. Vide ibidem paginas 261—269. Cfr. insuper lib. I. contra Cels. num. 9.

[1]) Codd. Reg., Basil. Vatican. et Anglican. secundus (itemq. edd. Spenc. ad marg.) *νενεμημένης*. R.

[2]) Guieto scribendum videtur: *κλίμαξ ὑψίπυλος, ἐπ' αὐτῇ δὲ πύλαι ἑπτά*. R. — Boherellus: »Legendum puto: *κλίμαξ ἑπτάπυλος*. Vide Isaac. Voss. de Sibyllin. oraculis cap. 5.

[3]) Hoeschel. in textu, Spenc. ad marg. *μολίβου*.

[4]) Hoeschel. in textu, Spenc. ad marg. *κέρας τοῦ νομίσματος*.

[5]) Spenc. ad marg. *βραδύτητα*.

[6]) Guietus legit: *χαλκοβατῆ*. R.

[7]) Codd. Reg., Basil., Vatican. et duo Anglicani (itemq. Spenc. ad marg.) *πολύκμητον*, libri impressi (v. c. edd. Spenc.) in textu: *πολύμνητον*.

σέως, καὶ ζητησάτω τὸν δυνάμενον αὐτὸν [1]) μυσταγωγῆσαι ἐπὶ τὰ περὶ τῶν παρεμβολῶν τῶν υἱῶν Ἰσραὴλ ἀναγεγραμμένα· ποῖαι μὲν κατὰ τὰ ἀνατολικὰ τεταγμέναι [2]) εἰσὶ μέρη, ὡς πρῶται· ποῖαι δὲ ἐπὶ τὰ κατὰ λίβα, καὶ κατὰ νότον· καὶ τίνες αἱ κατὰ θάλασσαν· καὶ τίνες αἱ τελευταῖαι κατὰ βορρᾶν. Ὄψεται γὰρ θεωρήματα οὐκ εὐκαταφρόνητα ἐν τοῖς τύποις, οὐδ', ὡς Κέλσος οἴεται, μωρῶν τινων ἀκροατῶν καὶ ἀνδραπόδων δεόμενα· διαλήψεται [3]) γάρ τις ἐν αὐτοῖς [4]) καὶ τὰ περὶ τῆς φύσεως τῶν κατειλεγμένων ἐν αὐτοῖς [5]) ἀριθμῶν, καὶ ἐφαρμοσθέντων ἑκάστῃ φυλῇ· περὶ ὧν νῦν ἡμῖν ἐκθέσθαι ἔδοξεν οὐκ εὔκαιρον εἶναι. Ἴστω δὲ Κέλσος, καὶ οἱ ἐντυγχάνοντες αὐτοῦ τῷ βιβλίῳ, ὅτι οὐδαμοῦ τῶν γνησίων καὶ θείων πεπιστευμένων γραφῶν ἑπτὰ εἴρηνται οὐρανοί· οὔτ' ἀπὸ Περσῶν, ἢ Καβείρων λαβόντες ἡμῶν οἱ προφῆται λέγουσί τινα, οὐδ' οἱ τοῦ Ἰησοῦ ἀπόστολοι, οὐδ' αὐτὸς ὁ υἱὸς τοῦ θεοῦ.

24. Ἐξῆς δὲ τῷ ἀπὸ τῶν Μιθραϊκῶν ληφθέντι λόγῳ, ἐπαγγέλλεται ὁ Κέλσος τελετήν τινα Χριστιανῶν τελετῇ προειρημένῃ Περσῶν τὸν βουλόμενον συνεξετάσαι, ταῦτα [6]) ἀλλήλοις παραβαλόντα, [7]) καὶ γυμνώσαντα καὶ τὰ Χριστιανῶν, οὕτω θεάσασθαι τὴν διαφορὰν

---

[1]) Uncis inclusum legitur *αὐτόν* in edd. Spenc.

[2]) Spenc. *τεταγμένα*. Jam Boherell. vero: »Lege: *τεταγμέναι*.«

[3]) Ita Cod. Jolianus. Hoeschel. in textu: *διαλήψεται γάρ τινες ἐν αὐτοῖς*. R. — Spenc. in textu: *διαλήψεται γάρ τινα ἐν αὐτοῖς*, ad marginem: *τίνες*.

[4]) Spenc. ad marg. *ἴσως· αὐταῖς, ἤγουν παρεμβολαῖς*. — Cfr. pag. huj. not. 3.

[5]) Spenc. ad marg. *ἴσως· αὐταῖς, ἤγουν παρεμβολαῖς*. — Cfr. pag. huj. not. 3.

[6]) Guietus legit: *ταύτας ἀλλήλαις παραβαλόντα, καὶ γυμνώσαντα τὰ Χριστιανῶν*. R.

[7]) Libri editi (v. c. edd. Spenc.) ad marg. *παραλαβόντα*.

αὐτῶν. Καὶ ὅπου μὲν ἤδει ὀνόματα εἰπεῖν αἱρέσεων, οὐκ ὤκνησεν ἐκθέσθαι ἃς ἐδόκει εἰδέναι· ὅπου δὲ μᾶλλον ἐχρῆν, εἴπερ ἠπίστατο, τοῦτο ποιῆσαι, καὶ διδάξαι, ποία αἵρεσις χρῆται τῷ διατυπωθέντι διαγράμματι, τοῦτ' οὐ πεποίηκε. Δοκεῖ δέ μοι καὶ ἐκ τούτων, ἐκ παρακουσμάτων ἀσημοτάτης αἱρέσεως Ὀφιανῶν,[1] οἶμαι, ἐκτεθεῖσθαι τὰ τοῦ διαγράμματος[2] ἀπὸ μέρους. Τούτῳ δ' ἡμεῖς, κατὰ τὸ φιλομαθὲς ἡμῶν, περιτετεύχαμεν, ἐν ᾧ εὕρομεν πλάσματα ἀνθρώπων, ὡς ὁ Παῦλος ὠνόμασεν, ἐνδυνόντων[3] »εἰς τὰς οἰκίας, καὶ αἰχμαλωτιζόντων[4] γυναικάρια σεσωρευμένα ἁμαρτίαις, ἀγόμενα ἐπιθυμίαις ποικίλαις, πάντοτε μανθάνοντα, καὶ μηδέποτε εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν δυνάμενα.« Οὕτω δὲ πᾶσαν ἀπιθανότητα εἶχε τὸ διάγραμμα, ὡς μηδὲ τὰ εὐξαπάτητα γυναικάρια, μηδὲ τοὺς ἀγροικοτάτους, καὶ ὑφ' οὑτινοσοῦν πιθανοῦ ἑτοίμως ἔχοντας ἄγεσθαι, συγκατατεθεῖσθαι τῷ (292) διαγράμματι. Οὐδενὶ γοῦν, καί τοί γε πολλοὺς ἐκπεριελθόντες τόπους[5] τῆς γῆς, καὶ τοὺς πανταχοῦ ἐπαγγελλομένους τι εἰδέναι ζητήσαντες, περιτετεύχαμεν πρεσβεύοντι τὰ τοῦ διαγράμματος.

25. Ἐν ᾧ ἦν διαγραφὴ κύκλων ἀπολελυμένων μὲν ἀπ' ἀλλήλων δέκα, συνδουμένων δὲ ὑφ' ἑνὸς κύκλου,

---

[1]) Vide lib. III. contra Cels. num. 12. et lib. VI. num. 28.

[2]) Spencerus: Utinam exstaret! Multum enim lucis procul dubio antiquissimorum Patrum libris, priscae ecclesiae temporibus, et quibusdam sacrae scripturae locis accederet. [3]) Cfr. II Tim. III, 6. 7.

[4]) Ita habent omnes Codd. Mss. R. — Spencer. in textu, uncis voc. τά appositis: αἰχμαλωτευόντων τὰ γυναικάρια, ad marg. αἰχμαλωτιζόντων.

[5]) Spencerus: Scil. Romam, (Euseb. lib. VI. cap. 13. ecclesiast. hist.), Arabiam, Aegyptum et Palaestinam. (cfr. lib. VI. cap. 19. ibidem.) Vide lib. IV. contra Cels. num. 44.

ὃς ἐλέγετο εἶναι ἡ τῶν ὅλων ψυχή, καὶ ὠνομάζετο Λευϊαθάν.[1]) Ὃν τινα αἱ Ἰουδαίων γραφαὶ, ὅ, τί ποτ' οὖν αἰνισσόμεναι, ἔλεγον πεπλάσθαι ὑπὸ τοῦ θεοῦ παίγνιον. Ἐν γὰρ ψαλμοῖς εὕρομεν· »πάντα[2]) ἐν σο-

[1]) Spencerus: Hic Leviathan, et Beemon (Beemoth), quantum scio, non occurrunt apud Tertullianum, Irenaeum, Epiphanium, aliosve scriptores, qui de haeresibus scripserunt. Credo Ophianos his nominibus diabolum denotasse, atque, ut fabula esset fabulosior, Valentinianorum haeresi, quos in plurimis secuti sunt, de suo isthaec vocabula adjecisse. In Rhenani schemate, quod praefixum est ante Tertulliani librum adversus Valentinianos, in ed. Pameliana, singulae aeonum potestates, et genealogiae, eo ordine ponuntur, quo Valentinus eas collocavit, et diabolus pene ad infimam istius partem suam sedem habet: quod nostrae aliquatenus favet conjecturae. Ait enim in seqq. Origenes: *Εὕρομεν δ' ἐν αὐτῷ καὶ τὸν Βεημὼθ* (al. *Βεμὸν*) *ὀνομαζόμενον, ὡσπερεὶ τεταγμένον τινὰ μετὰ τὸν κατωτάτω κύκλον.* Irenaeus lib. I. cap. 1. de Valentinianis, et Tertullianus in libro adversus eosdem, cap. 22. (ed. Paris. pag. 300.) diaboli meminerunt. »Tolerabilior, inquit Tertullianus, infamia est apud illos in diabolum, vel quia origo sordidior capit. Ex nequitia enim moeroris illius deputatur, ex qua angelorum, et daemonum, et omnium spiritualium malitiarum genituras notant. Et tamen diabolum quoque opus demiurgi affirmant, et Munditenentem appellant: et superiorum magis gnarum defendunt, ut spiritualem natura, quam Demiurgum, ut animalem. Meretur ab illis praelationem, cui omnes haereses procurantur.« Graeca Irenaei sic se habent apud Epiphan. Haeres. 31. pag. 188. *Ἐκ δὲ τῆς λοιπῆς τὰ πνευματικὰ τῆς πονηρίας διδάσκουσι γεγονέναι· ὅθεν τὸν διάβολον τὴν γένεσιν ἐσχηκέναι, ὃν καὶ κοσμοκράτορα καλοῦσι, καὶ τὰ δαιμόνια, καὶ τοὺς ἀγγέλους, καὶ πᾶσαν τὴν πνευματικὴν τῆς πονηρίας ὑπόστασιν.*

[2]) Cfr. Psalm. CIV, 24—26. (CIII.)

φίᾳ ἐποίησας, ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου. Αὕτη ἡ θάλασσα, ἡ μεγάλη καὶ εὐρύχωρος. Ἐκεῖ πλοῖα διαπορεύονται·[1]) ζῶα μικρὰ μετὰ μεγάλων· δράκων[2]) οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῷ.« Ἀντὶ δὲ τοῦ »δράκων«[3]) Λευϊαθὰν ἦν ἐν τῷ Ἑβραϊκῷ. Τὸ τοίνυν ἀσεβὲς διάγραμμα τὸν σαφῶς οὕτω κατηγορηθέντα ἐν τῷ προφήτῃ Λευϊαθὰν ἔλεγεν εἶναι τὴν διὰ τῶν ὅλων περιτετηκυῖαν ψυχήν. Εὕρομεν δ' ἐν αὐτῷ καὶ τὸν Βεημὼθ[4]) ὀνομαζόμενον ὡσπερεὶ[5]) τεταγμένον τινὰ μετὰ τὸν κατωτάτω κύκλον. Τοῦτον δὲ τὸν Λευϊαθὰν ὁ τὸ μιαρὸν ἐκεῖνο διάγραμμα ἀναπλάσας ἐπὶ τοῦ κύκλου καὶ τοῦ κέντρου αὐτοῦ κατέγραψε, δὶς ἐκθέμενος αὐτοῦ τὸ ὄνομα. Ἔτι δὲ ὁ Κέλσος, μελαίνῃ »γραμμῇ παχείᾳ φησὶ διειλημμένον εἶναι τὸ διάγραμμα, καὶ ταύτην ἔφασκεν εἰρῆσθαι αὐτῷ τὴν Γέενναν,[6]) οὖσαν

---

[1]) Hoeschel. in textu, Spenc. ad marg. *πορεύονται.*

[2]) Hoeschel. in notis: Paraphrast. Mscr. *ὁ διάβολος, ὁ καταπαιζόμενος ὑπὸ τῶν ἁγίων.*

[3]) Cfr. etiam Job. XL. XLI. Jesai. XXVII, 1.

[4]) Spencer. et Ruaeus in textu: *Βεμόν.* Jam Boherell. vero, quem Ruaeus totus sequitur in notis: »Legendum: *Βεμώθ*, ex Hebraeo.«

[5]) Hoeschel. in textu: *ὡς περὶ τεταγμένον τινά*, sicque duo Codd. Anglicani. R. — Spencer. in textu: *ὡσπερεὶ τεταγμένον τινά*, ad marg. *ὡς περιτεταγμένον τινά.*

[6]) Spencerus: Non constat ex haeresium scriptoribus vel Ophitas, aut Valentinianos, de Gehenna, vel Tartaro cogitasse. Audi tamen quid Valentiniani de triplici hominum genere somniarunt. Iren. lib. I. cap. 7. num. 5. »Hominum autem tria genera dicunt, spirituale, psychicum, choïcum: quemadmodum fuit Cain, Abel, Seth: ut ostendant et ex his tres naturas, jam non secundum unumquemque, sed secundum genus. Et Choïcum quidem in corruptelam abire: animale vero, si meliora elegerit, in loco medietatis refrigeraturum; si vero pejora, transire et ipsum ad similia. Spiritualia vero inseminat Achamoth

καὶ Τάρταρον.« Τὴν δὲ Γέενναν ἡμεῖς ἐν τῷ εὐαγγελίῳ[1]) γεναμμένην ὡς κολαστήριον εὑρόντες, ἐξητήσαμεν εἴ που τῶν παλαιῶν γραμμάτων ὠνομάσθη· καὶ μάλιστα, ἐπείπερ καὶ Ἰουδαῖοι χρῶνται τῷ ὀνόματι. Εὕρομεν δὲ ὅπου μὲν Φάραγξ[2]) υἱοῦ Ἐννὸμ ὀνομαζομένην ἐν τῇ γραφῇ, ἐν δὲ τῷ Ἑβραϊκῷ, ἀντὶ τοῦ Φάραγξ, μεμαθήκαμεν ὅτι κατὰ[3]) τοῦ αὐτοῦ ὑποκειμένου ἐλέγετο ἡ Φάραγξ Ἐννὸμ καὶ ἡ Γέεννα. Ἐπιτηροῦντες δὲ τὰ ἀναγνώσματα, εὑρίσκομεν καὶ ἐν τῷ κλήρῳ τῆς φυλῆς Βενιαμὶν τὴν Γέενναν[4]) ἢ Φάραγγα Ἐννὸμ κατειλεγμένην, οὗ ἦν καὶ Ἱερουσαλήμ. Καὶ ἐξετάζοντες τὴν ἀκολουθίαν τοῦ εἶναι ἐπουράνιον Ἱερουσαλὴμ ἀπὸ τοῦ κλήρου Βενιαμὶν καὶ[5]) τῆς Φάραγγος Ἐννὸμ, εὑρίσκομέν τι εἰς τὸν[6]) περὶ κολάσεων

---

ex illo tempore usque nunc, propter quod et animae erudientur quidem hic: et semina enutrita, quia pusilla emittuntur, post deinde perfectione digna habita, sponsas reddi Salvatoris, angelis respondent, animabus eorum ex necessitate in medietate cum Demiurgo refrigeraturis in aeternum.« Tertull. libro adversus Valentinianos, cap. 32. (ed. Paris pag. 307.) »Humana vero gens in hos exitus ibit, choïcae et materialis notae totum interitum: quia omnis caro foenum. Et anima mortalis apud illos, nisi quae salutem fide invenerit. Justorum animae, id est nostrae, ad Demiurgum in medietatis receptacula transmittentur.« Quorsum igitur isti haeretici de Gehenna, Tartaro, et poenis infernalibus cogitarent: cum bonorum animas in locum medietatis recipi, malorum vero in totum interitum abire crediderunt?

[1]) Cfr. Matth. V, 22. 30.

[2]) Cfr. Jerem. VII, 31. 32. XXXII, 35.

[3]) Boherellus: »Lego: *κατὰ τὸ αὐτοῦ* (nempe *Ἑβραϊκοῦ*) *ὑποκείμενον*, vel potius: *κατὰ τὸ αὐτὸ ὑποκείμενον*.« [4]) Cfr. Jos. XVIII, 16.

[5]) Boherellus: »Malim: *καὶ τὴν Φάραγγα*.«

[6]) Libri editi (v. c. edd. Spenc.) *τὸν περὶ κολάσεως τόπον*. Mss. ut in nostro textu. R.

τόπον μεταλαμβανόμενον, εἰς τὴν μετὰ βασάνου κάθαρσιν τῶν τοιωνδὶ ψυχῶν, κατὰ τό· »ἰδοὺ,[1]) κύριος εἰσπορεύεται ὡς πῦρ χωνευτηρίου, καὶ ὡς πόα πλυνόντων· καὶ καθιεῖται χωνεύων, καὶ καθαρίζων ὡς τὸ ἀργύριον, καὶ τὸ χρυσίον.«

26. Καὶ[2]) κατὰ τὸ περὶ τὴν Ἱερουσαλὴμ γίγνεσθαι κολάσεις χωνευομένων, τῶν ἀναλαβόντων εἰς τὴν ἑαυτῶν τῆς ψυχῆς ὑπόστασιν τὰ ἀπὸ κακίας, τροπικῶς που ὀνομαζομένης μολίβδου· διὸ ἡ ἀνομία παρὰ τῷ Ζαχαρίᾳ[3]) ἐπὶ τάλαντον μολίβδου ἐκαθέζετο. Ὅσα δ' εἰς τὸν τόπον λεχθείη ἄν, οὔτε[4]) πᾶσιν, οὔτε τοῦ πα-

---

[1]) Cfr. Malach. III, 2. 3.

[2]) Boherellus: »Refer ad praecedens: κατὰ τό.«

[3]) Cfr. Zachar. V, 7.

[4]) Orig. in fine lib. VIII. Explanationum in ep. ad Romanos: »Qui vero verbi Dei et doctrinae Evangelicae purificationes spreverit, tristibus et poenalibus purificationibus semet ipsum reservat; ut ignis Gehennae in cruciatibus purget, quem nec Apostolica doctrina, nec Evangelicus sermo purgavit, secundum illud, quod scriptum est: *et purificabo te igne ad purificationem.* Verum haec ipsa purgatio, quae per poenam ignis adhibetur, quantis temporibus, quantisve saeculis, de peccatoribus exigat cruciatus, solus scire potest ille, cui pater omne judicium tradidit: quia ita diligit creaturam suam, ut pro ipsa evacuaverit semet ipsum de Dei forma, et servi formam susceperit, humilians semet ipsum ad mortem, volens omnes homines salvos fieri, et ad agnitionem veritatis venire. Verum tamen meminisse semper debemus, quod praesentem locum Apostolus quasi mysterium habere voluit: quo scilicet hujusmodi sensus fideles quique et perfecti intra semet ipsos velut mysterium Dei silentio tegant, nec passim imperfectis et minus capacibus proferant. *Mysterium regis*, ait Scriptura, *celare bonum est.*« Vide lib. IV. contra Cels. num. 12. 13.

καὶ ἀριθμὸν ὁρίζει λεγόμενον [1]) ὑπὸ τῶν παραδιδόντων τὴν σφραγῖδα »ἀγγέλων ἑπτὰ, ἑκατέρωθεν τῇ ψυχῇ τοῦ ἀπαλλαττομένου σώματος [2]) ἐφισταμένων· τῶν μὲν τοῦ φωτὸς, ἑτέρων δὲ τῶν ὀνομαζομένων ἀρχοντικῶν·« καὶ λέγει »τὸν ἄρχοντα τῶν ὀνομαζομένων ἀρχοντικῶν λέγεσθαι θεὸν καταραμένον.« Εἶτ' ἐπιλαβόμενος τῆς λέξεως εὐλόγως κατηγορεῖ τῶν τοῦτο τολμώντων λέγειν· τούτου δ' ἕνεκα καὶ ἡμεῖς συναγανακτοῦμεν τοῖς μεμφομένοις τοὺς τοιούτους, εἰ δή τινές εἰσι λέγοντες θεὸν καταραμένον τὸν Ἰουδαίων, τὸν ὄντα καὶ βροντῶντα, καὶ τοῦδε τοῦ κόσμου δημιουργὸν, καὶ Μωϋσέως καὶ τῆς καθ' αὐτὸν κοσμοποιΐας θεόν. Ἀλλ' ἔοικε βεβουλῆσθαί τι διὰ τούτων ὁ Κέλσος οὐκ εὔγνωμον, ἀλλ' ἀπὸ τοῦ καθ' ἡμῶν ἀφιλοσόφου μίσους πάνυ ἀγνωμονέσιατον. Ἐβουλήθη γὰρ τοὺς ἀπείρους τῶν ἡμετέρων, ἐντυχόντας αὐτοῦ [3]) τῇ γραφῇ, πολεμῶσαι πρὸς ἡμᾶς, ὡς θεὸν καταραμένον λέγοντας τὸν τοῦδε τοῦ κόσμου καλὸν δημιουργόν. Καὶ δοκεῖ μοι παραπλήσιον Ἰουδαίοις πεποιηκέναι, τοῖς κατὰ [4]) τὴν ἀρχὴν τῆς τοῦ Χριστιανισμοῦ διδασκαλίας κατασκεδάσασι [5]) δυσφημίαν τοῦ λόγου· ὡς ἄρα καταθύσαντες παιδίον μεταλαμβάνουσιν αὐτοῦ τῶν σαρκῶν· καὶ πάλιν, ὅτι οἱ ἀπὸ τοῦ λόγου, τὰ τοῦ σκότου πράττειν βουλόμενοι, σβεννύουσι μὲν τὸ φῶς, ἕκαστος (294) δὲ τῇ παραινυχούσῃ μίγνυται. Ἥτις δυσφημία παραλόγως πάλαι μὲν

[1]) Boherellus: »Malim: λεγομένων.«

[2]) Voc. σώματος Guieto suspectum videtur, et fortasse delendum. R.

[3]) Recte Codd. duo Anglican. et Basileensis: αὐτοῦ. Libri vero editi (v. c. edd. Spenc.) αὐτῷ. R. — Jam Boherellus: »Lege: αὐτοῦ.«

[4]) Sic Cod. Basil. et Cod. Anglican. primus. In libris editis (v. c. edd. Spenc.) deest: τῆς. R. — Jam Boherellus: »Lego: κατὰ τὴν ἀρχὴν τῆς τοῦ« κτλ.

[5]) Hoeschel. in textu, Spenc. ad marg. κατασκεδάσαι. — Cfr. lib. I, contra Cels. num. 1.

πλείστων ὅσων ἐκράτει, πείθουσα τοὺς ἀλλοτρίους τοῦ λόγου, ὅτι τοιοῦτοί εἰσι Χριστιανοί· καὶ νῦν δὲ ἔτι ἀπατᾷ τινας, ἀποτρεπομένους διὰ τα τοιαῦτα κἂν εἰς κοινωνίαν ἁπλουστέραν λόγων ἥκειν πρὸς Χριστιανούς.

28. Τοιοῦτόν τι δή μοι φαίνεται ὁ Κέλσος οἰκονομῶν ἐκτίθεσθαι, [1]) ὡς ἄρα Χριστιανοὶ λέγουσι κατηραμένον θεὸν τὸν δημιουργόν· ἵν' ὁ πιστεύων αὐτῷ ταῦτα καθ' ἡμῶν λέγοντι, εἰ δυνατὸν, καὶ ἐπὶ τὸ ἀναιρεῖν [2]) ὁρμήσαι [3]) Χριστιανοὺς, ὡς πάντων ἀσεβεστάτους. Φύρων δὲ τὰ πράγματα, καὶ τὴν αἰτίαν ἐκτίθεται τοῦ κατηραμένον λέγεσθαι τὸν τῆς κατὰ [4]) Μωϋσέα κοσμοποιΐας θεὸν, φάσκων, ὅτι »τοιοῦτός ἐστιν καὶ ἀρᾶς ἄξιος, κατὰ τοὺς ταῦτα περὶ αὐτοῦ δοξάζοντας, ἐπείπερ τῷ ὄφει, γνῶσιν καλοῦ καὶ κακοῦ τοῖς πρώτοις ἀνθρώποις εἰσηγουμένῳ, κατηράσατο.« Εἰδέναι δ' αὐτὸν ἐχρῆν, ὅτι οἱ τὰ τοῦ ὄφεως ἑλόμενοι, ὡς καλῶς τοῖς πρώτοις ἀνθρώποις συμβουλεύσαντος, καὶ Τιτάνας καὶ Γίγαντας τοὺς μυθικοὺς ὑπερβαλόντες, καὶ Ὀφιανοὶ [5]) διὰ τοῦτο καλούμενοι, τοσοῦτον ἀποδέουσι

---

[1]) Ita Codd. Regius et Basileensis. Libri autem editi (v. c. edd. Spenc.) ἐκτεθεῖσθαι. R.

[2]) Hoeschel. in textu, Spenc. ad marg, αἱρεῖν.

[3]) Hoeschel. et Spenc. ὁρμήσει. Jam Boherell. vero: »Lego: ὁρμήσαι.«

[4]) Ita recte Codd. Reg. et Basil. atque Anglican. primus. Libri vero editi (v. c. edd. Spenc.): κατὰ Μωϋσέως. R. — Jam Boherellus: »Lego: κατὰ Μωυσέα.«

[5]) Cfr. Epiphan. Haeres. 37. a verbis: Οἱ Ὀφῖται μὲν γάρ, κτλ. Augustin. de Haer., Clem. Stromat. VII. a verbis: Αἱ δὲ ἀπὸ ὑποθέσεων, κτλ. Tertull. de praescriptionibus advers. Haereticos, cap. 47. (ed. Paris. pag. 93.) »Accesserunt his haeretici etiam illi, qui Ophitae nuncupantur. Nam serpentem magnificant in tantum, ut illum etiam ipsi Christo praeferant. Ipsa enim, inquiunt, scientiae nobis boni et mali originem dedit. Hujus animadvertens potentiam et majestatem Moses, inquiunt, ae-

τοῦ εἶναι Χριστιανοὶ, ὥστε οὐκ ἔλαττον Κέλσου κατηγορεῖν αὐτοὺς τοῦ Ἰησοῦ· καὶ μὴ πρότερον προσίεσθαί τινα ἐπὶ τὸ συνέδριον ἑαυτῶν, ἐὰν μὴ ἀρὰς θῆται κατὰ τοῦ Ἰησοῦ. Ὅρα γοῦν πῶς ἀλογώτατον πεποίηκεν ὁ Κέλσος, ἐν τοῖς κατὰ Χριστιανῶν λόγοις παραλαβών [1]) ὡς Χριστιανοὺς τοὺς μηδ' ἀκούειν θέλοντας τὸ ὄνομα τοῦ Ἰησοῦ, κἂν ὅτι σοφός τις, ἢ [2]) μέτριος τὰ ἤθη ἄν-

reum posuit serpentem: et quicunque ipsum adspexerunt, sanitatem consecuti sunt. Ipse, ajunt praeterea, Christus in Evangelio suo imitatur serpentis ipsius sacram potestatem, dicendo: *et sicut Moses exaltavit serpentem in deserto, ita exaltari oportet filium hominis.* Ipsum introducunt ad benedicenda Eucharistica sua.« Damascen. de Haeres. »Ophitaei anguem venerantur, eumque Christum esse existimant: asservant etiam verum serpentem in specu.« Ephiphan. Haeres. 37., quae est Ophitarum, a verbis: Ἔχουσι γὰρ φύσει ὄφιν τρέφοντες ἐν κίστῃ τινί, κτλ. Theodoret. lib. I. de Haer. fab. in Ophitis: »Quidam autem ex ipsis dicunt Christum, in serpentis speciem transmutatum, virginis uterum subiisse, et ita miseri intelligunt dictum Apostoli: *Qui, cum in forma Dei esset, non rapinam*« etc. (Philipp. II, 6. seqq.)

[1]) Ita Cod. Jolian. ad marg. habet. Libri impressi (v. c. edd. Spenc.) παραβαλών. R.

[2]) Hoeschel. et Spencerus: ἢ μέτριος τὰ ἤθη, ἢ ἄνθρωπός τις ἦν. Sed a Mss. abest secundum ἤ, ante vocem ἄνθρωπος. Ceterum aut fallitur hoc loco Origenes, dum ait Ophianos nec in suum sodalitium ante quemquam admittere quam Jesum exsecratus fuerit, nec Jesu nomen audire sustinere, ne ut hominis quidem sapientis et bene compositis moribus; aut impii illi Ophiani, quos noverat, prorsus diversi erant ab Ophianis, de quibus Irenaeus lib. I. cap. 30. num. 12. »Jesum autem, quippe ex virgine per operationem Dei generatum, sapientiorem, et mundiorem, et justiorem hominibus omnibus fuisse, Christum perplexum Sophiae descendisse, et sic factum esse Jesum Christum.« Philastrius lib. I. cap. 1. com-

ϑρωπός τις ἦν. Τί οὖν εἴη ἂν ἠλιθιώτερον, ἢ μανικώτερον, οὐ μόνον τῶν ἀπὸ τοῦ ὄφεως ὡς ἀρχηγοῦ τῶν καλῶν χρηματίσαι βουληθέντων· ἀλλὰ καὶ Κέλσου, νομίσαντος κατὰ Χριστιανῶν εἶναι κατηγορίας, τὰς κατὰ τῶν Ὀφιανῶν; Πάλαι μὲν οὖν ὁ τὴν εὐτέλειαν ἀγαπήσας φιλόσοφος[1]) Ἑλλήνων, καὶ παράδειγμα ἐκθεὶς εὐδαίμονος βίου, ὡς οὐ κωλυόμενος εὐδαιμονεῖν ἀπὸ τῆς παντελοῦς ἀκτημοσύνης,[2]) Κυνικὸν ἑαυτὸν ἀνηγόρευσεν· οὗτοι δὲ οἱ ἀνόσιοι ἀπὸ τοῦ πολεμιωτάτου ἀνθρώποις ὄφεως καὶ φρικτοτάτου, ὡς οὐκ ἄνθρωποι, ὧν ἐχθρός ἐστιν ὄφις, ἀλλ' ὡς ὄφεις, σεμνύνονται ἐπὶ τῷ Ὀφιανοὶ καλεῖσθαι· καὶ Εὐφράτην[3]) τινὰ εἰσηγητὴν τῶν ἀνοσίων αὐχοῦντες λόγων.

29. Εἶθ' ἑξῆς, ὡς Χριστιανοῖς λοιδορούμενος, καὶ κατηγορῶν τῶν κατηραμένον εἰπόντων τὸν Μωϋσέως

---

memorat Ophianos, qui ante Christi adventum orti sunt. Horum forte surculi erant Ophiani, de quibus hoc loco agit Origenes. R. — Jam Boherellus: »Particula ἤ ante vocem ἄνθρωπος expungenda videtur, deleta praecedente virgula.«

[1]) Scil. Diogenes Cynicus.

[2]) Codd. Reg. et Basil. εὐδαιμοσύνης. R.

[3]) Spencerus: Euphraten hujus haeresis auctorem fuisse solus Origenes tradit. An ab eo alius sit, cujus meminit Theodoretus lib. I. de Haer. fab. in Peratis, viderint studiosi. »Ademes autem, inquit, Charystius, et Peraticus Euphrates, a quo Peratae vocati sunt, qui in ea sententia fuerunt, dicunt unum,« etc. Certe Peratarum, vel Peraticorum, haeresin antiquissimam fuisse testatur Clemens, Stromat. VII. cap. XVII. in fine: Τῶν δ' αἱρέσεων αἱ μὲν ἀπὸ ὀνόματος προσαγορεύονται, ὡς ἡ ἀπὸ Οὐαλεντίνου, καὶ Μαρκίωνος, καὶ Βασιλείδου, κἂν τὴν Ματθίου αὐχῶσι προσάγεσθαι δόξαν. Μία γὰρ ἡ πάντων γέγονε τῶν ἀποστόλων ὥσπερ διδασκαλία, οὕτως δὲ καὶ ἡ παράδοσις· αἱ δὲ ἀπὸ τόπου, ὡς οἱ Περατικοί· αἱ δὲ ἀπὸ ἔθνους, ὡς ἡ τῶν Φρυγῶν, κτλ.

καὶ τοῦ κατ' αὐτὸν νόμου θεὸν, καὶ οἰόμενος Χριστιανοὺς εἶναι τοὺς ταῦτα λέγοντας, φησί· »τί ἂν ἠλιθιώτερον, ἢ μανικώτερον ταύτης τῆς ἀναισθήτου σοφίας γένοιτο; Τί γὰρ ἐσφάλετο ὁ Ἰουδαίων νομοθέτης; Καὶ πῶς τὴν ἐκείνου κοσμογένειαν σαυτῷ διά τινος, ὡς[1]) φησι, τυπώδους ἀλληγορίας λαμβάνεις, ἢ τὸν Ἰουδαίων νόμον, ἐπαινεῖς δὲ ἄκων, ὦ δυσσεβέστατε, τὸν τοῦ κόσμου δημιουργὸν, τὸν πάντα ὑποσχόμενον αὐτοῖς, τὸν τὸ γένος αὐτῶν (295) αὐξήσειν μέχρι περάτων γῆς ἐπαγγειλάμενον, καὶ ἀναστήσειν ἐκ νεκρῶν αὐτῇ σαρκὶ καὶ αἵματι, καὶ τοῖς προφήταις ἐμπνέοντα· καὶ πάλιν τοῦτον λοιδορεῖς; Ἀλλ' ὅταν μὲν ὑπὸ τούτων βιάζῃ, τὸν αὐτὸν θεὸν σέβειν ὁμολογεῖς· ὅταν δὲ τὰ ἐναντία ὁ σὸς διδάσκαλος Ἰησοῦς, καὶ ὁ Ἰουδαίων Μωϋσῆς, νομοθετῇ, θεὸν ἄλλον ἀντὶ τούτου καὶ τοῦ πατρὸς ζητεῖς.« Καὶ ἐν τούτοις δὴ ὁ γενναιότατος φιλόσοφος Κέλσος σαφῶς Χριστιανοὺς συκοφαντεῖ,[2]) λέγων τοὺς αὐτοὺς ἡνίκα μὲν ἂν Ἰουδαῖοι αὐτοὺς βιάζωνται, τὸν αὐτὸν αὐτοῖς θεὸν ὁμολογεῖν· ὅταν δὲ τὰ ἐναντία Ἰησοῦς Μωϋσῇ νομοθετῇ, ἄλλον ἀντὶ τούτου ζητεῖν. Εἴτε γὰρ Ἰουδαίοις διαλεγόμενοι, εἴτε καθ' ἑαυτοὺς ὄντες, ἕνα καὶ τὸν αὐτὸν ἴσμεν, ὃν καὶ πάλαι ἔσεβον Ἰουδαῖοι, καὶ νῦν σέβειν ἐπαγγέλλονται θεὸν, οὐδαμῶς εἰς αὐτὸν ἀσεβοῦντες. Ἀλλ' οὐδ' ἀναστήσειν ἐκ νεκρῶν αὐτῇ σαρκὶ καὶ αἵματί φαμεν τὸν θεὸν, ὡς ἐν τοῖς ἀνωτέρω[3]) λέλεκται· οὐ γὰρ τὸ σπειρόμενον ἐν φθορᾷ,[4]) καὶ ἐν ἀτιμίᾳ, καὶ ἐν ἀσθενείᾳ σῶμα ψυχικὸν φαμεν[5])

---

[1]) Boherellus: »Lego: ὡς φῄς.«

[2]) Ita Codd. Regius, Basileensis, et Anglican. secundus (itemq. Spenc. ad marg.) Alii vero Codd. cum libris editis (v. c. edd. Spenc. in textu): κατηγορεῖ. R.

[3]) Ita Codd. Reg. et Basileensis. Libri autem editi (v. c. edd. Spenc.) ἀνωτέροις. R.

[4]) Cfr. I Cor. XV, 42—44.

[5]) In edd. Spenc. uncis inclusum legitur: φαμεν.

ἀνίστασθαι, ὁποῖον ἐσπάρη. Ἀλλὰ γὰρ περὶ τούτων ἐν τοῖς ἀνωτέρω μετρίως ἡμῖν λέλεκται.

30. Εἶθ' [1]) ἑξῆς ἐπαναλαμβάνει τὰ [2]) περὶ τῶν

[1]) Ruaeus, Boherello duce, in notis: »Ad haec et seqq. verba, vide Joannis Croji specimen conjecturarum infra a nobis ad calcem hujus Tomi (pag. 934. seqq.) in lucem edendarum: adversus quem scripsit Dionys. Petavius appendicem ad Synesianas notas. Hic tantum apponam, quae ad Origenis textum attinent, omissis iis, quae explicationem et elucidationem spectant, ex ipso Croji libro, si cui libet, petenda.« — Equidem singulis Excursibus ad calcem libri VIII. contra Cels. appositis Croji verba demandavi.

[2]) Spencerus: Credo Ophianos hoc figmentum ab antiquissimis haereticis, videlicet Gnosticis, Saturnilo (Saturnino), Basilide, et Valentino mutuatos esse. Audi Epiphan. Haeres. 26., quae est Gnosticorum, pag. 91. Τὰ δὲ τῶν μειζόνων καὶ αὐτοὺς ἀρχόντων ὀνόματα ταῦτα εἶναι λέγουσι, πολλοὺς λέγοντες· ἐν μὲν τῷ πρώτῳ οὐρανῷ εἶναι τὸν Ἰαὼ ἄρχοντα, καὶ ἐν τῷ δευτέρῳ φασὶν εἶναι τὸν Σαχλᾶν ἄρχοντα τῆς πορνείας, ἐν δὲ τῷ τρίτῳ τὸν Σὴθ ἄρχοντα. Ἐν δὲ τῷ τετάρτῳ εἶναί φασι τὸν Ἀδὴν· τέταρτον γὰρ ὑποτίθενται οὐρανὸν, καὶ τρίτον· πέμπτον δὲ ἄλλον οὐρανὸν, ἐν ᾧ φασιν εἶναι τὸν Ἐλωαῖον τὸν καὶ Ἀδωναῖον. Ἐν δὲ τῷ ἕκτῳ φασὶν εἶναι οἱ μὲν τὸν Ἰαλδαβαὼθ, οἱ δὲ τὸν Ἡλιλαῖον. Ἄλλον δὲ ἕβδομον οὐρανὸν ὑποτίθενται, ἐν ᾧ λέγουσιν εἶναι τὸν Σαβαώθ. Ἄλλοι δὲ λέγουσιν· οὐχὶ, ἀλλ' ὁ Ἰαλδαβαὼθ ἐστιν ἐν τῷ ἑβδόμῳ. Ἐν δὲ τῷ ὀγδόῳ οὐρανῷ τὴν Βαρβηλὼ καλουμένην. Praedictis principibus alios adjunxere, totidemque coelos, donec ad trecentesimum sexagesimum quintum pervenerunt. Epiphan. Haeres. 24. Theodoret. lib. I. de Haer. fab. in Basilide: »Quin etiam angelorum nomina effingentes, hos quidem dixerunt primum habere coelum, illos vero secundum; et ita deinceps usque ad trecentesimum sexagesimum quintum.« Septem istos principes majores

ἑπτὰ ἀρχόντων δαιμόνων, μηδαμῶς μὲν ὑπὸ Χριστιανῶν ὀνομαζομένων, οἶμαι δ' ὑπὸ Ὀφιανῶν παραλαμ-

---

Irenaeus aliter recensuit, lib. I. cap. 30. num. 5. »Eum enim, qui a matre primus sit, Jaldabaoth vocari; eum autem, qui sit ab eo, Jao; et qui ab eo, Sabaoth magnum; quartum autem Adonaeum, et quintum Eloaeum, et sextum Horaeum; septimum autem et novissimum omnium, Astaphaeum.« Alia ab utrisque est ea septem principum, vel angelorum, enumeratio, quae invenitur inter Gemmas Basilidianas, tabula IV., in Joann. Chifletii Abraxa Proteo: *ΜΙΧΑΗΛ, ΓΑΒΡΙΗΛ, ΟΥΡΙΗΛ, ΡΑΦΑΗΛ, ΑΝΑΝΑΗΛ, ΠΡΟΣΟΡΑΙΗΛ, ΥΑΒΩΗ.* Epiph. Haer. XXIII., quae est Saturnilianorum: *Ἕνα δὲ εἶναι πατέρα ἄγνωστον, τὸν αὐτόν τε πεποιηκέναι δυνάμεις, καὶ ἀρχὰς, καὶ ἐξουσίας· τοὺς δὲ ἀγγέλους διεστάναι τῆς ἄνω δυνάμεως, ἑπτὰ δέ τινας τὸν κόσμον πεποιηκέναι, καὶ τὰ ἐν αὐτῷ· τὸν κόσμον δὲ κατὰ μεριτείαν ἑκάστῳ ἀγγέλῳ κεκληρῶσθαι.* Tertull. advers. Valentinianos, cap. 20. (ed. Paris. pag. 289.) »Tum ipsam coelorum septemplicem scenam solio desuper suo finit: unde et sabbatum dictum, ab hebdomade sedis suae.« Iren. lib. I. cap. 5. num. 2. »Septem quoque coelos fecisse, super quos demiurgum esse dicunt; et propter hoc Hebdomadam vocant eum.« Et paulo infra: »Septem autem coelos, quos intellectuales esse dicunt: angelos autem eos tradunt, et demiurgum, et ipsum angelum,« etc. Iren. lib. I. cap. 24. num. 5. de Saturnino: »Nomina quoque quaedam affingentes quasi angelorum, annuntiant, hos quidem esse in primo coelo, hos autem in secundo: et deinceps nituntur CCCLXV. ementitorum coelorum et nomina, et principia, et angelos, et virtutes exponere.« Theodoret. lib. I. de Haer. fab. in Saturnino. Idem in Ophitis: »Illum autem appellant filium Prunici. Is autem rursus alium filium produxit, et usque ad septenarium numerum processisse productiones, ab unoquoque autem eorum unum coelum fuisse fabricatum, et unumquemque proprium habitasse.« — Cfr. Excurs. I.

βανομένων. Καὶ εὕρομέν γε, ἐν ᾧ καὶ ἡμεῖς δι' ἐκείνους ἐκτησάμεθα διαγράμματι, τὴν τάξιν ὁμοίως ἐκκειμένην οἷς ὁ Κέλσος ἐξέθετο. Ὅ[1]) μὲν οὖν Κέλσος ἔλεγε »τὸν πρῶτον ἰδέᾳ λέοντος μεμορφωμένον·« οὐκ ἐκθέμενος, τίνα αὐτὸν ὀνομάζουσιν οἱ ἀληθῶς δυσσεβέστατοι· ἡμεῖς δὲ εὕρομεν, ὅτι τὸν ἐν ταῖς ἱεραῖς γραφαῖς εὐφημούμενον ἄγγελον τοῦ δημιουργοῦ, τοῦτον τὸ μιαρὸν ἐκεῖνο διάγραμμα ἔλεγεν εἶναι Μιχαὴλ[2]) τὸν λεοντοειδῆ. Πάλιν δ' αὖ ὁ μὲν Κέλσος ἔφασκε »τὸν ἑξῆς καὶ δεύτερον εἶναι ταῦρον·« ὃ δ' εἴχομεν διάγραμμα, τὸν Σουριὴλ[3]) ἔλεγεν εἶναι τὸν ταυροειδῆ. Εἶτα ὁ μὲν Κέλσος »τρίτον ἀμφίβιόν τινα, καὶ φρικώδες ἐπισυρίζοντα·« τὸ δὲ διάγραμμα τρίτον Ῥαφαὴλ[4])

---

[1]) Cfr. Excursus II.

[2]) Spencerus: Theodoret. lib. I. de Haer. fab. in Ophitis: »Dicunt autem alios cum primo seditionem agitasse, qui horum quidem erat avus, illorum vero abavus, aliorum tritavus; eum vero animi anxium, in materiae faecem cogitationem defixisse, et genuisse ex ipsa filium Ophiomorphon, sive serpentiformem: deinde gloriantem Ophiomorphi patrem dixisse: Ego Deus, et pater, et nullus me superior; matrem autem aegre tulisse, et acclamasse: Ne mentire, est enim te superior pater omnium, primus homo, filius hominis. Haec autem verba cum audiisset serpentis pater, inquit: Agite, faciamus hominem ad imaginem nostram. Quin etiam multa alia adjiciunt, quae et impietate plena sunt, et nihil habent jucunditatis. Ophiomorphum autem illum vocant Michaël et Samana.« Forsan legi debet: Samuel. Iren. lib. I. cap. 30. »Sanctam autem Hebdomadam septem stellas, quas dicunt planetas, esse volunt, et projectibilem serpentem duo habere nomina, Michaël, et Samaël, dicunt.«

[3]) Spencer. et Ruaeus in notis, hic, Boherello duce: »Ad oram librorum editorum (v. c. edd. Spenc.): Οὐριήλ, male ex (?) Crojo« hic: »Forsan legi debet: Οὐριήλ. Sic scriptum invenio in Gemmis Basilidianis Chifletii, tabula IV., ubi inter septem angelos tertiam sedem occupat.« — Cfr. Excursus III.

[4]) Crojus existimat scribendum esse: Σεραφαήλ. Cfr. Excurs. IV.

ἔλεγεν εἶναι δρακοντοειδῆ. Πάλιν τε αὖ ὁ μὲν Κέλσος »τὸν τέταρτον ἀετοῦ ἔφασκεν ἔχειν μορφήν·« τὸ δὲ διάγραμμα Γαβριὴλ [1]) ἔλεγεν εἶναι τὸν ἀετοειδῆ. Εἶθ' ὁ μὲν Κέλσος »τὸν πέμπτον ἔφασκεν εἶναι ἄρκτου [2]) πρόσωπον ἔχοντα·« τὸ δὲ διάγραμμα τὸν Θαυθαβαὼθ [3]) ἔφασκεν εἶναι τὸν ἀρκτοειδῆ. [4]) Εἶθ' ὁ μὲν Κέλσος »τὸν ἕκτον κυνὸς πρόσωπον ἔλεγεν ἱστορεῖσθαι ἔχειν παρ' ἐκείνοις·« τὸ δὲ διάγραμμα ἔφασκεν εἶναι αὐτὸν Ἐραταώθ. [5]) Εἶθ' ὁ μὲν Κέλσος »τὸν ἕβδομον ἔφασκεν ὄνου ἔχειν πρόσωπον, καὶ ὀνομάζεσθαι αὐτὸν Θαφαβαὼθ, [6]) ἢ Ὀνοήλ·« [7]) ἡμεῖς δ' ἐν τῷ διαγράμματι εὕρομεν, ὅτι οὗτος καλεῖται Ὀνοήλ, ἢ Θαρθαραὼθ, [8]) ὀνοειδής τις τυγχάνων. Ἔδοξε δὲ καὶ ἡμῖν ἀκριβῶς (296) ἐκθέσθαι τὰ τοιαῦτα, ἵνα μὴ δοκῶμεν ἀγνοεῖν ἃ Κέλσος ἐπηγγέλλετο εἰδέναι· ἀλλὰ καὶ παραστή-

---

[1]) Spencerus: »Vide Chifletii tab. IV. gemmam 15., et tab. XXI. gemmam. 87« — Cfr. Excurs. V.

[2]) Codd. Reg. Basil. et Anglican. secundus (itemq. Spenc. ad marg.) ἄρκου. R.

[3]) Crojus rescribendum putat: Θαυδοβαώθ. Cfr. Excurs. VI. — Spencerus: »Nescio, an haeresium scriptores hujus Thauthabaoth, Eratoth, Thaphabaoth, Onoëlis, et Thartharaoth, usquam meminerint. Hujus generis vocabula innumera invenies apud Epiphan. Haer. 31., quae est Valentinianorum, pag. 165. 171.«

[4]) Codd. Reg. Basil. et Anglican. secundus: ἀρκοειδῆ. R. — Cfr. pag. huj. not. 2.

[5]) Cfr. Excurs. VII. coll. pag. huj. not. 3.

[6]) Crojus reponit: Θαφασαώθ, quod improbat Petavius. Cfr. Excurs. VIII. coll. pag. huj. not. 3.

[7]) Rescribit Crojus: Ἀθονιήλ. Cfr. Excurs. VIII. coll. pag. huj. not. 3.

[8]) Boherellus: »Hanc vocem Crojus ab origine Hebraea deducit, Petavius vero ἀπὸ τοῦ Ταρτάρου. Itaque scribendum esset per *T.* Ταρταραώθ. Sed neque in hoc, neque in aliis daemonum nominibus quicquam ex mera conjectura mutare velim, ne sua textui non constet integritas.« — Cfr. Excurs. VIII. coll. pag. huj. not. 3.

σωμεν ἀκριβέστερον ἐκείνου αὐτὰ ἐγνωκότες οἱ Χριστιανοὶ, ὡς οὐ Χριστιανῶν λόγους, ἀλλὰ πάντη ἀλλοτρίων σωτηρίας, καὶ οὐδαμῶς ἐπιγραφομένων Ἰησοῦν, ἢ σωτῆρα, ἢ θεὸν, ἢ διδάσκαλον, ἢ υἱὸν θεοῦ.

31. *Εἰ δέ τις βούλεται καὶ τὰ πλάσματα τῶν γοήτων ἐκείνων μαθεῖν, δι' ὧν ἐβουλήθησαν μὲν ὑπάγειν ἀνθρώπους ἑαυτῶν τῇ διδασκαλίᾳ, ὡς ἀπόῤῥητά τινα ἔχοντες, οὐ πάνυ δ' ἐδυνήθησαν· ἀκουέτω ὃ διδάσκονται λέγειν μετὰ τὸ διελθεῖν ὃν ὀνομάζουσι »φραγμὸν κακίας,« πύλας ἀρχόντων αἰῶνι δεδεμένας· »βασιλέα μονότροπον, δεσμὸν ἀβλεψίας,*[1]) *λήθην ἀπερίσκεπτον ἀσπάζομαι, πρώτην δύναμιν, πνεύματι προνοίας καὶ σοφίᾳ τηρουμένην· ἔνθεν εἰλικρινὴς πέμπομαι, φωτὸς ἤδη μέρος υἱοῦ καὶ πατρός· ἡ χάρις συνέστω μοι, ναὶ πάτερ, συνέστω.« Καί φασι τῆς ὀγδοάδος*[2]) *τὰς ἀρχὰς ἐντεῦθεν εἶναι. Εἶθ' ἑξῆς διδάσκονται λέγειν διερχόμενοι ὃν φασιν Ἰαλδαβαὼθ·*[3]) *»σὺ δὲ μετὰ πεποιθήσεως πρῶτε καὶ ἕβδομε γεγονὼς κρατεῖν Ἰαλδαβαὼθ, ἄρχων λόγος ὑπάρχων νοὸς εἰλικρινοῦς, ἔργον τέλειον υἱῷ καὶ πατρὶ, χαρακτῆρι τύπου ζωῆς σύμβολον ἐπιφέρων, ἣν ἔκλεισας αἰῶνι σῷ πύλην κόσμῳ*[4]) *ἀνοίξας, παροδεύω τὴν σὴν ἐλεύθερος πάλιν ἐξουσίαν· ἡ χάρις*

---

[1]) Hoeschel. in textu, Spenc. ad marg. perperam: *ἀβελτίας.*

[2]) Cfr. Tertull. de praescript. adversus Haereticos, cap. 33. a verbis: »Estque haec prima Ogdoas Aeonum; exinde decem alii,« etc. Vide cap. 49. ibidem. Cf. Tertull. libro advers. Valentin. cap. 7. a verbis: »Habes Ogdoadem, tetradem duplicem,« etc. Erat »Ogdoas« mater »Achamoth,« (cfr. Iren. lib. I. cap. 5.), quae servavit »numerum primogenitae et primariae pleromatis Ogdoadis.« Vide Tertull. adversus Valent. cap. 20. Epiph. Haeres. 31. Iren. lib. I. et lib. II. cap. 12. Theodoret. lib. I. de Haer. fab. in Valentino.

[3]) Cfr. Epiphan. pag. 121., ubi *μὴ δεδυνῆσθαι εἰς τὰ ἄνω χωρεῖν* leg.

[4]) Libri editi (v. c. edd. Spenc.) ad marg. *κόσμου.*

συνέστω μοι, ναὶ πάτερ, συνέστω.« Φασὶ δὲ τῷ λεοντοειδεῖ ἄρχοντι συμπαθεῖν ἄστρον τὸν Φαίνοντα.[1]) Εἶτα οἴονται τὸν διελθόντα τὸν Ἰαλδαβαὼθ,[2]) καὶ φθάσαντα ἐπὶ τὸν Ἰαὼ[3]) δεῖν λέγειν· »σὺ δὲ κρυπτομένων μυστηρίων υἱοῦ καὶ πατρὸς ἄρχων νυκτοφαὴς δεύτερε Ἰαὼ, καὶ πρῶτε δέσποτα θανάτου, μέρος ἀθώου, φέρων ἤδη τὴν[4]) ἰδίαν ὑπήνην σύμβολον, παροδεύων[5]) σὴν ἕτοιμος ἀρχήν· κατίσχυσας[6]) τὸν ἀπὸ σοῦ γινό-

---

[1]) Cfr. Cic. lib. II. de natura Deorum, a verbis: »Nam ea, quae Saturni stella dicitur, Φαίνωνque a Graecis« etc. Vide Aristot. de Mundo cap. 2., Plutarch. lib. II. cap. 15. de placitis philosophor., Philonem in libro: Quis rerum divinarum haeres sit. — Cfr. Excurs. VIII.

[2]) Ex majoribus principibus hic primus est apud Iren. lib. I. cap. 30., septimus apud Epiphan. Haer. 26. Cfr. Tertull. de praescript. adversus Haereticos cap. 47. a verbis: »Dicunt enim de illo summo primario Aeone complures alios« etc. Cfr. Epiphan. Haer. 25. de Nicolaitis, a verbis: Ἕτεροι δὲ τῶν προειρημένων Ἰαλδαβαὼθ δοξάζουσι, κτλ.

[3]) Supremum orbem occupat apud Epiphan. Haeres. 26., apud Irenaeum (lib. I. cap. 30.) secundum. cfr. Tertull. advers. Valent. cap. 14. a verbis: »Tamen tentavit, et fortasse apprehendisset; si non idem Horos,« etc. Iren. lib. I. cap. 4. num. 1. »Et sic Horon coercentem eam, ne anterius irrueret,« etc. Theodoret. lib. I. de Haer. fab. in Valentino. Adde Clement. Alex. Strom. V., Isidor. Pelusiot. lib. I. ep. 453., Photium epist. 163. etc. — Boherellus: »Ad oram (v. c. edd. Spenc.) scribitur Ἰαδεῖν, quem Ἰαδεῖν Crojus (cfr. Excurs. VIII.) omissum observat. Sed e pag. 297. (edd. Spenc.) deest hic potius Ἀδωναῖος, inter Σαβαὼθ et Ἀσταφαιὸν collocandus.«

[4]) Ruaeus in textu: τὸν ἴδιον ὑπὸ νοῦν σύμβουλον, in notis vero: »Ita Cod. Basileensis. Hoeschel. in textu (Spenc. ad marg.) τὸν ἴδιον ὑπήνουν σύμβολον, pro quibus sine ulla Mss. auctoritate lego cum Spencero: τὴν ἰδίαν ὑπήνην σύμβολον.«

[5]) Boherellus: »Lego: παροδεύω.«

[6]) Cfr. Iren. lib. I. cap. 21. num. 3. de Marco et ejus sectatoribus, a verbis: »Alii autem adducunt ad aquam, et baptizantes ita dicunt,« etc.

μενον λόγῳ ζῶντι. Ἡ χάρις συνέστω, πάτερ, συνέστω.« Εἶθ' ἑξῆς τὸν Σαβαὼθ,[1]) πρὸς ὃν οἴονται λέξειν· »πέμπτης ἐξουσίας ἄρχων, δυνάστα Σαβαὼθ, προήγορε νόμου τῆς σῆς κτίσεως χάριτι λυομένης, πεντάδι δυνατωτέρᾳ, πάρες με, σύμβολον[2]) ὁρῶν σῆς τέχνης ἀνεπίληπτον, εἰκόνι τύπου[3]) τετηρημένον, πεντάδι λυθὲν σῶμα. Ἡ χάρις συνέστω μοι, πάτερ, συνέστω.« Ἑξῆς δὲ αὐτῷ τὸν Ἀσταφαιὸν,[4]) ᾧ πιστεύουσι τοιαῦτα ἐρεῖν· »τρίτης ἄρχων πύλης Ἀστάφαιε,[5]) ἐπίσκοπε πρώτης[6]) ὕδατος ἀρχῆς, ἕνα βλέπων μύσιην, πάρες με παρθένου πνεύματι κεκαθαρμένον, ὁρῶν οὐσίαν κόσμου. Ἡ χάρις συνέστω μοι, πάτερ, συνέστω. Μετὰ δ' αὐτὸν τὸν Αἰλωαιὸν,[7]) ᾧ τοιαῦτα λέγειν οἴονται· »δευτέρας ἄρχων πύλης Αἰλωαιὲ, πάρες με τῆς σῆς μητρὸς

---

[1]) E septem principibus tertius est, juxta Irenaeum, at secundum Epiphan. septimus. Cfr. Theodoret. lib. I. de Haer. fab. in Archonticis, a verbis: »Ex his autem nonnulli, qui dicuntur Archontici,« etc. Epiphan. Haer. 26., quae est Gnosticorum: Φασὶ δὲ τὸν Σαβαὼθ οἱ μὲν ὄνου μορφὴν ἔχειν, οἱ δὲ χοίρου. Διόπερ ἐνετείλατο, φασὶ, τοῖς Ἰουδαίοις, χοῖρον μὴ ἐσθίειν. Et paulo post: Ἔχειν δὲ καὶ τρίχας, ὡς γυναικὸς, τὸν αὐτὸν λέγουσιν οἱ τάλανες, νομίζοντες τὸ ὄνομα τὸ Σαβαὼθ ἄρχοντά τινα εἶναι. Vide Epiphan. ibid. pag. 91. 92. et Haeres. 25. pag. 73.; item Haer. 40., quae est Archonticorum, pag. 292. 293. et 295.

[2]) Spencerus: σύμβολον ὅρων κτλ.

[3]) Sic recte Mss. (itemq. Boherell.) Libri autem editi (v. c. edd. Spenc.) τύπου. R.

[4]) Hoeschel. in textu, Spenc. ad marg. Ἀσιαφιὸν. — Princeps septimus. Cfr. Iren. lib. I. cap. 30.

[5]) Hoeschel. in textu, Spenc. ad marg. Ἀσταφιέ.

[6]) Gelenius πρώτου videtur legisse. Cfr. Excurs. VIII.

[7]) Hunc principem Irenaeus et Epiphan. in orbe quinto collocant. Cfr. Iren. lib. I. cap. 30., Epiph. Haeres. 26. coll. Excurs. VIII.

φέροντά σοι σύμβολον, χάριν κρυπτομένην δυνάμεσιν ἐξουσιῶν. Ἡ χάρις συνέστω μοι, πάτερ, συνέστω.« Τελευταῖον (297) δὲ τὸν Ὡραῖον [1]) ὀνομάζουσι, καὶ πρὸς αὐτὸν λέγειν οἴονται· »ὑπερβὰς φραγμὸν πυρὸς ἀφόβως, πρώτης λαχὼν ἀρχὴν πύλης Ὡραῖε, πάρες με, σῆς ὁρῶν δυνάμεως σύμβολον καταλυθὲν [2]) τύπῳ ζωῆς ξύλου, εἰκόνι καθ' ὁμοίωσιν ληφθὲν ἀθώου. Ἡ χάρις συνέστω μοι, πάτερ, συνέστω.«

32. Ἐπὶ ταῦτα δὲ ἡμᾶς ἡ Κέλσου νομιζομένη μὲν πολυμάθεια, μᾶλλον δ' οὖσα περιεργία καὶ φλυαρία προεκαλέσατο, βουλομένους παραστῆσαι τῷ ἐντυχόντι τῇ ἐκείνου γραφῇ, καὶ τοῖς ἡμῖν πρὸς αὐτὴν γεγραμμένοις, ὅτι οὐκ ἔστιν ἀπορία ἡμῖν τῶν Κέλσου μαθημάτων, ἐφ' οἷς καταψεύδεται Χριστιανῶν, οὔτε φρονούντων, οὔτ' εἰδότων τὰ τοιαῦτα. Εἰ καὶ ἡμεῖς ἐβουλήθημεν καὶ ταῦτα γνῶναι καὶ ἐκθέσθαι, ἵνα μὴ, τῇ ἐπαγγελίᾳ τοῦ εἰδέναι [3]) τι πλέον [4]) ἡμῶν, οἱ γόητες ἐξαπατῶσι τοὺς ὑπὸ τῆς τῶν ὀνομάτων φαντασίας συναρπαζομένους. Ἐδυνάμην δὲ καὶ ἄλλα πλείονα παραθέμενος παραστῆσαι, ὅτι ἴσμεν μὲν τὰ τῶν ἀπατεώ-

---

[1]) Spencerus: Horos occurrit apud Tertullian. cap. 49., de praescript. adversus Haeret., et libro adversus Valent. cap. 14. Porro apud Iren. lib. I. cap. 2. num. 4. coll. num. 2. »Horon vero hunc et Stauron, et Lytroten, et Carpisten, et Horotheten, et Metagogea vocant.« Vide ibidem cap. 3. num. 1. 3. 5. Epiph. Haer. XXXI. pag. 167. *Terminum* invenies apud Theodoretum lib. I. de fab. Haer. in Valentino; at *Horei* (*Orei*) solus, quantum scio, Irenaeus meminit, lib. I. cap. 30. num. 5., atque illic inter principes sexto ordine recensetur. — Cfr. Excurs. VIII.

[2]) Boherellus: »Assentior Crojo, legenti: *καταγλυφθέν*.« — Cfr. Excurs. VIII.

[3]) Ita melius (Boherello quoque sic statuente) legitur in Cod. Basileensi, quam in libris editis (v. c. edd. Spenc.) *ἰδέναι*. — Cfr. Excurs. VIII.

[4]) Spenc. ad marg. *πλεῖον*.

νων, ἀρνούμεθα δὲ αὐτὰ, ὡς ἀλλότρια, καὶ ἀσεβῆ, καὶ οὐ συνυπάρχοντα τοῖς μέχρι θανάτου ὑφ' ἡμῶν ὁμολογουμένοις ἀληθῶς Χριστιανῶν λόγοις. Χρὴ μέν τοι εἰδέναι, ὅτι οἱ ταῦτα συνταξάμενοι, οὔτε τὰ μαγείας νοήσαντες, οὔτε τὰ τῶν θείων γραφῶν διακρίναντες, πάντ' ἔφυραν· ἀπὸ μὲν μαγείας [1]) τὸν Ἰαλδαβαὼθ, καὶ τὸν Ἀσταφαιὸν, καὶ τὸν Ὡραῖον· ἀπὸ δὲ τῶν Ἑβραϊκῶν γραφῶν, τὸν Ἰαωΐα [2]) παρ' Ἑβραίοις ὀνομαζόμε-

---

[1]) Spencerus: Alii ex lingua Hebraea, vel Syriaca deducunt. Vide Nicol. Gallat. in annotatt. ad Iren. lib. I. cap. 30., Petav. in animadverss. ad Epiph. Haer. 25. Theodoret. lib. I. de Haer. fab. in Marco: »Admiscent autem etiam nomina Hebraica, terrentes eos, qui initiantur, quorum meminisse duxi supervacaneum.« Idem in Barbeliotis, et in Ophianis. Iren. lib. I. cap. 21. Epiph. Haer. 25. Dissentit Salmasius libr. de annis climactericis pag. 575. »Earum, quasi Hebraicae essent, non melius successit interpretatio viris doctis, quam Aeonum Valentini appellationes ex eodem Hebraico per vim arcessitae: omnia enim illa vocabala mere Aegyptiaca sunt, ut alibi monstrabimus.« — Cfr. Excurs. VIII.

[2]) Spencerus: Grotius in annotatt. ad cap. 22. evang. secund. Matth. »Neque dubito, quin quod apud Origenem est: τὸν Ἰαωΐα παρ' Ἑβραίοις ὀνομαζόμενον, legendum sit: Ἰαὼ ἢ Ἰά, ut duo sint nomina יהוה et יה. Neque aliter quam *Jao* nomen hoc legendum Hieronymus arbitratur. Clem. Alex. Ἰαού, nisi in scriptura mendum est.« Alii aliter enuntiant. Alicubi scriptum inveni: Ἰαῦ. Apud Samaritanos est Ἰαβέ. Theodoret. Quaest. 15. in Exod., Epiph. Haer. 40. pag. 296. Phot. epist. 162. Ἐγώ εἰμι ὁ ὤν. Τοῦτο δὲ παρὰ μὲν Ἑβραίοις λέγεται Ἰαά· παρὰ δὲ Σαμαρείταις Ἰαβέ. Γράφεται δὲ καὶ γράμμασι τούτοις· ἰωθ. ἄλφ. οὐαύθ. ἦθ. Δι' ὧν δηλοῦται τὸ ἄναρχόν τε καὶ ἀτελεύτητον τοῦ θεοῦ. Diodor. lib. II. Bibl. Hist., Macrob. lib. I. cap. 18. Saturnal. et alii legunt: Ἰάω. Philo ex Sanchuniathone: Ἰευώ, apud Euseb. lib. X. cap. 9. evang. praep. — Cfr. Excurs. VIII.

νον, καὶ τὸν Σαβαὼθ, καὶ τὸν Ἀδωναῖον, καὶ τὸν Ἐλωαῖον. Τὰ δὲ ἀπὸ τῶν γραφῶν ληφθέντα ὀνόματα ἐπώνυμά ἐστι τοῦ αὐτοῦ [1]) καὶ ἑνὸς θεοῦ· ὅπερ μὴ συνιέντες οἱ ἐχθροὶ θεῷ, ὡς καὶ αὐτοὶ ὁμολογοῦσιν, φήθησαν ἄλλον μὲν εἶναι τὸν Ἰαὼ, ἕτερον δὲ τὸν Σαβαὼθ, καὶ τρίτον παρὰ τοῦτον τὸν Ἀδωναῖον, ὃν λέγουσιν αἱ γραφαὶ Ἀδωναΐ, καὶ ἄλλον τὸν Ἐλωαῖον, ὃν οἱ προφῆται ὀνομάζουσιν Ἑβραΐστι Ἐλωΐ. [2])

33. Εἶθ' ἑξῆς ἄλλους μύθους ὁ Κέλσος ἐκτίθεται, ὥς τινων εἰς τὰς ἀρχοντικὰς μορφὰς ἐπανερχομένων, ὥστε τινὰς μὲν καλεῖσθαι [3]) λέοντας, ἄλλους δὲ ταύρους, καὶ ἄλλους δράκοντας, [4]) ἢ ἀετοὺς, ἢ ἄρκτους, [5]) ἢ κύνας.« Εὕρομεν δὲ ἐν ᾧ εἴχομεν διαγράμματι καὶ ὃ ὠνόμασε Κέλσος τετράγωνον σχῆμα, καὶ τὸ ἐπὶ τῶν τοῦ παραδείσου πυλῶν λεγόμενον ὑπὸ τῶν ἀθλίων ἐκείνων. [6]) Ἐζωγραφεῖτο δὲ ὡς διάμετρος κύκλου τινὸς πυροειδοῦς ἡ φλογίνη ῥομφαία, ὡς δορυφορουμένη τῷ τε τῆς γνώσεως ξύλῳ, καὶ τῆς ζωῆς. Ὁ μὲν

---

[1]) Vocem: αὐτοῦ, quae (Boherello quoque teste) ab editis (e. c. edd. Spenc.) exciderat, restituunt omnes Codd. Mss. R.

[2]) Quatuor Mss. Reg. Basil. Vatican. et Anglican. secund. (itemq. edd. Spenc. ad marg.) Ἐλωαΐ.

[3]) Ita Codd. Reg. et Basileensis. Libri impressi (v. c. edd. Spenc.) πνέεσθαι, pro quo Crojus (cfr. Excurs. VIII.) legebat: γενέσθαι. R.

[4]) Epiph. Haer. 26. pag. 91. Εἶναι δὲ δρακοντοειδῆ τὸν ἄρχοντα τὸν κατέχοντα τὸν κόσμον τοῦτον, καὶ καταπίνοντα μὲν τὰς ψυχὰς τὰς μὴ ἐν γνώσει ὑπαρχούσας, καὶ διὰ τῆς κέρκου πάλιν ἐπιστρέφοντα εἰς τὸν κόσμον, κἀντεῦθεν εἰς χοίρους, καὶ εἰς ἄλλα ζῶα, καὶ πάλιν διὰ τῶν αὐτῶν ἀναφερομένας.

[5]) Spenc. ad marg. ἄρκους.

[6]) Post ἐκείνων aliquid Guieto videtur deesse, forte: ξίφος, ut sensus sit: τὸ ἐπὶ τῶν τοῦ — ἐκείνων ξίφος. R.

οὖν Κέλσος οὐκ ἠθέλησε τὰς δημηγορίας, ἢ οὐκ ἐδυνήθη ἐκθέσθαι, ἃς καθ' ἑκάστην πύλην, κατὰ τοὺς τῶν ἀσεβῶν μύθους, ἐροῦσιν οἱ διϊόντες αὐτάς· ἡμεῖς δὲ καὶ τοῦτο πεποιήκαμεν, ἵνα τὸ τῆς ἀτελέστου τελετῆς πέρας δείξωμεν τῷ Κέλσῳ, καὶ τοῖς ἐντυγχάνουσι τῇ γραφῇ, ἐγνωκέναι ὡς ἀλλότριον [1]) τῆς Χριστιανῶν περὶ τὸ θεῖον εὐσεβείας.

34. Μετὰ δὲ τὸ ἐκθέσθαι τὰ προειρημένα, καὶ τα ἀνάλογον [2]) αὐτοῖς, ἅτινα ἡμεῖς προσεθήκαμεν, τοιαῦτά (298) φησιν ὁ Κέλσος· »οἱ δ' ἔτι προστιθέασιν ἄλλα ἐπ' ἄλλοις, προφητῶν λόγους, καὶ κύκλους ἐπὶ κύκλοις, καὶ ἀποῤῥοίας ἐκκλησίας ἐπιγείου, καὶ περιτομῆς, καὶ Προυνικοῦ τινος ῥέουσαν δύναμιν παρθένου, καὶ ψυχὴν ζῶσαν, καὶ σφαζόμενον οὐρανὸν ἵνα ζήσῃ, καὶ γῆν σφαζομένην μαχαίρᾳ, καὶ πολλοὺς σφαζομένους ἵνα ζήσωσι, καὶ παυόμενον ἐν κύσμῳ θάνατον, ὅταν ἀποθάνῃ ἡ τοῦ κόσμου ἁμαρτία, καὶ κάθοδον [3]) αὖθις στενὴν, καὶ αὐτομάτως ἀνοιγομένας πύλας. Πανταχοῦ δ' ἐκεῖ τὸ τῆς ζωῆς ξύλον, καὶ ἀνάστασις σαρκὸς ἀπὸ ξύλου· διότι, οἶμαι, ὁ διδάσκαλος αὐτῶν σταυρῷ ἐνηλώθη, καὶ ἦν τέκτων τὴν τέχνην. Ὡς [4]) εἰ ἔτυχεν ἐκεῖνος ἀπὸ κρημνοῦ ἐῤῥιμμένος, ἢ εἰς βάραθρον ἐωσμένος, ἢ ἀγχόνῃ πεπνιγμένος, ἢ σκυτοτόμος, ἢ λιθοξόος, ἢ σιδηρεύς· ἦν ἂν ὑπὲρ τοὺς οὐρανοὺς κρημνὸς ζωῆς, ἢ βάραθρον ἀναστάσεως, ἢ σχοινίον ἀθανασίας, ἢ λίθος μακάριος, ἢ σίδηρος ἀγάπης,

---

[1]) Spenc. et Ruaeus in textu: ἀλλότρια, Ruaeus vero in notis: »Lego: ἀλλότριον, quod refero ad praecedens τὸ πέρας.«

[2]) Codd. Reg. et Basil. ἄνάλογα. R.

[3]) Hoeschel. in textu, Spenc. ad marg. male: καθόλου.

[4]) Sic Mss. et Hoeschel. in textu (Spenc. ad marg.) At Spenc. (in textu): Ὅς εἰ ἔτυχεν. R.

ἢ σκῦτος [1]) ἅγιον. [2]) Ἤ τίς γραῦς, ἐπὶ τῷ βαυκαλῆσαι παιδίον μῦθον ἐπάγουσα, τοιαῦτο ψιθυρίζειν οὐκ ἂν ἠσχύνθη;« Ἐν τούτοις δὲ δοκεῖ μοι φύρειν τὰ παρακούσματα ὁ Κέλσος. Εἰκὸς γὰρ, ὅτι εἴ [3]) τι ἤκουσεν οἱασδηποτοῦν [4]) αἱρέσεως λεξείδιον, μὴ τρανώσας αὐτὸ κἂν κατὰ τὸ βούλημα ἐκείνης, ἀλλὰ τὰ ῥημάτια συμφορήσας, ἐπεδείκνυτο ἐν τοῖς μηδὲν ἐπισταμένοις, μήτε τῶν ἡμετέρων, μήτε τῶν ἐν ταῖς αἱρέσεσιν, ὡς ἄρα πάντα τὰ Χριστιανῶν γιγνώσκοι. Τοῦτο δὲ δῆλον ποιεῖ καὶ ἡ προκειμένη λέξις.

35. Τὸ μὲν γὰρ χρῆσθαι προφητῶν λόγοις ἡμῶν ἐστι, τῶν παριστάντων Ἰησοῦν εἶναι τὸν προκεκηρυγμένον ὑπ' αὐτῶν Χριστὸν, καὶ ἀποδεικνύντων ἐκ τῶν προφητικῶν τὰ ἐν τοῖς εὐαγγελίοις περὶ τοῦ Ἰησοῦ πληρωθέντα. Τὸ δὲ »κύκλους ἐπὶ κύκλοις« λέγειν, τάχα μὲν καὶ τῆς προειρημένης ἐστὶν αἱρέσεως κύκλῳ περιλαμβανούσης ἑνὶ, ἣν φασιν εἶναι τὴν τῶν ὅλων ψυχὴν καὶ Λευϊαθὰν, τοὺς ἑπτὰ τῶν ἀρχοντικῶν κύκλους· τάχα δὲ καὶ ἀπὸ τοῦ Ἐκκλησιαστοῦ ἐστι παράκουσμα, λέγοντος· »κυκλοῖ [5]) κυκλῶν πορεύεται τὸ πνεῦμα, καὶ ἐπὶ κύκλους αὐτοῦ ἐπιστρέφει τὸ πνεῦμα.« Τὸ δ' »ἀποῤῥοίας ἐκκλησίας ἐπιγείου καὶ περιτομῆς« τάχα ἐλήφθη ἀπὸ τοῦ ὑπό τινων λέγεσθαι ἐκκλησίας τινὸς ἐπουρανίου καὶ κρείττονος αἰῶνος ἀπόῤῥοιαν εἶναι τὴν ἐπὶ γῆς ἐκκλησίαν· καὶ περιτομῆς τινος ἐν καθαρσίῳ τινὶ ἐκεῖ γεγενημένης σύμβολον εἶναι τὴν ἐν τῷ νόμῳ γε-

---

[1]) Edd. Spenc. et Ruaei: *σκύτος*.

[2]) Libri antea editi (v. c. edd. Spenc.) *ἅγιόν ἐστιν. Ἤ τίς γραῦς κτλ.*, sed a Mss. recte abest *ἐστίν*, et Boherell. insuper delendam putat partic. *ἤ*. R.

[3]) Uncis includuntur in libris antea editis (v. c. edd. Spenc.) verba: *εἴ τι*, et desiderantur in Mscr. Anglicano primo. R. [4]) Spencerus: *οἱασποτοῦν*.

[5]) Guieto videtur scribendum: *κύκλῳ κυκλῶν*. R. — Cfr. Ecclesiast. 1, 6.

γραμμένην. Προυνικὸν[1]) δέ τινα σοφίαν οἱ ἀπὸ Οὐαλεντίνου ὀνομάζουσι, κατὰ τὴν πεπλανημένην ἑαυτῶν σοφίαν· ἧς σύμβολον εἶναι βούλονται καὶ[2]) δώδεκα ἔτεσιν αἱμορροοῦσαν·[3]) ἣν παρακούσας ὁ ἅμα πάντα φύρων τὰ Ἑλλήνων, καὶ βαρβάρων, καὶ τῶν ἐν ταῖς αἱρέσεσιν, εἶπε τὸ Προυνικοῦ τινος δύναμιν ῥέουσαν παρθένου. »Ψυχὴ δὲ ζῶσα« τάχα μὲν ἐν ἀπορρήτοις λέλεκται (299) παρά τισι τῶν ἀπὸ Οὐαλεντίνου, εἰς τὸν ὑπ' αὐτῶν ὀνομαζόμενον ψυχικὸν δημιουργόν· τάχα δὲ, καὶ πρὸς ἀντιδιαστολὴν ψυχῆς νεκρᾶς ἡ ζῶσα ψυχὴ οὐκ ἀγεννῶς παρά τισι λέλεκται ἡ τοῦ σωζομένου. Σφαζόμενον δ' οὐκ οἶδα οὐρανὸν λελεγμένον, ἢ γῆν σφαζομένην μαχαίρᾳ, καὶ πολλοὺς σφαζομένους ἵνα ζήσωσι· καὶ οὐκ ἀπεικός ἐστιν ἀφ' ἑαυτοῦ ταῦτα κεκομικέναι τὸν Κέλσον.

36. Παυόμενον δὲ ἐν κόσμῳ θάνατον, ὅταν ἀποθάνῃ ἡ τοῦ κόσμου ἁμαρτία, λέγοιμεν ἂν ἡμεῖς τὸ παρὰ τῷ ἀποστόλῳ μυστικὸν διηγούμενοι οὕτως ἔχον· »ὅταν[4]) δὲ πάντας τοὺς ἐχθροὺς ὑποτάξῃ ὑπὸ τοὺς πόδας αὐτοῦ, τότε ἔσχατος ἐχθρὸς καταργεῖται ὁ θάνατος.« Λέλεκται δὲ καί· »ὅταν[5]) τὸ φθαρτὸν τοῦτο ἐνδύσηται ἀφθαρσίαν, τότε γενήσεται ὁ λόγος ὁ γε-

---

[1]) Ita optime Cod. Vaticanus. Vitiosam esse libror. editorum (v. c. edd. Spenc.) lectionem: *Προυνικήν*, inde patet, quod ipsimet paulo post habeant: *Προυνικοῦ τινος*. R. — Spencerus: Cfr. Petav. in animadverss. ad Epiph. Haer. XXXI. coll. Epiph. Haer. XXXVII. Vide ibid. pag. 272. Iren. lib. I. cap. 29. (33.) 30. (34.) Epiphan. Haer. XXV. pag. 78. et Petav. animadversiones ad eandem Haeresin.

[2]) Guieto videtur scribendum: *τὴν δώδεκα ἔτεσιν*. R. — Vide Iren. lib. I. cap. 1. Ephiphan. Haer. XXXI. pag. 206. 207.

[3]) Cfr. Matth. IX, 20.

[4]) Cfr. I Cor. XV, 25. coll. 26.

[5]) Cfr. I Cor. XV, 54. coll. Hos. XIII, 14.

γραμμένος· κατεπόθη ὁ θάνατος εἰς νῖκος.« Κάθοδον δὲ αὖθις στενὴν τάχα οἱ τὴν μετενσωμάτωσιν εἰσάγοντες φήσουσιν. Αὐτομάτως δὲ ἀνοιγομένας πύλας λελέχθαι οὐκ ἀπίθανόν ἐστιν ὑπό τινων αἰνισσομένων καὶ διηγουμένων τό· »ἀνοίξατέ [1]) μοι πύλας δικαιοσύνης, ἵν' εἰσελθὼν ἐν αὐταῖς ἐξομολογήσωμαι τῷ κυρίῳ· αὕτη ἡ πύλη τοῦ κυρίου, δίκαιοι εἰσελεύσονται ἐν αὐτῇ.« Καὶ πάλιν ἐν ἑνάτῳ ψαλμῷ λέλεκται· »ὁ [2]) ὑψῶν με ἐκ τῶν πυλῶν τοῦ θανάτου, ὅπως ἂν ἐξαγγείλω πάσας τὰς αἰνέσεις σου, ἐν ταῖς πύλαις τῆς θυγατρὸς Σιών.« Πύλας δὲ θανάτου τὰς ἐπὶ τὴν ἀπώλειαν φερούσας ἁμαρτίας φησὶν εἶναι ὁ λόγος· ὥσπερ καὶ πύλας Σιὼν ἐκ τοῦ ἐναντίου τὰς καλὰς πράξεις· οὕτω δὲ καὶ πύλας δικαιοσύνης, ὅπερ ἴσον ἐστὶ τῷ τὰς πύλας τῆς ἀρετῆς· αὗται δὲ ἐξ ἑτοίμου ἀνοίγονται τῷ μεταδιώκοντι τὰς κατ' ἀρετὴν πράξεις. Περὶ δὲ τοῦ τῆς ζωῆς ξύλου [3]) εὐκαιρότερόν τις διηγήσεται, ἑρμηνεύων τὰ περὶ τὸν ἐν τῇ Γενέσει ἀναγεγραμμένον παράδεισον τοῦ θεοῦ φυτευόμενον ὑπ' αὐτοῦ. Πολλάκις μὲν οὖν ἐχλεύασεν ὁ Κέλσος ἢν οὐκ ἐνόησεν ἀνάστασιν· νῦν δ', οὐκ ἀρκεσθεὶς τοῖς εἰρημένοις, φησὶ »λέγεσθαι ἀνάστασιν σαρκὸς ἀπὸ ξύλου·« παρακούσας, οἶμαι, τοῦ συμβολικῶς εἰρημένου, ὅτι διὰ ξύλου θάνατος, καὶ διὰ ξύλου ζωή· θάνατος [4]) μὲν κατὰ τὸν Ἀδάμ, ζωὴ δὲ κατὰ τὸν Χριστόν. Εἶτα παίζων τὰ περὶ τοῦ ξύλου, ἀπὸ δύο τόπων αὐτὸ χλευάζει, λέγων· »διὰ τοῦτο αὐτὸ παραλαμβάνεσθαι, ἢ ὅτι ἐπὶ σταυρῷ ἐνηλώθη ὁ διδάσκαλος ἡμῶν, ἢ ἐπεὶ τέκτων ἦν τὴν τέχνην·« οὐχ ὁρῶν, ὅτι τὸ ξύλον τῆς ζωῆς ἐν τοῖς Μωϋσέως ἀναγέγραπται γράμμασιν· ἀλλὰ καὶ οὐ βλέπων, ὅτι οὐδα-

[1]) Cfr. Psalm. CXVIII, 19. 20. (CXVII.)
[2]) Cfr. Psalm. IX, 13. 14.
[3]) Cfr. Gen. II, 9.
[4]) Cfr. I Cor. XV, 22.

μοῦ [1]) τῶν ἐν ταῖς ἐκκλησίαις φερομένων εὐαγγελίων τέκτων αὐτὸς ὁ Ἰησοῦς ἀναγέγραπται.

37. Οἴεται δὲ καὶ τροπολογοῦντας ἡμᾶς περὶ τοῦ σταυροῦ ἀναπεπλακέναι τὸ ξύλον τῆς ζωῆς, καὶ ἀκολούθως ἑαυτοῦ τῷ περὶ τούτου σφάλματί φησιν· »ὅτι εἴπερ ἔτυχεν ἐκεῖνος κατὰ κρημνοῦ ἐῤῥιμμένος, ἢ εἰς βάραθρον ἐωσμένος, ἢ ἀγχόνῃ πεπνιγμένος· ἦν ἂν ὑπὲρ τοὺς οὐρανοὺς ἀναπεπλασμένος κρημνὸς (300) ζωῆς, ἢ βάραθρον ἀναστάσεως, ἢ σχοινίον ἀθανασίας.« Πάλιν τ' αὖ φησιν, ὅτι »εἴπερ διὰ τὸ τέκτονα αὐτὸν γεγονέναι ἀναπέπλασται τὸ ξύλον τῆς ζωῆς· ἠκολούθησεν ἄν, εἰ μὲν σκυτοτόμος ἦν, λέγεσθαί τινα περὶ σκύτους ἁγίου· εἰ δὲ λιθοξόος, περὶ λίθου μακαρίου· εἰ δὲ σιδηρεύς, περὶ σιδήρου ἀγάπης.« Τίς οὖν οὐχ ὁρᾷ αὐτόθεν τὸ εὐτελὲς αὐτοῦ τῆς κατηγορίας, διαλοιδορουμένου ἀνθρώ-

---

[1]) Vide tamen Marc. VI, 3. coll. Grotio in annotatt. ad Matth. XIII, 55. Audi Justin. in dial. cum Tryphone, pag. 316. a verbis: *Καὶ ἐλθόντος τοῦ Ἰησοῦ ἐπὶ τὴν Ἰορδάνην, καὶ νομιζομένου Ἰωσὴφ τοῦ τέκτονος υἱοῦ ὑπάρχειν, κτλ.* — Spencerus: Nobis etiam vetustissimae picturae Josephum exhibent una cum Jesu tabulas ligneas, et instrumenta huic arti propria tractantem. In ore omnium aut faber, aut fabri lignarii filius audit. Bedam solummodo et Hilarium juvat seorsim ire, qui artem ferrariam eundem exercuisse volunt: hic Can. in Matth. XIII. »Plane hic fabri erat filius, ferrum igne vincentis, omnem seculi virtutem judicio decoquentis, massamque formantis in omne opus utilitatis humanae:« ille libro in Evang. secund. Marcum, cap. 2. »Nam etsi humana non sunt comparanda divinis, typus tamen integer est, quia Pater Christi igni operatur et spiritu. Unde et de ipso tanquam de fabri filio praecursor suus ait: Ipse vos baptizabit in spiritu sancto et igne: quia vasa irae sui spiritus igne moliendo in misericordiae vasa commutat.«

πους, οὓς ἐπηγγείλατο ἐπιστρέφειν ὡς ἀπατωμένους; Ἑξῆς δὲ τούτοις λέγει ἁρμόζοντα μὲν τοῖς ἀναπλάσασι[1]) τούς[2]) τε λεοντοειδεῖς καὶ ὀνοκεφάλους καὶ δρακοντοειδεῖς ἄρχοντας, καὶ εἴ τις ἐκείνοις παραπλησίως ἐμυθολόγησεν· οὐ μὴν καὶ τοῖς ἀπὸ τῆς ἐκκλησίας. Ἀληθῶς γὰρ καὶ γραῦς ἐπὶ τῷ βαυκαλῆσαι παιδίον μεθύουσα μῦθον ἐπᾴδειν τοιοῦτον, καὶ ψιθυρίζειν τῷ παιδίῳ ἐπῃσχύνθη, ὁποῖον οἱ τοὺς ὀνοκεφάλους ἀναπλάσαντες,[3]) καὶ τὰς καθ' ἑκάστην πύλην ὡσπερεὶ δημηγορίας. Τὰ δὲ τῶν ἀπὸ τῆς ἐκκλησίας ὁ Κέλσος οὐκ ἐπίσταται, ἅπερ πάνυ ὀλίγοι ἰσχύκασι[4]) συνιέναι, οἱ πάντα τὸν βίον ἑαυτῶν ἀναθέντες, κατὰ τὴν Ἰησοῦ ἐντολήν, τῷ ἐρευνᾶν[5]) τὰς γραφάς· καὶ μᾶλλον τῶν φιλοσοφησάντων Ἑλλήνων περί τινος νομιζομένης ἐπιστήμης ἀνάληψιν, κεκμηκότες περὶ τὴν ἐξέτασιν τοῦ βουλήματος τῶν ἱερῶν γραμμάτων.

38. Οὐκ ἀρκεσθεὶς δ' ὁ γεννάδας τοῖς ἀπὸ τοῦ διαγράμματος, ἐβουλήθη ὑπὲρ τοῦ αὐξῆσαι τὰς καθ' ἡμῶν κατηγορίας, τῶν μηδὲν ἐχόντων κοινὸν πρὸς ἐκεῖνο, διὰ μέσου ἀλλ' ἄττα[6]) εἰπεῖν, ἐπαναλαβὼν τὰ ἐκείνων ὡσπερεὶ[7]) ἑτέρων. Φησὶ γάρ· »θαῦμα δ' αὐτῶν οὐχ ἥκιστα ἐκεῖνο· ἐξηγοῦνται γάρ τινα μεταξὺ τῶν ὑπερουρανίων ἀνωτέρω κύκλων ἐπιγεγραμμένα. Ἄλλα τε, καὶ δύο ἄττα, μεῖζόν τε καὶ μικρότερον υἱοῦ καὶ πατρός.« Εὕρομεν δ' ἡμεῖς ἐν τούτῳ τῷ διαγράμματι τὸν

---

[1]) Spenc. et Ruaeus in textu: ἀναπλάσμασι, Ruaeus vero, Boherello duce, in notis: »Lege: ἀναπλάσασι.« — Cfr. pag. huj. not. 3.

[2]) Spenc. ad marg. τοὺς δέ.

[3]) Cfr. pag. huj. not. 1.

[4]) Sic Codd. Reg. et Basil. Alias: ἠσχήκασι. R. — Spenc. ἠσκήσασι. [5]) Cfr. ev. Joann. V, 39.

[6]) Spenc. ἅττα.

[7]) Hoeschel. in textu, Spenc. ad marg. ὡς περὶ ἑτέρων.

μείζονα κύκλον καὶ τὸν μικρότερον· ὧν ἐπὶ τῆς διαμέτρου ἐπεγέγραπτο πατὴρ καὶ υἱός· καὶ μεταξὺ τοῦ μείζονος, ἐν ᾧ ὁ [1]) μικρότερος ἦν, καὶ [2]) ἄλλους συγκειμένους ἐκ δύο κύκλων, τοῦ μὲν ἐξωτέρου ξανθοῦ, τοῦ δὲ ἐνδοτέρω [3]) κυανοῦ, τὸ ἐπιγεγραμμένον διάφραγμα πελεκοειδεῖ σχήματι. Καὶ ἀνωτέρω μὲν αὐτοῦ κύκλον βραχὺν ἐχόμενον τοῦ μείζονος τῶν προτέρων, ἐγγεγραμμένην ἔχοντα »ἀγάπην·« κατωτέρω δὲ ἐχόμενον τοῦ κύκλου, γεγραμμένην ἔχοντα »ζωήν.« Τῷ δὲ δευτέρῳ κύκλῳ ἐνεγέγραπτο, περιπεπλεγμένῳ καὶ ἐμπεριειληφότι ἄλλους δύο κύκλους, καὶ ἄλλο σχῆμα ῥομβοειδὲς, Σοφίας [4]) πρόνοιαν. Καὶ ἔνδον μὲν τῆς κοινῆς αὐτῶν τομῆς, Σοφίας φύσις. Ἀνωτέρω δὲ τῆς κοινῆς αὐτῶν τομῆς κύκλος ἦν, ἐν ᾧ ἐπεγέγραπτο »γνῶσις·« κατωτέρω δὲ ἄλλος, ἐν ᾧ ἐπεγέγραπτο »σύνεσις.« Καὶ ταῦτα δὲ παρειλήφαμεν (301) εἰς τὸν κατὰ Κέλσου λόγον, ἵνα παραστήσωμεν τοῖς ἐντυγχάνουσι, τρανότερον ἐκείνου ἐγνωκέναι, καὶ οὐκ ἐκ παρακουσμάτων, τὰ καὶ ὑφ' ἡμῶν κατηγορούμενα. Εἰ δὲ καὶ ὑπισχνοῦνται οἱ ἐπὶ τοῖς τοιούτοις σεμνυνόμενοι μαγικήν τινα γοητείαν, καὶ τοῦτ' ἔστιν αὐτοῖς τὸ τῆς σοφίας κεφάλαιον· ἡμεῖς μὲν οὐ διαβεβαιούμεθα, οὐδὲ γὰρ ἱστορήσαμεν τὸ τοιοῦτον. Κέλσος δ' ἂν εἰδείη, ὁ πολλάκις ἤδη ἀλοὺς ψευδομαρτυριῶν καὶ ἀλόγων κατηγοριῶν, πότερον καὶ ἐν τούτοις ψεύδεται, ἢ [5]) τι περὶ τινων ξένων καὶ ἀλλοτρίων τῆς πίστεως τοιοῦτον καταλαβὼν ἐξέθετο ἐν τῷ ἑαυτοῦ συγγράμματι.

---

[1]) Deest ὁ in ed. Ruaei.

[2]) Boherellus: »Gelenius vertit, quasi legatur: καὶ ἄλλου συγκειμένου, quod sequendum puto.«

[3]) Boherellus: »Lege: ἐνδοτέρου.«

[4]) Boherellus: »Malim in recto: Σοφίας πρόνοια.«

[5]) Spenc. εἴ τι κτλ. Jam Boherell. vero: »Malim: ἤ τι.«

39. Εἶτα πρὸς τοὺς χρωμένους, φησὶ,[1]) μαγείᾳ τινὶ καὶ γοητείᾳ, καὶ καλοῦντας ὀνόματα βαρβαρικὰ δαιμόνων τινῶν, τοιαῦτα·[2]) ὅτι ὅμοιον οὗτοι πράττουσι τοῖς ἐπὶ τοῖς αὐτοῖς ὑποκειμένοις τερατευομένοις πρὸς τοὺς μὴ εἰδότας ἄλλα μὲν αὐτῶν εἶναι τὰ ὀνόματα παρ' Ἕλλησιν, ἄλλα δὲ παρὰ Σκύθαις. Εἶτ' ἐκτίθεται ἀπὸ Ἡροδότου[3]) λαβών, ὡς „τὸν μὲν Ἀπόλλωνα Γογγόσυρον[4]) καλοῦσι Σκύθαι, τὸν δὲ Ποσειδῶνα Θαγιμασάδα,[5]) τὴν δ' Ἀφροδίτην Ἀργίμπασαν,[6]) Ἑστίαν[7]) δὲ Ταβιτί.« Ἐξετάσει δὲ ὁ δυνάμενος, μή πη καὶ περὶ τούτων σὺν Ἡροδότῳ ὁ Κέλσος ψεύδεται· ἅτε μὴ ἐπισταμένων Σκυθῶν τὰ αὐτὰ Ἕλλησιν ὑποκείμενα περὶ τῶν νομιζομένων θεῶν. Ποία γὰρ πιθανότης, τὸν Ἀπόλλωνα Γογγόσυρον[8]) παρὰ Σκύθαις καλεῖσθαι; Οὐ γὰρ ἡγοῦμαι, ὅτι μεταλαμβανόμενος[9]) εἰς Ἑλλάδα φωνὴν ὁ Γογγόσυρος[10]) τὴν ἑτυμολογίαν παρίστησι

---

[1]) Libri editi (v. c. edd. Spenc. uncis partic. ὥς appositis): ὥς φησι. Sed redundat illud ὡς, quod nec in omnibus Mss. exstat. Praeterea verbum φησί collocari malim ante τοιαῦτα sequens. R.

[2]) Hoeschel. in textu, Spenc. ad marg. ταῦτα.

[3]) Cfr. Herodot. lib. IV. cap. 59.

[4]) Sic ubique omnes Codd. Mss. (itemq. edd. Spenc. ad marg.) Apud vulgatos Herodoti libros (itemq. in textu edd. Spenc.) Οἰτόσυρον. R.

[5]) Codd. Regius, Basileensis, Vatican. et Anglicanus secundus: Θαγιμασάδα, alii: Θατιμασάδα. Vulgati Herodoti libri (itemq. edd. Spenc. in textu): Θαμιμασάδην. R. — Edd. Spenc. ad marg. Θασιμάσαδα.

[6]) Omnes Mss. (itemq. edd. Spenc. ad marg.) Ἀργίμπασαν. Vulgati Herodoti libri (itemq. edd. Spenc. in textu): Ἀρτίμπασαν. R.

[7]) Edd. Herodoti: Ἱστίην.

[8]) Spenc. in textu: Οἰτόσυρον, ad marg. Γογγόσυρον. Cfr. pag. huj. not. 4.

[9]) Spenc. perperam: μεταλαμβανόμενον.

[10]) Spenc. in textu: Οἰτόσυρος, ad marg. Γογγόσυρος. Cfr. pag. huj. not. 8.

τοῦ Ἀπόλλωνος· ἢ ὁ Ἀπόλλων εἰς τὴν Σκυθῶν διάλεκτον, τὸν Γογγόσυρον [1]) σημαίνει. Οὕπω δὲ οὐδὲ περὶ τῶν λοιπῶν ταὐτόν τι ἐρεῖ·[2]) ἀπ' ἄλλων γὰρ ὁρμώμενοι Ἕλληνες πραγμάτων καὶ ἐτυμολογιῶν, οὕτως ὠνόμασαν τοὺς παρ' ἑαυτοῖς νομιζομένους θεούς· ἀπ' ἄλλων δὲ Σκύθαι· οὕτω δὲ καὶ ἀπ' ἄλλων μὲν Πέρσαι· ἀπ' ἄλλων δὲ Ἰνδοί, ἢ Αἰθίοπες, ἢ Λίβυες· ἢ ὅπως φίλον ἑκάστοις ὀνομάζειν, μὴ μείνασιν ἐπὶ τῆς πρώτης καὶ καθαρᾶς ἐννοίας τοῦ τῶν ὅλων δημιουργοῦ. Αὐτάρκως δ' ἡμῖν εἴρηται καὶ ἐν τοῖς πρὸ τούτων, βουλομένοις παραστῆσαι μήτ' [3]) αὐτὸν εἶναι Σαβαὼθ, ἢ Λία· ὅτε καὶ περὶ τῶν διαλέκτων τι ἀπὸ τῶν θείων παρετιθέμεθα γραμμάτων. Ἑκόντες οὖν ὑπερβαίνομεν ταῦτα, ἐν οἷς ἐπὶ ταυτολογίαν ἡμᾶς ὁ Κέλσος καλεῖ. Εἶτα, πάλιν φύρων τὰ ἀπὸ τῆς μαγικῆς γοητείας, καὶ προσάπτων τάχα μὲν οὐδενὶ, τῷ μὴ εἶναι τοὺς μαγγανεύοντας, προφάσει τῆς κατὰ τὸν χαρακτῆρα τοῦτον θεοσεβείας, τάχα δέ τισι καὶ πρὸς τοὺς εὐξεπατήτους χρωμένοις τοιούτοις, ἵνα δοκοῖεν θείᾳ δυνάμει τι ποιεῖν, ἐκτίθεταί τινα, λέγων· »τί με δεῖ καταριθμεῖν ὅσοι καθαρμοὺς ἐδίδαξαν, ἢ λυτηρίους ᾠδὰς, ἢ ἀποπομπίμους φωνὰς, ἢ ἐκτύπους,[4]) ἢ δαιμονίους σχηματισμοὺς, ἐσθήτων,[5]) ἢ ἀριθμῶν ἢ λί-

---

[1]) Spenc. in textu: *Οἰτύσυρον*, ad marg. *Γογγόσυρον*. Cfr. pag. 370. not. 8.

[2]) Boherellus: »Forte: *εἴρηται*.« Spencerus: »Lego: *ἐρῶ*.« — Legendum aut: *ταὐτόν τι εἴρηται*, aut: *ταὐτόν τις ἐρεῖ*.

[3]) Guieto scribendum videtur: *μὴ τὸν αὐτὸν εἶναι Σαβαὼθ, ἢ Λία*, vel potius: *μὴ τὸν αὐτὸν εἶναι Σαβαὼθ, καὶ Λία*. R.

[4]) Sic Cod. Anglican. primus, libri autem editi (v. c. edd. Spenc.) *κτύπους*. R. — Boherellus: „Legendum, cum interprete Gelenio: *τύπους*."

[5]) Spenc. et Ruaeus in textu: *αἰσθητῶν*. Jam Bo-

θων, (302) ἢ φυτῶν, ἢ ῥιζῶν, καὶ ὅλως παντοδαπῶν χρημάτων παντοῖα ἀλεξιφάρμακα;" *Περὶ ὧν οὐκ ἀπαιτεῖ ἡμᾶς ἀπολογήσασθαι τὸ εὔλογον· ἅτε οὐδὲ κατὰ ποσὸν ἐνεχομένους τοιαύταις ὑπονοίαις.*

40. *Μετὰ ταῦτα παραπλήσιόν τι ποιεῖν μοι δοκεῖ τοῖς διὰ πολλὴν τὴν πρὸς Χριστιανοὺς ἀπέχθειαν διαβεβαιουμένοις πρὸς τοὺς μηδαμῶς εἰδότας τὰ Χριστιανῶν, ὅτι ἄρα τῇ πείρᾳ κατείληφε*[1]) *Χριστιανοὺς ἐσθίοντας σάρκας παιδίων, καὶ μίξεσι ταῖς πρὸς τὰς παρ' αὐτοῖς γυναῖκας ἀνέδην*[2]) *χρωμένους. Ὡς*[3]) *γὰρ ταῦτα λεγόμενα, ἤδη καὶ ὑπὸ τῶν πολλῶν, καὶ πάντη ἀλλοτρίων τῆς καθ' ἡμᾶς θεοσεβείας, καταγιγνώσκεται ὡς κατεψευσμένα Χριστιανῶν· οὕτως εὐρεθείη ἂν καὶ τὰ τοιαῦτα τῷ Κέλσῳ κατεψευσμένως εἰρημένα, ἐν οἷς ἔφησεν „ἑωρακέναι παρά τισι πρεσβυτέροις, τῆς ἡμετέρας δόξης τυγχάνουσι, βιβλία βάρβαρα, δαιμόνων ὀνόματα ἔχοντα, καὶ τερατείας·" καὶ ἔφασκε, τούτους »τοὺς δῆθεν πρεσβυτέρους τῆς ἡμετέρας δόξης οὐδὲν μὲν χρηστὸν ὑπισχνεῖσθαι, πάντα δ' ἐπ' ἀνθρώπων βλάβαις.« Καὶ εἶθε πάντα τὰ ὑπὸ Κέλσου κατὰ Χριστιανῶν λεγόμενα τοιαῦτα ἦν, ἵν' ὑπὸ τῶν πλείστων ἐλέγχηται, πείρᾳ καταλαβόντων τὰ τοιαῦτα εἶναι ψευδῆ, ἐκ τοῦ καὶ συμβεβιωκέναι Χριστιανῶν τοῖς πλείστοις, καὶ μηδὲν τοιοῦτο περὶ αὐτῶν μηδ' ἀκηκοέναι.*

41. *Μετὰ ταῦτα, ὡσπερεὶ ἐπιλαθόμενος ὅτι κατὰ Χριστιανῶν αὐτῷ πρόκειται γραφεῖν, φησὶ, Διονύσιόν »τινα, μουσικὸν Αἰγύπτιον συγγενόμενον αὐτῷ, εἰρηκέναι περὶ τῶν κατὰ τὴν μαγείαν, ὅτι πρὸς ἀπαιδεύ-*

---

herellus vero, quem Ruaeus in notis sequitur: »Legendum, cum interprete Gelenio: *ἐσθήτων*.«

[1]) Boherellus: „Lego: *κατειλήφασι*."

[2]) Sic Codd. Reg. Basil. et Vaticanus. Libri editi (v. c. edd. Spenc.) *ἀναίδην*. R.

[3]) Boherellus: „Forte legendum: *Ὡς γὰρ αὐτὰ λεγόμενα, ἤδη*" κτλ.

τους μὲν αὐτὴ δύναται, καὶ πρὸς διαφθαρέντας τὰ ἤθη· πρὸς δὲ τοὺς φιλοσοφήσαντας, οὐδὲν οἷα τέ ἐστιν ἐνεργεῖν, ἅτε τῆς ὑγιεινῆς διαίτης προνοησαμένους.« Εἰ μὲν οὖν προέκειτο περὶ μαγείας νῦν ἡμῖν διαλαβεῖν, κἂν προσεθήκαμεν[1]) οἷς ἀνωτέρω περὶ αὐτῆς εἰρήκαμεν εἰς τοῦτο ὀλίγα· ἐπεὶ δὲ τὰ ἐπικαιρότερα χρὴ λέγειν πρὸς τὸ Κέλσου σύγγραμμα, περὶ μαγείας φαμὲν, ὅτι ὁ βουλόμενος ἐξετάσαι, πότερόν ποτε καὶ φιλόσοφοι ἀλωτοί εἰσιν αὐτῇ, ἢ[2]) μὴ, ἀναγνώτω τὰ γεγραμμένα Μοιραγένει[3]) τῶν Ἀπολλωνίου τοῦ Τυανέως μάγου καὶ φιλοσόφου ἀπομνημονευμάτων· ἐν οἷς ὁ μὴ Χριστιανὸς, ἀλλὰ φιλόσοφος ἔφησεν ἁλῶναι ὑπὸ τῆς ἐν Ἀπολλωνίῳ μαγείας οὐκ ἀγεννεῖς τινας φιλοσόφους, ὡς πρὸς γόητα αὐτὸν εἰσελθόντας· ἐν οἷς, οἶμαι, καὶ περὶ Εὐφράτου[4]) πάνυ διηγήσατο, καί τινος Ἐπι-

---

[1]) Spenc. προσεθήκαμεν ἐν οἷς κτλ. Jam Boherell. vero: „Dele ἐν, natum e fine voc. praecedentis."

[2]) Recte Codd. Reg. et Basil. (itemq. Boherell. in not.) ἢ μή. Libri autem editi (e. c. edd. Spenc.) male: εἰ μή. R.

[3]) Guieto scribendum videtur: *Μοιραγένει περὶ τῶν Ἀπολλωνίου.* R. — De Moeragene Spencerus: „At ejus libris fidem adhibendam negat Philostratus lib. I. cap, 3. de vita Apollonii: *Οὐ γὰρ Μοιραγένει τε προσεκτέον, βιβλία μὲν ξυντιθέντι ἐς Ἀπολλώνιον τέτταρα, πολλὰ δὲ τῶν περὶ τὸν ἄνδρα ἀγνοήσαντι.* In dubio sum, an eundem signet lib. V. cap. 6. cum Damis et Maximus Aegiensis, teste Philostrato, de Apollonii gestis commentarios scripserint: *Καὶ ἐάσθω τὰ τοῦ Μουσωνίου, πλείω ὄντα καὶ θαυμασιώτερα, ὡς μὴ δοκοίην θρασύνεσθαι πρὸς τὸν ἀμελῶς αὐτὰ εἰπόντα.* Moeragenis meminit Tzetzes, Chil. 11. Hist. 60., Plutarch. lib. IV. Sympos. cap. 5."

[4]) Boherellus: „Hic excidit τοῦ. *Εὐφράτου τοῦ πάνυ.*" — Cfr. Spenc. annotatio coll. Philostrat. lib. V.

κουρείου. Διαβεβαιούμεθα δὲ ἡμεῖς, καὶ τῇ πείρᾳ παραλαβόντες, ὅτι οἱ κατὰ Χριστιανισμὸν διὰ τοῦ Ἰησοῦ τὸν ἐπὶ πᾶσι θεραπεύοντες θεὸν, καὶ βιοῦντες κατὰ τὸ εὐαγγέλιον αὐτοῦ, ταῖς προσταχθείσαις τε εὐχαῖς συνεχέστερον καὶ δεόντως νυκτὸς καὶ ἡμέρας χρώμενοι, οὔτε μαγείᾳ, οὔτε δαιμονίοις εἰσὶν ἁλωτοί. Ἀληθῶς γὰρ »παρεμβαλεῖ[1]) ἄγγελος κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν, καὶ ῥύσεται αὐτοὺς« ἀπὸ παντὸς κακοῦ· καὶ οἱ (303) ἄγγελοι[2]) τῶν ἐν τῇ ἐκκλησίᾳ μικρῶν, καὶ τεταγμένοι εἰς τὸ προΐστασθαι αὐτῶν, διὰ παντὸς λέγονται[3]) βλέπειν τὸ πρόσωπον τοῦ ἐν οὐρανοῖς πατρός· ὅ, τί ποτ' ἐστὶ τὸ πρόσωπον, καὶ ὅ, τί ποτ' ἐστὶ τὸ βλέπειν.

42. Ἐξῆς δὲ τούτοις ἀπὸ ἄλλης ἀρχῆς ὁ Κέλσος τοιαῦτά φησι καθ' ἡμῶν· »Σφάλλονται δὲ ἀσεβέστατα ἅττα καὶ περὶ[4]) τήνδε τὴν μεγίστην ἄγνοιαν ὁμοίως ἀπὸ θείων αἰνιγμάτων πεπλανημένην, ποιοῦντες τῷ θεῷ ἐναντίον[5]) τινὰ, διάβολόν τε, καὶ γλώττῃ Ἑβραΐᾳ Σατανᾶν ὀνομάζοντες τὸν αὐτόν. Ἄλλως μὲν οὖν παντελῶς θνητὰ[6]) ταῦτα, καὶ οὐδ' ὅσια λέγειν, ὅτι δὴ ὁ μέγιστος θεὸς, βουλόμενός τι ἀνθρώποις ὠφελῆσαι, τὸν ἀντιπράσσοντα ἔχει, καὶ ἀδυνατεῖ. Ὁ τοῦ θεοῦ παῖς ἄρα ἡττᾶται ὑπὸ τοῦ διαβόλου· καὶ κολαζόμενος ὑπ' αὐτοῦ, διδάσκει καὶ ἡμᾶς τῶν ὑπὸ[7]) τούτου κολάσεων

---

cap. 10. 9. 11. et 14. lib. VI. cap. 4. et 7. lib. VII. cap. 4. 7. et 15. lib. VIII. cap. 2. et 3.

[1]) Cfr. Psalm. XXXIV, 7. (XXXIII.)

[2]) Vide Huet. lib. II. Origenian. quaest. 5.

[3]) Cfr. Matth. XVIII, 10.

[4]) Mallet Guietus: παρὰ τήνδε. R.

[5]) Cod. Regius: ἐναντιότητα, διάβολόν τε. R.

[6]) Guieto, qui τὸ· θνητά hic locum non habere existimat, scribendum videtur: πτηκτά. R.

[7]) Codd. Reg. et Basil. (itemq. Boherell. in not.) ὑπὸ τούτου. Libri editi (v. c. edd. Spenc.) ὑπὸ τούτῳ. R.

καταφρονεῖν, προαγορεύων, ὡς ἄρα ὁ Σατανᾶς καὶ αὐτὸς ὁμοίως φανεὶς ἐπιδείξεται μεγάλα ἔργα καὶ θαυμαστὰ, σφετεριζόμενος τὴν τοῦ θεοῦ δόξαν· οἷς οὐ χρῆναι προσέχειν βουληθέντας ἀποτρέπεσθαι ἐκεῖνον, ἀλλὰ μόνῳ πιστεύειν ἑαυτῷ. Ταῦτα μέν γέ ἐστιν ἄντικρυς ἀνθρώπου γόητος, ἐργολαβοῦντος καὶ προφυλαττομένου τοὺς ἀντιδοξοῦντάς τε καὶ ἀνταγείροντας.« [1]) Εἶθ' ἑξῆς τούτοις ἐκτίθεσθαι [2]) βουλόμενος τὰ αἰνίγματα, ὧν οἴεται παρακηκοότας ἡμᾶς τὰ περὶ τοῦ Σατανᾶ εἰς-άγειν, φησὶ »θεῖόν τινα πόλεμον αἰνίττεσθαι τοὺς παλαιοὺς, Ἡράκλειτον [3]) μὲν λέγοντα ὧδε·« »»Εἰ δὲ χρὴ τὸν πόλεμον ἐόντα ξυνὸν, καὶ δίκην ἐρεῖν· καὶ γινόμενα πάντα κατ' ἔριν καὶ χρεώμενα·«« »Φερεκύδην [4])

---

[1]) Sic Cod. Basil. Libri editi (v. c. edd. Spenc.) ἀνταγείραντας. R.

[2]) Deest ἐκτίθεσθαι in edd. Spenc. et Ruaei. Jam Boherell. vero, quem Ruaeus sequitur: „Deest aliquid; et legendum videtur: ἐκτίθεσθαι βουλόμενος. Vide 376. not. 4.

[3]) Laërt. in Heraclito: Τῶν δὲ ἐναντίων τὸ μὲν ἐπὶ τὴν γένεσιν ἄγον, καλεῖσθαι πόλεμον καὶ ἔριν· τὸ δ' ἐπὶ τὴν ἐκπύρωσιν, ὁμολογίαν καὶ εἰρήνην.

[4]) Spencerus: Forsan haec Celsus depromsit e libris de Theologia: Ἔστι δὲ θεολογία ἐν βιβλίοις δέκα, ἔχουσα θεῶν γένεσιν καὶ διαδόχους. Suid. in Φερεκύδης. In istis libris plurima erant αἰνιγματωδῶς εἰρημένα, ut ait Clemens Strom. V. cap. 8. pag. 571. (ed. Potter. pag. 676.) Isidorus, Basilidis discipulus, in primo libro Commentarior. ad prophetam Parchor, allegoricam Pherecydis theologiam e Chami prophetia desumi opinatur. Cfr. Clem. Strom. VI. cap. 6. pag. 641. 642. (ed. Potter. pag. 767.) Philo ex Sanchuniathone apud Euseb. lib. I. cap. 10. Praepar. evang. Παρὰ Φοινίκων δὲ καὶ Φερεκύδης λαβὼν τὰς ἀφορμὰς ἐθεολόγησε περὶ τοῦ παρ' αὐτῷ λεγομένου Ὀφιωνέως θεοῦ, καὶ τῶν Ὀφιωνιδῶν, περὶ ὧν αὖθις λέξομεν. Marsil. Ficinus in Comment. ad Plat. Apolog. Socratis. Lil. Gyrald. in Syntagm. 15. de hist.

δὲ, πολλῷ ἀρχαιότερον γινόμενον Ἡρακλείτου, μυθοποιΐαν[1]) στρατείαν στρατείᾳ παραττομένην, καὶ τῆς μὲν ἡγεμόνα Κρόνον διδόναι, τῆς ἑτέρας δὲ Ὀφιονέα, προκλήσεις τε καὶ ἀμίλλας αὐτῶν ἱστορεῖ·[2]) συνθήκας τε αὐτοῖς γίγνεσθαι, ἵν' ὁπότεροι αὐτῶν εἰς τὸν Ὠγηνὸν[3]) ἐμπέσωσι, τούτους μὲν εἶναι νενικημένους, τοὺς δ' ἐξώσαντας καὶ νικήσαντας τούτους ἔχειν τὸν οὐρανόν· τούτου δὲ βουλήματός φησιν ἔχεσθαι καὶ τὰ περὶ τοὺς Τιτᾶνας καὶ Γίγαντας μυστήρια, θεομαχεῖν ἀπαγγελλομένους· καὶ τὰ παρ' Αἰγυπτίοις περὶ Τυφῶνος, καὶ Ὥρου, καὶ Ὀσίριδος.« Εἶτ' ἐκθέμενος[4]) τὰ τοιαῦτα, καὶ μὴ παραμυθησάμενος τίνα τρόπον ἐκεῖνα μὲν λόγου ἔχεται κρείττονος, ταῦτα δέ ἐστιν ἐκείνων

Deorum. Cael. Rhodigin. lib. II. cap. 7. lection. antiquarum: „Nos in literis antiquioribus a Pherecyde traditum observavimus, daemonas olim coelo lapsos, quod nostra continet doctrina; Ophioneumque nuncupatum, hoc est daemonicum serpentem, qui antesignanus fuerit agminis ab divinae mentis placito deficientis.“

[1]) Boherello et Guieto scribendum videtur: μυθοποιεῖν. R. [2]) Boherellus: »Lego: ἱστορεῖν.«

[3]) Spencerus: Id est, in Oceanum. Cfr. Hesych. et Suidas. Inter deos vero Oceanus est antiquissimus, teste Homero, Iliad. XIV. vers. 201., qui eundem vocat θεῶν γένεσιν. Empedoclis carmina de lapsis et fugatis daemonibus, quae Plutarchus laudat in libro de vitando aere alieno cap. 7. (ed. Hutten. pag. 215. seq.), huic interpretationi favent; ubi *Πόντονδε διώκει* indicat eosdem daemonas ad Oceani, vel maris, ima fuisse deturbatos: Ἀποφυγὴ δ' οὐκ ἔστιν ἐπὶ τὰς νομὰς ἐκείνας καὶ τοὺς λειμῶνας, ἀλλὰ πλάζονται, καθάπερ οἱ θεήλατοι καὶ οὐρανοπετεῖς ἐκεῖνοι τοῦ Ἐμπεδοκλέους δαίμονες·

Αἰθέριον μὲν γάρ σφε μένος πόντονδε διώκει.
Πόντος δ' ἐς χθονὸς οὖδας ἀνέπτυσε· γαῖα δ' ἐς αὐγὰς
Ἠελίου ἀκάμαντος· ὁ δ' αἰθέρος ἔμβαλε δίναις.

[4]) Cfr. pag. 375. not. 2.

παρακούσματα, διαλοιδορεῖται ἡμῖν, λέγων, μὴ »εἶναι ἐκεῖνα ὅμοια τοῖς περὶ διαβόλου δαίμονος, ἢ, ὅπερ φησὶν[1]) ἀληθέστερον, ἀνθρώπου γόητος ἀντιδοξοῦντος.« Οὕτω δ' ἀκούει καὶ Ὁμήρου, ὡς τὰ παραπλήσια τῷ Ἡρακλείτῳ, καὶ Φερεκύδῃ, καὶ τοῖς τὰ περὶ Τιτάνας καὶ Γίγαντας μυστήρια εἰσάγουσιν,[2]) αἰνισσομένου ἐν τούτοις τοῦ Ἡφαίστου πρὸς τὴν Ἥραν τοῖς λόγοις φάσκοντος·

Ἴδη[3]) γάρ με καὶ ἄλλοτ' ἀλεξέμεναι μεμαῶτα

(304) Ῥῖψε ποδὸς τεταγὼν ἀπὸ βηλοῦ θεσπεσίοιο·

καὶ τοῖς τοῦ Διὸς πρὸς τὴν Ἥραν οὕτως·

Ἴσ[4]) οὐ μέμνῃ,[5]) ὅτε τ' ἐκρέμω ὑψόθεν, ἐκ δὲ ποδοῖϊν

Ἄκμονας ἧκα δύω, περὶ χερσὶ δὲ δεσμὸν ἔηλα

Χρύσεον, ἄῤῥηκτον; σὺ δ' ἐν αἰθέρι καὶ νεφέλῃσιν

Ἐκρέμω· ἠλάστεον δὲ θεοὶ κατὰ μακρὸν Ὄλυμπον,

Λῦσαι δ' οὐκ ἐδύναντο παρασταδόν· ὃν δὲ λάβοιμι,

Ῥίπτασκον τεταγὼν ἀπὸ βηλοῦ, ὄφρ' ἂν ἵκηται[6])

Γῆν ὀλιγηπελέων. —

Καὶ διηγούμενός γε τὰ Ὁμηρικὰ ἔπη, φησὶ, λόγους »εἶναι τοῦ θεοῦ πρὸς τὴν ὕλην τοὺς λόγους τοῦ Διὸς πρὸς τὴν Ἥραν· τοὺς δὲ πρὸς τὴν ὕλην λόγους αἰνίττεσθαι, ὡς ἄρα ἐξ ἀρχῆς αὐτὴν πλημμελῶς ἔχουσαν

---

[1]) Edd. Spenc. et Ruaei in textu: *φασίν*. Jam Boherell. vero, quem Ruaeus in notis sequitur: »Malim: *φησίν*.«

[2]) Spencerus: *εἰσάγουσιν, ἐν τούτοις αἰνισσομένου*.

[3]) Cfr. Iliad. I. vers. 590. seq. — Edd. Spenc. ad marg. *Ἴδη γὰρ καὶ ἄλλοτ' ἀλεξέμεναι*.

[4]) Cfr. Iliad. XV. vers. 18—24.

[5]) Origen. Mss. (itemq. edd. Spenc. ad marg.) *μέμνησ' ὅτ' ἐκρέμω*. R. — Edd. Spenc. in textu: *μέμνη ὅτι τ' ἐκρέμω*.

[6]) Origen. Codd. Mss. (itemq. edd. Spenc. ad marg.) *ἵκοιτο*. R.

διαλαβὼν, ἀναλογίαις τισὶ συνέδησε καὶ ἐκόσμησεν ὁ θεός· καὶ ὅτι τοὺς περὶ αὐτὴν δαίμονας, ὅσοι ὑβρισταὶ, τούτους ἀποῤῥιπτεῖ κολάζων αὐτοὺς τῇ δεῦρο ὁδῷ. Ταῦτα δὲ τὰ Ὁμήρου ἔπη οὕτω νοηθέντα[1]) τὸν Φερεκύδην φησὶν εἰρηκέναι τό· κείνης δὲ τῆς μοίρας ἔνερθέν ἐστιν ἡ ταρταρίη μοῖρα· φυλάσσουσι δ' αὐτὴν Θυγατέρες Βορέου Ἅρπυιαί τε καὶ Θύελλα, ἔνθα Ζεὺς ἐκβάλλει θεῶν ὅταν τις ἐξυβρίσῃ. Τῶν τοιούτων δέ φησιν ἔχεσθαι νοημάτων καὶ τὸν περὶ τῆς Ἀθηνᾶς πέπλον[2]) ἐν τῇ πομπῇ τῶν Παναθηναίων ὑπὸ πάντων θεωρούμενον. Ληλοῦται γὰρ, φησὶν, ἀπ' αὐτοῦ, ὅτι ἀμήτωρ τις καὶ ἄχραντος δαίμων ἐπικρατεῖ θρασυνομένων τῶν γηγενῶν. Ἀποδεξάμενος δὲ τὰ Ἑλλήνων πλάσματα ἐπιλέγει κατηγορῶν τῶν ἡμετέρων τοιαῦτα· »ὅτι[3]) θεοῦ υἱὸν ὑπὸ διαβόλου κολάζεσθαι, καὶ ἡμᾶς διδάσκει, ὡς ἂν ὑπὸ τοῦ αὐτοῦ κολαζόμενοι καρτεροῖμεν. Καὶ ταῦτα τὰ πάντη καταγέλαστα.[4]) Ἐχρῆν γὰρ, οἶμαι, κολάσαι τὸν διάβολον, ἀλλ' οὐ τοῖς ὑπ' αὐτοῦ διαβεβλημένοις ἀνθρώποις ἀπειλεῖν.«

43. Ὅρα οὖν, εἰ μὴ ὁ ἐγκαλῶν ἡμῖν, ὡς σφαλλομένοις ἀσεβέστατα, καὶ ἀποπεπλανημένοις θείων αἰνιγμάτων, αὐτὸς σαφῶς σφάλλεται· μὴ κατανοήσας, ὅτι

---

[1]) Guietus legit: *νοήσαντα*. R.

[2]) Cfr. Suid. in voc. *πέπλον*.

[3]) Guietus conjicit forte scribendum: *ὅτι θεοῦ υἱὸς ὑπὸ διαβόλου κολάζεται*, et cetera legit ut habentur in nostro textu (itemq. ad marg. edd. Spenc.), nempe: *καὶ ἡμᾶς διδάσκει, ὡς ἂν ὑπὸ τοῦ αὐτοῦ κολαζόμενοι καρτεροῖμεν*. Cujus lectionis pars posterior firmatur auctoritate quatuor Mss. Regii, Basileensis, Vaticani, et Anglicani secundi. Hoeschel. et Spenc. in textu legunt: *καὶ ἡμᾶς κολάζει ὡς ἄρα ὑπ' αὐτοῦ κολαζόμενοι καρτεροῦμεν*. R. — Jam Boherellus: »Sequere lectionem, quae est ad oram.«

[4]) Spenc. *καταγελάστατα*.

τὰ πολλῷ οὐ μόνον Ἡρακλείτου καὶ Φερεκύδου ἀρχαιότερα, ἀλλὰ καὶ Ὁμήρου, Μωϋσέως γράμματα εἰσήγαγε τὸν περὶ τοῦ πονηροῦ τούτου[1]) καὶ ἐκπεσόντος τῶν οὐρανίων λόγον. Ὁ γὰρ ὄφις,[2]) παρ' ὃν ὁ παρὰ τῷ Φερεκύδῃ γέγονεν Ὀφιονεύς, αἴτιος γενόμενος τοῦ ἐκβληθῆναι τοῦ θείου παραδείσου τὸν ἄνθρωπον, τοιαύτά τινα αἰνίσσεται, ἐπαγγελίᾳ θεότητος καὶ μειζόνων ἀπατήσας τὸ θηλύτερον γένος· ᾧ συνηκολουθηκέναι λέγεται καὶ ὁ ἀνήρ. Καὶ ὁ ἐν τῇ Μωϋσέως δὲ Ἐξόδῳ[3]) ὁλοθρευτὴς, τίς ἄλλος εἴη, ἢ (305) ὁ τοῦ ὀλέθρου τοῖς πειθομένοις αὐτῷ, καὶ μὴ ἀνθισταμένοις αὐτοῦ τῇ κακίᾳ, καὶ μὴ ἀνταγωνιζομένοις, αἴτιος; Ἔτι[4]) δὲ ὁ ἐν τῷ Λευϊτικῷ[5]) ἀποπομπαῖος, ὃν ἡ Ἑβραϊκὴ γραφὴ ὠνόμασεν Ἀζαζὴλ, οὐδεὶς ἕτερος ἦν· ὃν ἀποπέμπεσθαι καὶ ἀποτροπιάζεσθαι ἔδει[6]) τὸν κλῆρον ἔχοντα ἐν ἐρήμῳ. Πάντες γὰρ οἱ τῆς τοῦ χείρονος διὰ τὴν κακίαν μερίδος, ἐναντίοι ὄντες τοῖς ἀπὸ τοῦ κλήρου τοῦ θεοῦ, ἔρημοί εἰσι θεοῦ. Ἀλλὰ καὶ οἱ ἐν τοῖς Κριταῖς[7]) υἱοὶ Βελίαρ, τίνος ἄλλου ἢ τούτου λέγονται εἶναι υἱοὶ, διὰ τὴν πονηρίαν; Σαφῶς δὲ, παρὰ ταῦτα πάντα, ἐν τῷ ἀρχαιοτέρῳ καὶ Μωϋσέως αὐτοῦ Ἰὼβ[8]) ὁ διάβολος ἀναγέγραπται παρίστασθαι τῷ θεῷ, καὶ αἰτεῖν τὴν κατὰ τοῦ Ἰὼβ ἐξουσίαν, ἵν' αὐτὸν περιβάλῃ περιστάσεσι βαρυτάταις· πρώτῃ μὲν τῇ[9]) πάντων τῶν ὑπαρ-

---

[1]) Sic Mss. (itemq. edd. Spenc. ad marg.) Libri editi (v. c. edd. Spenc. in textu): αὐτοῦ. R.

[2]) Cfr. Gen. III. [3]) Cfr. Exod. XII, 23.

[4]) Sic Cod. Reg. (itemq. Boherell. in not.), melius quam libri editi (e. c. edd. Spenc.) ἔτι δὲ ἐν τῷ κτλ. R.

[5]) Cfr. Levit. XVI, 8.

[6]) Spenc. et Ruaeus: δεῖ. Jam Boherell. vero: »Malim: ἔδει.«

[7]) Cfr. Judic. XIX. 22. coll. XX, 13. — Cfr. insuper Suid. coll. II. Cor. VI, 15.

[8]) Cfr. Job. I. II.

[9]) Hoeschel. et Spenc. τῇ κατὰ πάντων, sed a Mss.

χόντων αὐτῷ καὶ τῶν τέκνων αὐτοῦ ἀπωλείᾳ· δευτέρᾳ δὲ κατὰ τὸ περιβαλεῖν αὐτὸν ἀγρίῳ ἐλέφαντι, τῷ οὕτω καλουμένῳ νοσήματι, πᾶν τὸ σῶμα τοῦ Ἰώβ. Ἐῶ γὰρ τὰ ἀπὸ τῶν εὐαγγελίων[1]) περὶ τοῦ πειράζοντος τὸν σωτῆρα διαβόλου, ἵνα μὴ δόξω ἀπὸ νεωτέρων γραφῶν φέρειν τὰ περὶ τοῦ ζητουμένου πρὸς τὸν Κέλσον. Καὶ ἐν τοῖς τελευταίοις δὲ τοῦ Ἰώβ,[2]) ἐν οἷς ὁ κύριος διὰ λαίλαπος καὶ νεφελῶν εἶπε τῷ Ἰώβ τὰ ἀναγεγραμμένα ἐν τῇ ὁμωνύμῳ βίβλῳ αὐτοῦ, οὐκ ὀλίγα ἐστὶ περὶ δράκοντος εἰρημένα λαβεῖν. Οὔπω λέγω καὶ τὰ ἀπὸ τοῦ Ἰεζεκιὴλ[3]) ὡς περὶ Φαραὼ, ἢ Ναβουχοδονόσορ, ἢ ἄρχοντος Τύρου· ἢ τὰ ἀπὸ τοῦ Ἡσαΐου,[4]) ἐν οἷς θρηνεῖται ὁ βασιλεὺς Βαβυλῶνος·[5]) ἀφ' ὧν οὐκ ὀλίγα τις ἂν μανθάνοι περὶ τῆς κακίας, ποίαν ἔσχεν ἀρχὴν καὶ γένεσιν, καὶ ὅτι ἀπό τινων πτεροῤῥυησάντων[6]) καὶ κατακολουθησάντων τῷ πρώτῳ πτεροῤῥυήσαντι ὑπέστη ἡ κακία.

44. Οὐ γὰρ οἷόν τ' ἦν ὅμοιον[7]) εἶναι τῷ οὐσιωδῶς ἀγαθῷ ἀγαθὸν τὸ κατὰ συμβεβηκὸς, καὶ ἐξ ἐπιγενήματος ἀγαθόν· ὅπερ τῷ μὲν, ἵν' οὕτως ὀνομάσω, τὸν ζῶντα ἄρτον[8]) ἀναλαμβάνοντι εἰς τὴν τήρησιν ἑαυτοῦ, οὐκ ἄν ποτε ἀποσυμβαίνῃ.[9]) Εἰ δέ τινι ἀποσυμβαί-

---

Codd. recte abest *κατά*. R. — Jam Boherellus: »Dele voculam *κατά*, natam e versu post hunc altero.«

[1]) Cfr. Matth. IV, 1. seqq.

[2]) Cfr. Job. XL, 20. seqq.

[3]) Cfr. Ezech. XXXII. — XXVIII.

[4]) Cfr. Jes. XIV, 4. seqq.

[5]) Hoeschel. et Spenc. in textu: *Ναβουχοδονόσορ*, sed Mss. (itemq. edd. Spenc. ad marg.) *Βαβυλῶνος*. R.

[6]) Cfr. lib. IV. contra Cels. num. 40.

[7]) Spenc. et Ruaeus in textu: *ὁμοίως εἶναι*, Ruaeus vero in notis: »Malim cum Boherello et Guieto: *ὅμοιον εἶναι*.«

[8]) Cfr. ev. Joann. V, 51.

[9]) Sic Hoeschel. et Spencerus. Aliquot Mss. *ἀποσυμβαίῃ*. R.

νει, παρὰ τὴν αἰτίαν ἐκείνου ἀποσυμβαίνει, ῥαθυμήσαντος περὶ τὸ μεταλαμβάνειν τοῦ ζῶντος ἄρτου, καὶ τοῦ ἀληθινοῦ ποτοῦ· ἀφ' ὧν τρεφόμενον, καὶ ἀρδόμενον ἐπικατασκευάζεται τὸ πτερὸν, καὶ κατὰ τὸν σοφώτατον Σολομῶντα εἰπόντα περὶ τοῦ καὶ' ἀλήθειαν πλουσίου, ὅτι[1]) »κατεσκεύασε[2]) γὰρ αὐτῷ πτέρυγας ὥσπερ ἀετὸς,[3]) καὶ ἐπιστρέφει εἰς τὸν οἶκον τοῦ προεστηκότος ἑαυτοῦ.«[4]) Ἐχρῆν γὰρ τὸν ἐπιστάμενον συγχρῆσθαι θεὸν εἰς δέον καὶ τοῖς[5]) ὑπὸ κακίας ἀποστᾶσι, κατατάξαι που τοῦ παντὸς τοὺς οὑτωσὶ κακοὺς, καὶ γυμνάσιον τὸ ὑπὲρ ἀρετῆς ποιῆσαι ἐκκεῖσθαι τοῖς βουλομένοις νομίμως[6]) ἀθλεῖν ὑπὲρ τοῦ αὐτὴν ἀναλαβεῖν· ἵν' ὡς χρυσὸς ἐν πυρὶ τῇ τῶνδε κακίᾳ βασανισθέντες, καὶ πάντα πράξαντες, ἵνα μηδὲν κίβδηλον πρόωνται[7]) ἐπὶ τὴν λογικὴν ἑαυτῶν φύσιν, ἄξιοι φανέντες τῆς εἰς τὰ (306) θεῖα ἀναβάσεως, ἀνιμηθῶσιν ὑπὸ τοῦ λόγου ἐπὶ τὴν ἀνωτάτω πάντων μακαριότητα, καὶ, ἵν' οὕτως ὀνομάσω, ἀκρώρειαν τῶν ἀγαθῶν. Ὁ δ' Ἑβραίων διαλέκτῳ Σατᾶν, καὶ Ἑλληνικώτερον ὑπό τινων ὀνομασθεὶς Σατανᾶς,[8]) μεταλαμβανόμενος εἰς Ἑλλάδα φωνὴν ἐστιν ἀντικείμενος. Πᾶς δὲ ὁ τὴν κακίαν ἑλόμενος, καὶ τὸν καὶ' αὐτὴν βίον, ὡς τὰ ἐναντία πράττων τῇ ἀρετῇ, Σατανᾶς ἐστι, τουτέστιν ἀντικείμε-

---

[1]) Cfr. Prov. XXIII, 5.

[2]) Ita Cod. Regius. Hoeschel. et Spenc. (in textu): κατεσκεύασται γὰρ αὐτῷ πτέρυγας, κτλ. R.

[3]) Boherellus: »Melius vulgo: ἀετοῦ.« — Cfr. Prov. XXIII, 5.

[4]) Boherellus: »Melius vulgo: αὐτοῦ.« — Cfr. Prov. XXIII, 5.

[5]) Hoeschel. in textu male, Spenc. ad marg. τοῖς ἀπὸ κακίας ὑπόσιασιν.

[6]) Cfr. II Tim. II, 5.

[7]) Guieto scribendum videtur: πρόσωνται. R.

[8]) Cfr. Apoc. XII, 9. XX, 2.

νος τῷ υἱῷ τοῦ θεοῦ, ὄντι δικαιοσύνη,[1]) καὶ ἀλήθεια, καὶ σοφία. Κυριώτερον δὲ ἀντικείμενός ἐστιν ὁ πρῶτος πάντων εἰρηνευόντων καὶ μακαρίως διαγόντων πτεροῤῥυήσας,[2]) καὶ ἐκπεσὼν τῆς μακαριότητος· ὃς, κατὰ τὸν Ἰεζεκιὴλ, περιεπάτησεν[3]) ἄμωμος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ, ἕως[4]) εὑρέθη ἀνομία ἐν αὐτῷ· καὶ ὧν ἀποσφράγισμα[5]) ὁμοιώσεως, καὶ στέφανος κάλλους, ἐν τῷ παραδείσῳ τοῦ θεοῦ, οἱονεὶ κορεσθεὶς τῶν ἀγαθῶν, ἐν ἀπωλείᾳ ἐγένετο, κατὰ τὸν εἰπόντα[6]) μυστικῶς πρὸς αὐτὸν λόγον· »ἀπώλεια[7]) ἐγένου, καὶ οὐκ ὑπάρξεις εἰς τὸν αἰῶνα.« Ταῦτα μὲν οὖν ὀλίγα ἀποτετολμημένως καὶ παρακεκινδυνευμένως τῇδε τῇ γραφῇ πιστεύσαντες ἐξεθέμεθα τάχα οὐδέν. Εἰ δέ τις, σχολάσας τῇ βασάνῳ τῶν ἱερῶν γραμμάτων, πανταχόθεν σωματοποιήσαι[8]) τὸν περὶ τῆς κακίας λόγον, καὶ ὡς ὑπέστη πρῶτον, καὶ τίνα τρόπον καταλύεται· ἴδοι ἄν, ὅτι οὐδ' ὅναρ ἐφαντάσθη τὸ Μωϋσέως καὶ τῶν προφητῶν περὶ τοῦ Σατανᾶ βούλημα οὔτε Κέλσος, οὔτε τις τῶν ὑπὸ τούτου τοῦ πονηροῦ δαίμονος καθελκομένων καὶ κατασπωμένων ἀπὸ θεοῦ, καὶ τῆς περὶ αὐτοῦ ὀρθῆς ἐννοίας, καὶ ἀπὸ τοῦ λόγου αὐτοῦ, τὴν ψυχήν.

45. Ἐπεὶ δὲ καὶ τὰ περὶ τοῦ καλουμένου ἀντιχρίστου παραῤῥιπτεῖ ὁ Κέλσος, οὔτε τὰ ἐν τῷ Δανιὴλ,[9]) οὔτε τὰ παρὰ τῷ Παύλῳ ἀναγνοὺς περὶ αὐτοῦ εἰρη-

---

[1]) Cfr. I Cor. I, 30.

[2]) Cfr. lib. IV. contra Cels. num. 40.

[3]) Cfr. Ezech. XXVIII, 15.

[4]) Vulgati Ezech. libri: ἕως εὑρέθη τὰ ἀδικήματα ἐν σοί.

[5]) Cfr. Ezech. XXVIII, 12. 13.

[6]) Cod. Regius: εἰπόντα πρὸς αὐτὸν μυστικὸν λόγον. R. [7]) Cfr. Ezech. XXVIII, 19.

[8]) Spenc. in textu: σωματοποιήσῃ, contra fidem Mss. R. — Idem ad marg. perperam: σωματοποιῆσαι.

[9]) Cfr. Dan. VIII, 23.

μένα,[1]) οὔτε τὰ ἐν τοῖς εὐαγγελίοις[2]) ὑπὸ τοῦ σωτῆρος προφητευθέντα περὶ τῆς παρουσίας αὐτοῦ· ὀλίγα καὶ περὶ τούτου λεκτέον, ὅτι »ὥσπερ[3]) οὐχ ὅμοια πρόσωπα προσώποις,« οὕτως οὐδ' αἱ καρδίαι ὅμοιαι ταῖς καρδίαις τῶν ἀνθρώπων. Δῆλον[4]) οὖν, ὅτι εἶεν ἂν ἐν ταῖς καρδίαις τῶν ἀνθρώπων διαφοραὶ,[5]) τῶν πρὸς τὸ καλὸν νενευκότων, οὐκ ἐπίσης καὶ παραπλησίως ἀλλήλοις πάντων τυπωθέντων καὶ μορφωθέντων πρὸς αὐτὸ, καὶ τῶν δι' ἀμέλειαν τοῦ καλοῦ ἐπὶ τὰ ἐναντία ἀπτόντων. Καὶ ἐν[6]) τούτοις γὰρ, ἐν[7]) οἷς μέν ἐστι σφόδρα κεχυμένη ἡ κακία, ἐν οἷς δ' ἐπ' ἔλαττον. Τί οὖν ἄτοπον, δύο, ἵν' οὕτως ὀνομάσω, ἀκρότητας, τὴν μὲν τοῦ καλοῦ, τὴν δὲ τοῦ ἐναντίου, ἐν ἀνθρώποις γίγνεσθαι· ὥστε τὴν μὲν τοῦ καλοῦ ἀκρότητα εἶναι ἐν τῷ κατὰ τὸν Ἰησοῦν νοουμένῳ ἀνθρώπῳ, ἀφ' οὗ ἡ τοσαύτη ἐῤῥύησε τῷ γένει τῶν ἀνθρώπων ἐπιστροφὴ, καὶ θεραπεία, καὶ βελτίωσις· τὴν δὲ τοῦ ἐναντίου ἐν τῷ κατὰ τὸν ὀνομαζόμενον ἀντίχριστον. Πάντα δὲ τῇ ἑαυτοῦ προγνώσει ἐκπεριλαβὼν ὁ θεὸς, καὶ ἰδὼν τὰ περὶ ἀμφοτέρων τούτων, ἐβουλήθη περὶ (307) τούτων γνωρίσαι διὰ τῶν προφητῶν τοῖς ἀνθρώποις, ἵνα οἱ συνιέντες τῶν λόγων αὐτῶν οἰκειωθῶσι μὲν τῷ κρείττονι, φυλάξωνται δὲ ἀπὸ τοῦ ἐναντίου. Ἐχρῆν δὲ τὸν μὲν ἕτερον τῶν ἄκρων, καὶ βέλτιστον, υἱὸν ἀναγορεύεσθαι

---

[1]) Cfr. II Thess. II, 3. 4.

[2]) Cfr. Matth. XXIV, 4. seqq.

[3]) Cfr. Prov. XXVII, 19.

[4]) Spenc. in textu: *δῆλον ὅτι εἶεν κτλ.*, ad marg. *δηλονότι εἶεν κτλ.*

[5]) Spenc. *διαφοραὶ, καὶ τῶν κτλ.*

[6]) In edd. Spenc. uncis inclusum legitur: *ἐν.*

[7]) Spenc. ad marg., R. in notis: »Scribendum videtur: *ἐνίοις μέν ἐστι σφόδρα κεχυμένη ἡ κακία, ἐνίοις δ' ἐπ' ἔλαττον.*«

τοῦ θεοῦ, διὰ τὴν ὑπεροχήν· τὸν δὲ τούτῳ κατὰ διάμετρον ἐναντίον, υἱὸν τοῦ πονηροῦ δαίμονος, καὶ Σατανᾶ, καὶ διαβόλου. Εἶτ' ἐπεὶ τότε μάλιστα τὸ ψεῦδος ἐν τῇ χύσει τῆς κακίας, καὶ τῇ ἀκρότητι αὐτῆς, εἶναι χαρακτηρίζεται, ὅτε ὑποζώννυται τὸ χεῖρον· διὰ τοῦτο περὶ τὸν χείρονα γίνεται, ἐκ συνεργίας τῆς τοῦ πατρὸς αὐτοῦ διαβόλου, σημεῖα,[1]) καὶ τέρατα, καὶ δυνάμεις ψεύδους. Ὑπὲρ γὰρ τὰς εἰς τοὺς γόητας γινομένας ἀπὸ δαιμόνων συνεργίας πρὸς τὰ φαυλότατα τῶν ἀνθρώπους ἀπατώντων, γίνεται συνεργία ἀπ' αὐτοῦ τοῦ διαβόλου, ἐπὶ ἀπάτῃ τοῦ γένους τῶν ἀνθρώπων. Λέγει δὲ ὁ Παῦλος, περὶ τούτου τοῦ καλουμένου ἀντιχρίστου διδάσκων, καὶ παριστὰς μετά τινος ἐπικρύψεως τίνα τρόπον ἐπιδημήσει, καὶ πότε τῷ γένει τῶν ἀνθρώπων, καὶ διὰ τί. Καὶ ὅρα, εἰ μὴ σεμνότατα περὶ τούτων ὁ Παῦλος ἐκτίθεται, καὶ οὐκ ἀξίως χλεύης τινὸς κἂν ἐλαχίστης.

46. Λέγει δὲ οὕτως· »Ἐρωτῶμεν[2]) δὲ ὑμᾶς, ἀδελφοὶ, ὑπὲρ τῆς παρουσίας τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ[3]) ἡμῶν ἐπισυναγωγῆς ἐπ' αὐτὸν, εἰς[4]) τὸ μὴ σαλευθῆναι ὑμᾶς ἀπὸ τοῦ νοὸς, μηδὲ θροεῖσθαι, μήτε διὰ λόγου, μήτε διὰ πνεύματος, μήτε διὰ ἐπιστολῆς ὡς δι' ἡμῶν, ὡς ὅτι ἐνέστηκεν ἡ ἡμέρα τοῦ κυρίου. Μή τις ὑμᾶς ἐξαπατήσῃ κατὰ μηδένα τρόπον· ὅτι, ἐὰν μὴ ἔλθῃ ἡ ἀποστασία πρῶτον, καὶ ἀποκαλυφθῇ ὁ ἄνθρωπος τῆς ἁμαρτίας, ὁ υἱὸς τῆς ἀπωλείας, ὁ ἀντικείμενος, καὶ ὑπεραιρόμενος ἐπὶ πάντα λεγόμε-

---

[1]) Cfr. II Thess. II, 9.

[2]) Cfr. II Thess. II, 1—12.

[3]) Edd. Spenc. in textu: καὶ ἡμῶν ἐπὶ συναγωγῆς.

[4]) Post verba: εἰς τὸ μή, libri editi (v. c. edd. Spenc.) addunt, et uncis includunt voc. ταχέως, quod abest ab omnibus Mss. R. — Cfr. II Thess. II, 2.

νον θεὸν, ἢ σέβασμα· ὥστε[1]) αὐτὸν εἰς τὸν ναὸν καθίσαι τοῦ θεοῦ, ἀποδεικνύντα ἑαυτὸν, ὅτι ἐστὶ θεός. Οὐ[2]) μνημονεύετε, ὅτι, ἔτι ὢν πρὸς ὑμᾶς, ταῦτ' ἔλεγον ὑμῖν; Καὶ νῦν τὸ[3]) κατέχον οἴδατε, εἰς τὸ ἀποκαλυφθῆναι αὐτὸν ἐν τῷ αὐτοῦ καιρῷ. Τὸ γὰρ μυστήριον ἤδη ἐνεργεῖται τῆς ἀνομίας· μόνον ὁ κατέχων ἄρτι, ἕως ἐκ μέσου γένηται· καὶ τότε ἀποκαλυφθήσεται ὁ ἄνομος, ὃν[4]) ὁ κύριος ἀναλώσει[5]) τῷ πνεύματι τοῦ στόματος αὐτοῦ, καὶ καταργήσει τῇ ἐπιφανείᾳ τῆς παρουσίας αὐτοῦ· οὗ ἐστιν ἡ παρουσία, κατ' ἐνέργειαν τοῦ Σατανᾶ, ἐν πάσῃ δυνάμει, καὶ σημείοις, καὶ τέρασι ψεύδους, καὶ ἐν πάσῃ ἀπάτῃ ἀδικίας τοῖς ἀπολλυμένοις, ἀνθ' ὧν τὴν ἀγάπην τῆς ἀληθείας οὐκ ἐδέξαντο, εἰς τὸ σωθῆναι αὐτούς. Καὶ διὰ τοῦτο πέμψει[6]) αὐτοῖς ὁ θεὸς ἐνέργειαν πλάνης, εἰς τὸ πιστεῦσαι αὐτοὺς τῷ ψεύδει· ἵνα κριθῶσιν ἅπαντες οἱ μὴ πιστεύσαντες τῇ ἀληθείᾳ, ἀλλ' εὐδοκήσαντες ἐν τῇ ἀδικίᾳ.« Ἕκαστον δὲ τούτων σαφηνίσαι, οὐ τῇ παρούσῃ ἁρμόζει πραγματείᾳ. Ἡ περὶ αὐτοῦ δὲ προφητεία ἐν τῷ Δανιὴλ λέλεκται, δυναμένη τὸν φρονίμως καὶ εὐγνωμόνως ἀναγινώσκοντα ἐπιστρέψαι ἐπὶ τὸ (308) θαυμάσαι τοὺς λόγους ὡς ἀληθῶς ἐνθέους καὶ προφητικοὺς, ἐν οἷς λέλεκται τὰ περὶ τῶν μελλουσῶν βασιλειῶν, ἀρξάμενα ἀπὸ τῶν χρόνων

---

[1]) Spenc. ad marg. ὥστε αὐτὸν εἰς τὸν ναὸν τοῦ θεοῦ ὡς θεὸν καθίσαι. — Cfr. II Thess. II, 4.

[2]) Sic recte Codd. Reg. Vatican. et duo Anglicani. Hoeschel. autem et Spenc. (in textu): *Οὐ μνημονεύεται.* R.

[3]) Sic bene Cod. Regius. Hoeschel. et Spenc. (in textu): *τὸ κατέχον οἶδα.* R.

[4]) Sic Cod. Regius. Hoeschel. et Spenc., uncis voc. Ἰησοῦ appositis, in textu: *ὃν ὁ κύριος Ἰησοῦς ἀνελεῖ.* R.

[5]) Spenc. ad marg. *ἀναλώσει.* — Cfr. pag. huj. not. 4.

[6]) Sic Cod. Regius. Hoeschel. et Spenc. (in textu): *πέμπει.* R.

Δανιὴλ μέχρι τῆς φθορᾶς τοῦ κόσμου. Ἐνέστω δὲ τῷ βουλομένῳ ἐντυχεῖν αὐτῇ. Πλὴν τὰ περὶ τοῦ ἀντιχρίστου, ὅρα εἰ μὴ τοιαῦτά ἐστι· »καὶ [1]) ἐπ' ἐσχάτῳ τῆς βασιλείας αὐτῶν, πληρουμένων τῶν ἁμαρτιῶν αὐτῶν, ἀναστήσεται βασιλεὺς ἀναιδὴς προσώπῳ, καὶ συνιῶν προβλήματα, καὶ κραταιὰ ἡ ἰσχὺς αὐτοῦ, καὶ θαυμαστὰ διαφθερεῖ, καὶ κατευθυνεῖ, καὶ ποιήσει, καὶ διαφθερεῖ ἰσχυροὺς, καὶ λαὸν ἅγιον. Καὶ ὁ ζυγὸς τοῦ κλοιοῦ αὐτοῦ κατευθυνεῖ. Δόλος ἐν τῇ χειρὶ αὐτοῦ, καὶ ἐν καρδίᾳ αὐτοῦ μεγαλυνθήσεται. Καὶ [2]) δόλῳ διαφθερεῖ πολλοὺς, καὶ ἐπὶ ἀπωλείας πολλῶν στήσεται, καὶ ὡς ὰὰ χειρὶ συντρίψει.« Ὅπερ δὲ παρὰ τῷ Παύλῳ λέλεκται ἐν ᾗ ἐξεθέμην αὐτοῦ λέξει φασκούσῃ· »ὥστε [3]) αὐτὸν εἰς τὸν ναὸν τοῦ θεοῦ καθίσαι, ἀποδεικνύντα ἑαυτὸν, ὅτι ἐστὶ θεός·« τοῦτο καὶ ἐν τῷ Δανιὴλ τοῦτον εἴρηται τὸν τρόπον· »καὶ [4]) ἐπὶ τὸ ἱερὸν βδέλυγμα τῶν ἐρημώσεων, καὶ ἕως συντελείας καιροῦ συντέλεια δοθήσεται ἐπὶ τὴν ἐρήμωσιν.« Τοσαῦτα δὴ ἀπὸ πλειόνων ἔδοξεν εὔλογον εἶναί μοι παραθέσθαι, εἰς τὸ κἂν ἐπ' ὀλίγον συνιέναι τὸν ἀκροατὴν περὶ τοῦ βουλήματος τῶν θείων λόγων, διδασκόντων τὰ περὶ τοῦ διαβόλου καὶ τοῦ ἀντιχρίστου· οἷς εἰς ταῦτα ἀρκεσθέντες, ἴδωμεν καὶ ἄλλην τοῦ Κέλσου λέξιν, καὶ πρὸς αὐτὴν κατὰ τὸ δυνατὸν ἀγωνισώμεθα.

47. *Ἔλεγε δὴ μετὰ τὰ ἐκκείμενα τοιαῦτα· »Ὁπόθεν δὲ καὶ αὐτὸ τοῦτο ἐπῆλθεν αὐτοῖς, θεοῦ υἱὸν καλεῖν, σημαίνω. Ἄνδρες παλαιοὶ τόνδε τὸν κόσμον, ὡς ἐκ θεοῦ γενόμενον, παῖδά τε αὐτοῦ καὶ ἡἴθεον [5]) προς-*

---

[1]) Cfr. Dan. VIII, 23—25. — Vulgatus Daniel. textus: *καὶ ἐπ' ἐσχάτων τῆς βασιλείας αὐτοῦ.*

[2]) Sic Mss. et vulgatus Daniel. textus. Hoeschel. et Spenc. (in textu): *ἐν δόλῳ.* R.

[3]) Cfr. II Thess. II, 4.

[4]) Cfr. Dan. IX, 27.

[5]) Alii mallent: *ἀντίθεον*, alii: *ἡμίθεον.* R.

εἶπον. Πάνυ γοῦν ὅμοιος οὗτός τε κἀκεῖνος παῖς θεοῦ.« Ὡιήθη δὴ[1]) υἱὸν θεοῦ ἡμᾶς λέγειν, παραποιήσαντας τὰ περὶ τοῦ κόσμου, ὡς ἐκ θεοῦ γενομένου, καὶ υἱοῦ ὄντος αὐτοῦ, καὶ θεοῦ. Οὐ γὰρ ἐδυνήθη ἐπιστήσας τοῖς χρόνοις Μωϋσέως καὶ τῶν προφητῶν ἰδεῖν, ὅτι καθόλου τὸ εἶναί τινα υἱὸν θεοῦ πρὸ Ἑλλήνων, καὶ ὧν φησιν ὁ Κέλσος παλαιῶν ἀνδρῶν, οἱ παρ' Ἰουδαίοις προφῆται προεφήτευσαν. Ἀλλ' οὐδ' ἐβουλήθη τὸ παρὰ Πλάτωνι ἐν ταῖς ἐπιστολαῖς λελεγμένον, οὗ ἐν τοῖς ἀνωτέρω[2]) ἐμνήσθημεν, περὶ τοῦ διακοσμήσαντος τόδε τὸ πᾶν, ὡς ὄντος υἱοῦ θεοῦ, παραθέσθαι· ἵνα μὴ καὶ αὐτὸς ὑπὸ τοῦ Πλάτωνος, ὃν πολλάκις ἐσέμνυνεν, ἀναγκασθῇ παραδέξασθαι, ὅτι ὁ μὲν δημιουργὸς τοῦδε τοῦ παντὸς υἱός ἐστι τοῦ θεοῦ, ὁ δὲ πρῶτος καὶ ἐπὶ πᾶσι θεὸς πατήρ ἐστιν αὐτοῦ. Εἰ δὲ τῷ τηλικούτῳ υἱῷ τοῦ θεοῦ ἠνῶσθαι φάσκοντες[3]) τῇ ἄκρᾳ μετοχῇ ἐκείνου τὴν[4]) τοῦ Ἰησοῦ ψυχήν, οὐκ ἔτι χωριζομένην ἀπ' ἐκείνου αὐτὴν, οὐδὲν θαυμαστόν. Οἴδασι γὰρ οἱ ἱεροὶ τῶν θείων γραμμάτων λόγοι καὶ ἄλλα, δύο τῇ ἑαυτῶν φύσει τυγχάνοντα, εἰς ἓν ἀλλήλοις εἶναι λελογισμένα καὶ ὄντα. Οἷον περὶ μὲν ἀνδρὸς καὶ γυναικὸς λέλεκται· »οὐκ[5]) ἔτι εἰσὶ δύο, (309) ἀλλὰ σὰρξ μία·« περὶ δὲ τοῦ τελείου, καὶ κολλωμένου τῷ ἀληθινῷ κυρίῳ, λόγῳ, καὶ σοφίᾳ, καὶ ἀληθείᾳ, ὅτι »ὁ[6]) κολλώμενος τῷ κυρίῳ ἓν πνεῦμά ἐστιν.« Εἰ δ' »ὁ[7]) κολλώμενος τῷ κυρίῳ ἓν πνεῦμά ἐστι·« τίς μᾶλλον τῆς Ἰησοῦ ψυχῆς ἢ κἂν παραπλησίως κεκόλληται τῷ κυρίῳ, τῷ αὐτολόγῳ, καὶ αὐτοσοφίᾳ, καὶ αὐτοαληθείᾳ, καὶ αὐτοδικαιοσύνῃ;

---

[1]) Deest δή in ed. Ruaei.

[2]) Vide libri hujus num. 8. et 9.

[3]) Boberellus: »Lego: φάσκομεν.«

[4]) Hoeschel. in textu (Spenc. ad marg.) τὴν τοῦ υἱοῦ ψυχήν, sicque duo Codd. Anglicani. R.

[5]) Cfr. Gen. II. 24. coll. I Cor. VI, 16,

[6]) Cfr. I Cor. VI, 17. [7]) Cfr. I Cor. VI, 17.

Ὅπερ εἰ οὕτως ἔχει, οὐκ εἰσὶ δύο ἡ ψυχὴ τοῦ Ἰησοῦ πρὸς τὸν πάσης κτίσεως πρωτότοκον [1]) θεὸν λόγον.

48. Εἶτα ἐὰν μὲν τὴν αὐτὴν ἀρετὴν λέγοντες ἀνθρώπου καὶ θεοῦ οἱ [2]) ἀπὸ τῆς Στοᾶς φιλόσοφοι, μὴ εὐδαιμονέστερον λέγωσιν εἶναι τὸν ἐπὶ πᾶσι θεὸν τοῦ ἐν ἀνθρώποις κατ' αὐτοὺς σοφοῦ, ἀλλ' ἴσην εἶναι τὴν ἀμφοτέρων εὐδαιμονίαν· Κέλσος οὐ καταγελᾷ, οὐδὲ χλευάζει τὸ δόγμα. Ἐὰν δ' ὁ θεῖος λόγος φάσκῃ κολλᾶσθαι ὑπὸ τῆς ἀρετῆς, καὶ ἑνοῦσθαι τῷ αὐτολόγῳ τὸν τέλειον, ὡς κατὰ τοῦτον ἀναβεβηκότας, [3]) μὴ [4]) χωρίζειν ἡμᾶς τὴν Ἰησοῦ ψυχὴν τοῦ πρωτοτόκου [5]) πάσης κτίσεως, γελᾷ τὸ λέγεσθαι υἱὸν θεοῦ Ἰησοῦν· οὐχ ὁρῶν, τίνα ἐστὶ τὰ περὶ αὐτοῦ ἐν ἀποῤῥήτῳ μυστικῶς ἐν ταῖς θείαις γραφαῖς λεγόμενα. Ἵνα δὲ προσαγάγωμεν τῇ παραδοχῇ τοῦ λεγομένου τὸν βουλόμενον ἀκολουθίαις δογμάτων ἕπεσθαι, καὶ ὠφελεῖσθαι· λέγομεν, ὅτι σῶμα [6]) Χριστοῦ φασιν εἶναι οἱ θεῖοι λόγοι, ὑπὸ τοῦ υἱοῦ τοῦ θεοῦ ψυχούμενον, τὴν πᾶσαν τοῦ θεοῦ ἐκκλησίαν· μέλη δὲ τούτου τοῦ σώματος εἶναι ὡς ὅλου τούσδε τινὰς τοὺς πιστεύοντας· ἐπείπερ ὥσπερ ψυχὴ ζωοποιεῖ καὶ κινεῖ τὸ σῶμα, οὐ πεφυκὸς ἀφ' ἑαυτοῦ κινεῖσθαι ζωτικῶς· οὕτως ὁ λόγος, κινῶν ἐπὶ τὰ δέοντα, καὶ ἐνεργῶν τὸ ὅλον σῶμα τὴν ἐκκλησίαν, κινεῖ καὶ ἕκαστον μέλος τῶν ἀπὸ τῆς ἐκκλησίας, οὐδὲν χωρὶς λόγου πράττοντα. Εἴπερ οὖν τοῦτο οὐκ εὐκαταφρόνητον, ὡς οἶ-

---

[1]) Cfr. Coloss. I, 15.

[2]) Cfr. Seneca epist. 74., a verbis: »Quanti aestimamus hoc otium, quod inter deos agitur,« etc. Idem epist. 54., a verbis: Omnes mortales multo antecedes, non multo te dii antecedent,« etc.

[3]) Sic Cod. Jolian. secunda manu (itemq. Boherell.), ut referatur ad sequens: *ἡμᾶς*. Hoeschel. et Spenc. *ἀναβεβηκότος*. Guieto scribendum videtur: *κατὰ τοῦτο ἀναβεβηκότος*. R.

[4]) Boherell. *μὴ χωρίζεσθαι διδάσκειν*.

[5]) Cfr. Coloss. I, 15. [6]) Cfr. Coloss. I, 24.

μαι, ἔχει ἀκολουθίαν· τί χαλεπὸν, τῇ ἄκρᾳ καὶ ἀνυπερβλήτῳ κοινωνίᾳ πρὸς τὸν αὐτολόγον τὴν Ἰησοῦ ψυχὴν, καὶ ἁπαξαπλῶς τὸν Ἰησοῦν μὴ κεχωρίσθαι τοῦ μονογενοῦς καὶ πρωτοτόκου[1]) πάσης κτίσεως, μηδ' ἕτερον ἔτι τυγχάνειν αὐτοῦ; Ἀλλὰ ταῦτα μὲν ταύτῃ.

49. Ἴδωμεν δὲ καὶ τὰ ἑξῆς, ἐν οἷς μιᾷ λέξει ἀποφηνάμενος, καὶ μηδὲ κατὰ τὸ πιθανόν τι λέγων, κατηγορεῖ τῆς κατὰ Μωϋσέα κοσμοποιΐας, εἰπών· »Ἔτι γε μὴν καὶ ἡ κοσμογένεια μάλα εὐηθική.« Εἰ μὲν οὖν τὸν φαινόμενον αὐτῷ τρόπον τοῦ εὐηθικὴν εἶναι αὐτὴν, καί τινας πιθανότητας προηνέγκατο, κἂν ἠγωνισάμεθα πρὸς αὐτάς· οὐκ εὔλογον δέ μοι φαίνεται πρὸς τὴν ἀπόφασιν αὐτοῦ κατασκευάσαι, τίνα τρόπον οὐκ ἔστιν εὐηθική. Εἰ δέ τις βούλεται τὰ κινήσαντα[2]) ἡμᾶς καὶ μετὰ τῆς φανείσης ἀποδείξεως κατασκευασθέντα περὶ τῆς κατὰ Μωϋσέα κοσμοποιΐας θεωρῆσαι· λαβέτω τὰ πραγματευθέντα ἡμῖν εἰς τὴν Γένεσιν, ἀπὸ τῆς ἀρχῆς τοῦ βιβλίου μέχρι τοῦ· »αὕτη[3]) ἡ βίβλος γενέσεως (310) ἀνθρώπων·« ἐν οἷς πεπειράμεθα ἀπ' αὐτῶν τῶν θείων γραμμάτων κατασκευάσαι, τίς ὁ ἐν ἀρχῇ γενόμενος οὐρανὸς, καὶ γῆ, καὶ τὸ τῆς γῆς ἀόρατον, καὶ ἀκατασκεύαστον, καὶ τίς ἡ ἄβυσσος, καὶ τὸ ἐπ' αὐτῆς σκότος, τί τε τὸ ὕδωρ, καὶ τὸ ἐπιφερόμενον αὐτῷ πνεῦμα τοῦ θεοῦ, καὶ τί τὸ γενητὸν φῶς, τί τε τὸ στερέωμα παρὰ τὸν ἐν ἀρχῇ γενόμενον οὐρανὸν, καὶ οὕτω τὰ ἑξῆς. Ἀπεφήνατο δὲ μάλα εὐηθικὴν εἶναι καὶ τὴν περὶ ἀνθρώπων γενέσεως γραφὴν, μήτε τιθεὶς τὰς δείξεις, μήτ' ἀγωνιζόμενος πρὸς αὐτάς· οὐ γὰρ εἶχεν, οἶμαι, λόγους ἀνατρέψαι δυναμένους τὸ, κατ' εἰκόνα[4]) θεοῦ πεποιῆσθαι τὸν ἄνθρωπον. Ἀλλ' οὐδὲ συνίει τὸν ὑπὸ θεοῦ φυτευθέντα παράδεισον, καὶ τὴν προηγου-

---

[1]) Cfr. Coloss. I, 15.

[2]) Hoeschel. et Spenc. in marg. νικήσαντα.

[3]) Gen. V, 1. [4]) Cfr. Gen. I, 26.

μένην ἐν αὐτῷ τοῦ ἀνθρώπου ζωὴν, καὶ τὴν ἐκ περισιάσεως γενομένην, ἐκβληθέντος διὰ τὴν ἁμαρτίαν, καὶ κατοικισθέντος ἐναντίον τοῦ παραδείσου τῆς τρυφῆς. Ὁ δὲ λέγων μάλα εὐηθικῶς ταῦτ' εἰρῆσθαι, πρῶτον ἐπιστησάτω καὶ ἑκάστῳ μὲν, καὶ τῷδε· »ἔταξε[1]) τὰ Χερουβεὶμ, καὶ τὴν φλογίνην ῥομφαίαν, τὴν στρεφομένην, φυλάσσειν τὴν ὁδὸν τοῦ ξύλου τῆς ζωῆς·« εἰ[2]) δ' ἄρα μηδὲν νοήσας Μωϋσῆς ἀνέγραψε ταῦτα, ἀλλὰ παραπλήσιόν τι ποιῶν οἷς παίζοντες οἱ τῆς ἀρχαίας κωμῳδίας ποιηταὶ ἀνεγράψαντο, Προῖτος ἔκτεινε[3]) Βελλεροφόντην, ὁ δὲ Πήγασος ἦν ἐξ' Ἀρκαδίας. Ἀλλ' ἐκεῖνοι μὲν γελωτοποιεῖν θέλοντες, τοιαῦτα συνέτιτον· οὐ πιθανὸν δὲ, τὸν ὅλῳ ἔθνει γραφὰς καταλιπόντα, περὶ ὧν ἐβούλετο πεῖσαι τοὺς νομοθετουμένους, ὅτι εἶεν ἐκ θεοῦ, ἀπρόσλογα γεγραφέναι, καὶ χωρίς τινος νοῦ εἰρηκέναι τό· »ἔταξε[4]) τὰ Χερουβεὶμ, καὶ τὴν φλογίνην ῥομφαίαν, τὴν στρεφομένην, φυλάσσειν τὴν ὁδὸν τοῦ ξύλου τῆς ζωῆς·« ἢ ἄλλο τι τῶν περὶ τῆς ἀνθρώπων γενέσεως εἰρημένων, καὶ ὑπὸ τῶν παρ' Ἑβραίοις σοφῶν πεφιλοσοφημένων.

50. Ἐξῆς δὲ τούτοις, συμφορήσας ἐν ψιλαῖς ἀποφάσεσι τὰς διαφορὰς τῶν περὶ κόσμου καὶ ἀνθρώπων γενέσεώς τισι τῶν ἀρχαίων εἰρημένας, φησὶ, τοὺς »τὰ ἡμέτερα συγγράμματα λιπόντας, Μωσέα καὶ τοὺς προφήτας, οὐκ εἰδότας ἥτις ποτέ ἐστιν ἡ τοῦ κόσμου καὶ τῶν ἀνθρώπων φύσις, συνθεῖναι λῆρον βαθύν.« Εἰ μὲν οὖν εἰρήκει τὸν δοκοῦντα αὐτῷ τρόπον περὶ τοῦ λῆρον εἶναι βαθὺν τὰ θεῖα γράμματα, κἂν ἐπειράθη-

---

[1]) Cfr. Gen. III, 24.

[2]) Boherellus: »Lego: εἰ μὴ ἄρα.« — Non male, imo rectius, ut videtur.

[3]) Hoeschel. in textu, Spenc. ad marg. ἔγημε.

[4]) Cod. Reg. ἔταξεν ὁ θεὸς τὰ Χερουβίμ. R. — Cfr. Gen. III, 24.

μεν ἀνασκευάσαι τὰς φανείσας ἐκείνῳ πιθανότητας περὶ τοῦ λῆρον αὐτὰ εἶναι βαθύν· νυνὶ δὲ τὸ ὅμοιον ἐκείνῳ πράττοντες, καὶ παίζοντες, καὶ ἡμεῖς ἀποφανούμεθα, ὅτι τίς ποτέ ἐστιν ἡ φύσις τοῦ νοῦ, καὶ τοῦ ἐν τοῖς προφήταις λόγου, οὐδαμῶς ὁ Κέλσος εἰδὼς, λῆρον συνέθηκε βαθὺν, ἀλαζονικῶς αὐτὸν ἐπιγράψας »ἀληθῆ λόγον.« Ἐπεὶ δὲ ὡς σαφῆ καὶ ἀκριβῶς αὐτῷ νενοημένα προφέρει εἰς κατηγορίαν τὰ περὶ τῶν τῆς κοσμοποιΐας ἡμερῶν· ὧν τινες μὲν πρὶν φῶς καὶ οὐρανὸν γενέσθαι, ἥλιόν τε, καὶ σελήνην, καὶ ἀστέρας, παρεληλύθασι, τινὲς δὲ μετὰ τὴν τούτων γένεσιν· τοῦτο μόνον (311) ἐπισημειωσόμεθα πρὸς αὐτὸν, ὅτι ἄρ' ἔλαθε Μωϋσέα τὸ προειρηκέναι, ἓν[1]) ἐξ ἡμέραις συντετελέσθαι τὸν κόσμον δημιουργούμενον· καὶ ἑαυτοῦ ἐπιλαθόμενος τούτοις ἐπιφέρει τό· »αὕτη[2]) ἡ βίβλος γενέσεως[3]) ἀνθρώπων, ᾗ ἡμέρᾳ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν.« Ἀλλ' οὐδεμία πιθανότης ἐστὶ, μηδὲν νενοηκότα Μωϋσέα εἰρηκέναι μετὰ τὰ περὶ τῶν ἓξ ἡμερῶν τό· »ᾗ[4]) ἡμέρᾳ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν, καὶ τὴν γῆν.« Ἐὰν δέ τις νομίζῃ δύνασθαι ταῦτ' ἀναφέρεσθαι ἐπὶ τό· »ἐν[5]) ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν, καὶ τὴν γῆν·« ἐπισησάτω, ὅτι πρὸ τοῦ· »γενηθήτω[6]) φῶς, καὶ ἐγένετο φῶς·« καὶ τοῦ· »ἐκάλεσεν[7]) ὁ θεὸς φῶς ἡμέραν·« λέλεκται τό· »ἐν[8]) ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν, καὶ τὴν γῆν.«

---

[1]) Cfr. Gen. I, 31. coll. II, 2. et Exod. XX, 11.

[2]) Cfr. Gen. II, 4. coll. V, 1.

[3]) Jam Boherellus: „Vulgo nunc legitur: *γενέσεως οὐρανοῦ καὶ γῆς, ὅτε ἐγένετο· ᾗ ἡμέρᾳ κτλ.*, et sic ipse Origenes infra, num. 60. hujus libri.“ — Cfr. pag. huj. not. 2.

[4]) Cfr. Gen. II, 4. [5]) Gen. I, 1.

[6]) Gen. I, 3. [7]) Cfr. Gen. I, 5.

[8]) Gen. I, 1.

51. *Νῦν δὲ διηγήσασθαι τὸν περὶ νοητῶν καὶ αἰσθητῶν λόγον, καὶ τίνα τρόπον διανενέμηνται αἱ φύσεις τῶν ἡμερῶν εἰς ἀμφότερα τὰ εἴδη, οὐ πρόκειται, οὐδὲ τὰ κατὰ τοὺς τόπους ἐξετάσαι· ὅλων γὰρ ἡμῖν συντάξεων χρεία εἰς τὴν διήγησιν τῆς κατὰ Μωϋσέα κοσμοποιΐας· ὅπερ κατὰ τὸ δυνατὸν ἡμῖν, πρὸ πλείονος χρόνου τῆς ἐνεστηκυίας πρὸς τὸν Κέλσον συντάξεως, πεποιήκαμεν, ἀπὸ τῆς πρὸ πλειόνων ἐτῶν ἕξεως, ἧς ἐχωροῦμεν τότε, διαλαβόντες περὶ τῶν* [1]) *κατὰ Μωϋσέα ἓξ τῆς κοσμοποιΐας ἡμερῶν. Εἰδέναι μέν τοί γε χρὴ, ὅτι τοῖς δικαίοις διὰ τοῦ Ἡσαΐου ὁ λόγος ἐπαγγέλλεται, ἐν καταστάσει ἔσεσθαι ἡμέρας, ἐν ᾗ μὴ ἥλιος,* [2]) *ἀλλ' αὐτὸς ὁ κύριος φῶς ἔσται αὐτοῖς αἰώνιον, καὶ ὁ θεὸς δόξα αὐτῶν. Παρακούσας δ' οἶμαι μοχθηρᾶς αἱρέσεώς τινος, καὶ κακῶς διηγησαμένης, τό· »γενηθήτω* [3]) *φῶς·« ὡς εὐκτικῶς* [4]) *ὑπὸ τοῦ δημιουργοῦ εἰρημένον, εἶπεν· „Οὐ γὰρ δὴ, καθάπερ οἱ τοὺς λύχνους ἐν γειτόνων ἐναυόμενοι, φῶς δημιουργὸς ἄνωθεν ἐχρήσατο.“ Καὶ ἄλλης δ' ἀσεβοῦς αἱρέσεως παρακούσας εἶπε καὶ τό· „εἰ μὲν ἐναντίος* [5]) *τις ἦν τῷ μεγάλῳ θεῷ θεὸς κατηραμένος, ὁ ταῦτα ποιῶν παρὰ γνώμην τὴν*

---

[1]) Spenc. et Ruaeus in textu: *τῶν κατὰ Μωϋσέα τῶν ἓξ τῆς κτλ.* Jam Boherell. vero, quem Ruaeus sequitur in notis: »Dele posterius *τῶν*.«

[2]) Cfr. Jesai. LX, 19. [3]) Gen. I, 3.

[4]) Hoeschel. in textu male, (Spenc. ad marg.) *εὐεκτικῶς*. Ceterum de hac ipsa re Clemens Alexandrinus loquitur in Eclogis Theodotianis. Vide libr. de Oratione cap. 24. pag. (ed. nostr.) 188. R. — Clementis verba haec sunt: *Πρὸς δὲ Ταυιανὸν λέγοντα εὐκτικὸν εἶναι τό· »γενηθήτω φῶς·« λεκτέον· εἰ τοίνυν εὐχόμενος ἤδη τὸν ὑπερκείμενον θεὸν, πῶς λέγει· ἐγὼ θεὸς, καὶ πλὴν ἐμοῦ ἄλλος οὐδείς;*

[5]) Hoeschel. in textu, Spenc. ad marg. *ἐναντίωσις ἦν.*

ἐκείνου, τί αὐτῷ τὸ φῶς ἐκίχρα;" Πρὸς ἃ τοσοῦτον ἀποδέομεν ἀπολογεῖσθαι, ὥστε τρανότερον ἡμᾶς ἐθέλειν τῆς ἐκείνων δόξης ὡς ἐσφαλμένων κατηγορεῖν, καὶ ἵστασθαι οὐ πρὸς ἃ μὴ οἴδαμεν αὐτῶν, ὡς ὁ Κέλσος, ἀλλὰ πρὸς ἃ ἀκριβῶς γινώσκομεν· πῆ μὲν ἀπ' αὐτῶν ἀκολουθήσαντες,[1]) πῆ δὲ τοῖς συγγράμμασιν αὐτῶν ἐπιμελῶς ἐντυχόντες.

52. Μετὰ δὲ ταῦτα Κέλσος φησίν· „ἐγὼ δὲ περὶ μὲν γενέσεως κόσμου, καὶ φθορᾶς, ἢ ὡς ἀγένητος, καὶ ἄφθαρτος, ἢ ὡς γενητὸς μὲν, ἄφθαρτος δὲ, ἢ ὡς τὸ ἔμπαλιν, οὐδὲν περὶ τούτου νυνὶ λέγω." Διόπερ οὐδ' ἡμεῖς περὶ τῶνδε νυνὶ λέγομεν· οὐ γὰρ ἡ προκειμένη σύνταξις τοῦτ' ἀπαιτεῖ. Ἀλλ' οὐδὲ πνεῦμα τοῦ ἐπὶ πᾶσι θεοῦ φαμεν ὡς ἐν[2]) ἀλλοτρίοις τοῖς τῇδε γεγονέναι, κατὰ τό· „πνεῦμα[3]) θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος·" οὐδὲ κακῶς μηχανώμενά τινα, ὡς ὑπὸ ἑτέρου τοῦ δημιουργοῦ παρὰ τὸν μέγαν θεὸν, κατὰ τοῦ πνεύματος αὐτοῦ φαμεν, ἀνεχομένου τοῦ ἀνωτέρω[4]) θεοῦ, δεδεῆσθαι (312) καθαιρέσεως. Διόπερ μακρὰν χαιρέτωσαν οἱ ταῦτα λέγοντες, καὶ ὁ μὴ πραγματικῶς αὐτῶν κατηγορῶν Κέλσος. Ἐχρῆν γὰρ αὐτὸν ἢ μὴ μνημονεῦσαι τῶν τοιούτων, ἢ, κατὰ τὸ δοκοῦν αὐτῷ φιλάνθρωπον, ἐκθέσθαι αὐτὰ ἐπιμελῶς, καὶ ἀγωνίσασθαι πρὸς τὰ ἀσεβῶς ὑπ' αὐτῶν λεγόμενα. Οὐδ', ὅτι[5]) δεδωκὼς ὁ μέγας θεὸς τῷ δημιουργῷ τὸ πνεῦμα ἀπαιτεῖ αὐτὸ, ἀκηκόαμεν πώποτε. Εἶθ' ἑξῆς ἀσεβέσι λόγοις μωρῶς[6]) ἐγκαλῶν φησι· »τίς θεὸς δίδωσί τι, ὡς

[1]) Boherello et Guieto scribendum videtur: ἀκούσαντες. R.

[2]) Uncis inclusum legitur ἐν in edd. Spenc.

[3]) Gen. I, 2.

[4]) Hoeschel. in textu, Spenc. ad marg. ἀνωτέρου.

[5]) Hoeschel. in notis: »Gelen. ὅτι δεδοικὼς ὁ μέγας« κτλ.

[6]) Vocab. μωρῶς omissum in antea editis (v. c. edd. Spenc.) restituunt omnes Codd. Mss. R.

ὡς ἀπαιτήσων; Λεομένου γὰρ τὸ ἀπαιτεῖν, δεῖται δὲ οὐδενὸς ὁ θεός.« Καὶ τούτοις προστίθησιν, ὡς σοιρὸν δή τι κατά τινων λέγων· »Διὰ τί ὀπηνίκα ἐκίχρα, κακῷ κιχρῶν ἠγνόει;« Λέγει δὲ καὶ τό· »Τί περιορᾷ πονηρὸν δημιουργὸν ἀντιπράττοντα ἑαυτῷ;«

53. Εἶτ', οἶμαι, φύρων αἱρέσεις αἱρέσεσι, καὶ μὴ ἐπισημειούμενος, ὅτι τάδε μὲν ἄλλης αἱρέσεώς ἐστι, τάδε δὲ ἄλλης, τὰ πρὸς Μαρκίωνα[1]) ὑφ' ἡμῶν ἀπορούμενα προφέρει. Τάχα δὲ καὶ τούτων παρακούσας ἀπό[2]) τινων εὐτελῶς καὶ ἰδιωτικῶς ἐγκαλεῖ τῶν ἐγκαλούντων λόγων, οὐ μὴν πάνυ συνετῶς. Ἐκτιθέμενος μὲν οὖν τὰ κατὰ Μαρκίωνος λεγόμενα, καὶ μὴ ἐπισημειωσάμενος ὅτι[3]) πρὸς αὐτὸν λέγει, φησί· »Τί δὲ λάθρα πέμπει, καὶ διαφθείρει τὰ τούτου δημιουργήματα; Τί δὲ εἰσβιάζεται κρύφα, καὶ παραπείθει, καὶ πλανᾷ; Τί δὲ τοὺς ὑπὸ τούτου κατεγνωσμένους ἢ καταραμένους, ὥς φατε, ψυχαγωγεῖ, καὶ δίκην ἀνδραποδιστοῦ τινος ὑπεξάγει; Τί δὲ ἀποδιδράσκειν ἀπὸ τοῦ κυρίου διδάσκει; Τί δὲ φεύγειν τὸν πατέρα; Τί δ' αὐτὸς εἰσποιεῖται μὴ συγχωροῦντος τοῦ πατρός; Τί δ' ἐπαγγέλλεται τῶν ἀλλοτρίων εἶναι πατήρ;« Καὶ ἐπιφέρει γε αὐτοῖς οἱονεὶ θαυμαστικῶς τό· »Σεμνός[4]) γε ὁ θεὸς τῶν παρ' ἄλλῳ καταδίκων ἀμαρτωλῶν, καὶ ἀκλήρων, καὶ, ὡς αὐτοὶ λέγουσι, σκυβάλων ἐπιθυμῶν εἶναι πα-

---

[1]) Cfr. lib. V. contra Cels. num. 54.

[2]) Guieto videtur forte scribendum: ἀπό τινων εὐτελῶν καὶ ἰδιωτικῶν ἐγκαλεῖ τῶν ἐγκαλούντων λόγῳ, οὐ μὴν πάνυ συνετῷ, vel: ἐγκαλεῖ τοὺς ἐγκαλοῦντας λόγῳ, οὐ μὴν πάνυ συνετῷ. Ego sic lego: ἀπό τινων εὐτελῶν καὶ ἰδιωτικῶν ἐγκαλεῖ τῶν ἐγκαλούντων λόγων, οὐ μὴν πάνυ συνετῶς. R. — Praeplacet Ruaei lectio.

[3]) Spencer. ὅ, τι πρός κτλ. Jam Boherell. vero: »Lego: ὅτι πρός« κτλ.

[4]) Edd. Spenc., uncis voc. καί appositis: καὶ σεμνός γε κτλ.

τήρ· καὶ ὧν γε ἐξέπεμψεν, αὐτοῦ ὑπεξάγοντα,[1]) τοῦτον ἀλόντα ἐκδικῆσαι μὴ δυνάμενος. Ἐξῆς δὲ τούτοις ὡσπερεὶ πρὸς ἡμᾶς τοὺς ὁμολογοῦντας οὐκ ἀλλοτρίου τινὸς εἶναι καὶ ξένου θεοῦ τόνδε τὸν κόσμον, τοιαῦτά φησιν· »Εἰ δὲ αὐτοῦ[2]) ταῦτ' ἔστιν ἔργα· πῶς μὲν κακὰ ὁ θεὸς ἐποίει; Πῶς δὲ πείθειν καὶ νουθετεῖν ἀδυνατεῖ; Πῶς δὲ ἐπ' αὐτοῖς[3]) ἀχαρίστοις καὶ πονηροῖς γενομένοις μεταμέλει; Καὶ τὴν ἑαυτοῦ τέχνην μέμφεται, καὶ μισεῖ, καὶ ἀπειλεῖ, καὶ φθείρει τὰ ἴδια ἔκγονα; Ἢ ποῖ ποτε ὑπεξάγει τοῦ κόσμου τοῦδε, ὃν ἐποίησεν αὐτός;« Λοκεῖ δέ[4]) μοι καὶ ἐν τούτοις μὴ σαφηνίζων τίνα ἐστὶ τὰ κακά· καί τοί γε καὶ ἐν Ἕλλησι πολλῶν αἱρέσεων γενομένων περὶ ἀγαθῶν καὶ κακῶν, συναρπάζων ὡς ἀκόλουθον ἡμῖν, τοῖς φάσκουσιν ἔργα τοῦ ἐπὶ πᾶσι θεοῦ εἶναι καὶ τόνδε τὸν κόσμον, τὸ καθ' ἡμᾶς κακῶν εἶναι ποιητὴν τὸν θεόν. Ἐχέτω μὲν οὖν ὅπως ποτὲ ἔχει τὰ περὶ τῶν κακῶν, πότερον ὁ θεὸς αὐτὰ πεποίηκεν, ἢ μή, ἀλλ'[5]) ἐκ παρακολουθήσεως (313) γεγένηται τῆς πρὸς τὰ προηγούμενα· θαυμάζω δέ, εἰ μὴ ὅπερ ἡμῖν, τοῖς φάσκουσιν ἔργα εἶναι τοῦ ἐπὶ πᾶσι θεοῦ καὶ τόνδε τὸν κόσμον, οἴεται ἀκολουθεῖν περὶ τοῦ τὸν θεὸν τὰ κακὰ πεποιηκέναι, ἀκολουθεῖ ὅσον ἐφ' οἷς λέγει καὶ αὐτός. Εἴποι γὰρ ἄν τις πρὸς τὸν Κέλσον· »Εἰ αὐτοῦ ταῦτ' ἔστιν ἔργα, πῶς μὲν κακὰ ὁ θεὸς

---

[1]) Guietus dubitat, an non scribendum: *ὑπέξαρχον*, vel: *ὑπεξάρχοντα*. Ego nihil mutari velim. R.

[2]) Uncis inclusum legitur: *αὐτοῦ*, in edd. Spenc.

[3]) Spenc. ad marg. *αὐτοῖς ἄχαρις τοῖς κιλ.*

[4]) Spenc. ad marg. *δή*.

[5]) Sic recte Mss. Male autem libri editi (v. c. edd. Spenc., uncis voc. *οὐκ* appositis): *ἀλλ' οὐκ ἐκ παρακολουθήσεως*. Abesse enim debet *οὐκ*. Vide infra num. 55. huj. libri, et num. 68. lib. VII. R. — Spencerus: Cfr. Chrysippus apud A. Gellium, lib. VI. cap. 1., a verbis: »Existimat non fuisse hoc principale naturae consilium, ut faceret homines morbis obnoxios,« etc.

ἐποίει; Πῶς δὲ πείθειν καὶ νουθετεῖν ἀδυνατεῖ;« Κακία δὲ ἡ μεγίστη ἐν λόγοις ἐστὶν, ὅτε ἐγκαλεῖ τις τοῖς ἑτεροδόξοις περί τινων δογμάτων ὡς οὐχ ὑγιῶν, πολλῷ πρότερον αὐτὸς ἔχων τὰ ἐγκλήματα ἐν τοῖς ἰδίοις δόγμασιν.

54. Ἴδωμεν οὖν ἡμεῖς διὰ βραχέων τὰ περὶ ἀγαθῶν καὶ κακῶν, τῶν κατὰ τὰς θείας γραφάς· καὶ τίνα ἡμῖν λεκτέον πρὸς τό· »πῶς μὲν κακὰ ὁ θεὸς ἐποίει; Πῶς δὲ πείθειν καὶ νουθετεῖν ἀδυνατεῖ;« Κυρίως δή, κατὰ τὰς θείας γραφὰς, ἀγαθά εἰσιν αἱ ἀρεταὶ, καὶ αἱ κατὰ ταύτας πράξεις· ὥσπερ κυρίως κακὰ, τὰ ἐναντία τούτοις. Ἀρκεσθησόμεθα δὲ ἐπὶ τοῦ παρόντος λέξεσι ταῖς ἀπὸ τοῦ τριακοστοῦ τρίτου ψαλμοῦ, τοῦτο παριστάσαις οὕτως· »οἱ[1]) δὲ ἐκζητοῦντες τὸν κύριον οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ. Δεῦτε τέκνα, ἀκούσατέ μου, φόβον κυρίου διδάξω ὑμᾶς. Τίς ἐστιν ἄνθρωπος ὁ θέλων ζωὴν, ἀγαπῶν ἡμέρας ἰδεῖν ἀγαθάς; Παῦσον τὴν γλῶσσάν σου ἀπὸ κακοῦ, καὶ χείλη σου τοῦ μὴ λαλῆσαι δόλον. Ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν.« Τὸ γάρ· »ἔκκλινον[2]) ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν·« οὔτε περὶ τῶν σωματικῶν λέγεται ἀγαθῶν, ἢ κακῶν, οὕτως ὀνομαζομένων παρά τισιν, οὔτε περὶ τῶν ἐκτός· ἀλλὰ περὶ τῶν κατὰ ψυχὴν ἀγαθῶν, ἢ κακῶν· ἐπείπερ[3]) ὁ ἐκκλίνας μὲν ἀπὸ τῶν οὕτω κακῶν, ποιήσας δὲ τὰ τοιάδε ἀγαθὰ, ὡς θέλων τὴν ἀληθινὴν ζωὴν, γένοιτ' ἂν ἐν αὐτῇ, ἀγαπῶν[4]) »ἡμέρας ἰδεῖν ἀγαθάς,« ὧν ὁ λόγος τῆς δικαιοσύνης ἐστὶν ἥλιος,[5])

---

[1]) Cfr. Psalm. XXXIV, 10—14. (XXXIII.)

[2]) Psalm. XXXIV, 14. (XXXIII.)

[3]) Verba: ἐπείπερ ὁ ἐκκλίνας μὲν ἀπὸ τῶν οὕτω κακῶν, in antea editis (v. c. edd. Spenc.) omissa, restituunt omnes Codd. Mss. R.

[4]) Cfr. Psalm. XXXIV, 12. (XXXIII.) — Boherellus: »Forte καί praeponendum voc. ἀγαπῶν.« — Cfr. pag. huj. not. 5.

[5]) Spenc. et Ruaeus in textu: ἥλιος, φθάσαι ἄν

καὶ φθάσαι ἂν ἐπ' ἐκείνας, ἐξαιρουμένου [1]) αὐτὸν τοῦ θεοῦ »ἀπὸ τοῦ ἐνεστῶτος αἰῶνος πονηροῦ,« καὶ ἀπὸ τῶν πονηρῶν ἡμερῶν· περὶ ὧν εἶπεν ὁ Παῦλος τό· »ἐξαγοραζόμενοι [2]) τὸν καιρὸν, ὅτι αἱ ἡμέραι πονηραί εἰσιν.«

55. Εὑρεθείη δ' ἂν καταχρηστικώτερον καὶ τὰ σωματικὰ καὶ τὰ ἐκτὸς, τὰ μὲν συμβαλλόμενα εἰς τὸν κατὰ φύσιν βίον νομιζόμενα ἀγαθὰ, τὰ δ' ἐναντιούμενα τούτῳ κακά. Οὕτω γὰρ ὁ Ἰὼβ λέγει πρὸς τὴν γυναῖκα τό· »εἶ [3]) γὰρ τὰ ἀγαθὰ ἐδεξάμεθα ἐκ χειρὸς κυρίου, τὰ κακὰ οὐχ ὑποίσομεν;« Ἐπεὶ οὖν εὑρίσκεται ἐν ταῖς θείαις γραφαῖς ὅπου μὲν ἐκ προσώπου θεοῦ τό· »ἐγὼ [4]) ὁ ποιῶν εἰρήνην, καὶ κτίζων κακά·« ὅπου δὲ πάλιν περὶ αὐτοῦ· »ὅτι [5]) κατέβη κακὰ παρὰ κυρίου ἐπὶ πύλας Ἱερουσαλὴμ, ψόφος ἁρμάτων καὶ ἱππευόντων·« ἅπερ ἐτάραξε πολλοὺς τῶν ἐντυγχανόντων τῇ γραφῇ, μὴ δυναμένους καθορᾶν τὰ κατ' αὐτὴν περὶ ἀγαθῶν καὶ κακῶν σημαινόμενα· εἰκὸς ἐντεῦθεν ἤτοι τὸν Κέλσον ἐπαποροῦντα εἰρηκέναι· »Πῶς μὲν κακὰ ὁ θεὸς ἐποίει;« ἢ ἀκούσαντά τινος (314) ἰδιωτικώτερον πρεσβεύοντος περὶ τῶν κατὰ τὸν τόπον τὴν ἐκκειμένην λέξιν ἐκτιθέναι. [6]) Ἡμεῖς δέ φαμεν, ὅτι κακὰ μὲν, ἢ [7]) τὴν κακίαν καὶ τὰς ἀπ' αὐτῆς πράξεις, ὁ θεὸς οὐκ ἐποίησε. Πῶς γὰρ οἷόν τ' ἦν τὸ περὶ κρίσεως κήρυγμα παῤῥησίαν ἔχειν, διδάσκον κολάζεσθαι [8]) μὲν ἐπὶ ταῖς

κτλ., Ruaeus vero in notis: »Scribendum videtur: ἥλιος, καὶ φθάσαι ἄν, et ita reddidit Gelenius interpres.« — Cfr. pag. 396. not. 4.

[1]) Cfr. Galat. I, 4. [2]) Ephes. V, 16.

[3]) Job. II, 10. [4]) Cfr. Jesai. XLV, 7.

[5]) Mich. I, 12. 13.

[6]) Libri editi (v. c. edd. Spenc.) in marg. τεθεικέναι, sicque Cod. Anglican. secundus. R.

[7]) Sic Mss. In antea editis (v. c. edd. Spenc.) omittitur: ἤ. R. [8]) Cfr. Matth. XXV, 46.

κατὰ κακίαν πράξεσι, κατ' ἀναλογίαν τῶν ἡμαρτημένων, τοὺς φαύλους· μακαρίους δ' εἶναι, καὶ τεύξεσθαι τῶν ἀπὸ θεοῦ γερῶν, τοὺς κατ' ἀρετὴν βιώσαντας, ἢ τὰς κατ' ἀρετὴν πράξεις ποιήσαντας· εἰ[1]) τὰ ὄντως κακὰ πεποίηκεν ὁ θεός; Εὖ οἶδα, ὅτι ῥητά τινα παραλήψονται τῆς γραφῆς οἱ καὶ ταῦτα βουλόμενοι τολμᾷν φάσκειν ἀπὸ θεοῦ γεγονέναι· μὴ δυνάμενοι ἓν ὕφος ἀποδεῖξαι τῆς γραφῆς αἰτιωμένης μὲν τοὺς ἁμαρτάνοντας, ἀποδεχομένης δὲ τοὺς εὖ πράττοντας, καὶ οὐδὲν ἧττον κἀκεῖνα λεγούσης, ἅτινα περισπᾷν δοκεῖ ὀλίγα[2]) ὄντα τοὺς ἀμαθῶς τὰ θεῖα γράμματα ἀναγιγνώσκοντας. Ἐκτίθεσθαι δὲ νῦν τὰς περισπώσας λέξεις, πολλὰς[3]) τυγχανούσας, καὶ τὰς ἑρμηνείας αὐτῶν πολλῆς κατασκευῆς δεομένας, οὐχ ἡγησάμην εἶναι ἁρμόζον τῇ προκειμένῃ συντάξει. Κακὰ[4]) τοίνυν, εἰ μὲν τὰ κυρίως οὕτως ὀνομαζόμενα ἐξακούει τις, ὁ θεὸς οὐ πεποίηκεν· ἀλλὰ τοῖς προηγουμένοις αὐτοῦ ἔργοις ὀλίγα, ὡς πρὸς τὴν τῶν ὅλων διάταξιν τυγχάνοντα, ἐπηκολούθησεν· ὥσπερ ἐπακολουθεῖ τοῖς προηγουμένοις τοῦ τέκτονος ἔργοις τὰ ἑλικοειδῆ ξέσματα, καὶ πρίσματα, καὶ τοῖς οἰκοδόμοις ποιεῖν δοκεῖν τὰ παρακείμενα ταῖς οἰκοδομαῖς ὡσπερεὶ κόπρια ἀποπίπτοντα τῶν λίθων καὶ τῆς κονίας.

56. Εἰ δὲ τὰ καταχρηστικῶς οὕτως ὀνομαζόμενα, λεγόμενα σωματικὰ κακὰ καὶ ἐκτὸς, τίς φησι· δεδό-

---

[1]) Sic Ruaeus in textu. Idem tamen in notis: »Spenc. in textu: εἰ τὰ ὄντως κακὰ πεποιήκει κτλ., sed Mss. (itemq. Spenc. ad marg.) εἰ τὰ οὕτως κακὰ πεποιήκει« κτλ.

[2]) Boherellus: »Comparative scilicet: nam alias satis multa sunt. Vide seqq. verba: πολλὰς τυγχανούσας.«

[3]) Cfr. pag. huj. not. 2.

[4]) Hoeschelius: »Ambiguitas omnis tollitur distinctione inter malum culpae et malum poenae. Tertull. lib. II. cap. 14. advers. Marcionem.«

σθω[1]) ἔσθ' ὅτε τούτων τινὰ πεποιηκέναι τὸν θεὸν, ἵνα διὰ τούτων ἐπιστρέψῃ τινάς. Καὶ τί ἄτοπον ὁ λόγος ἔχειν δύναται; Ὥσπερ γὰρ, εἰ καταχρηστικῶς ἀκουόντων ἡμῶν κακὰ τοὺς προσαγομένους πόνους τοῖς παιδευομένοις ὑπὸ πατέρων, καὶ διδασκάλων, καὶ παιδαγωγῶν, ἢ ὑπὸ ἰατρῶν τοῖς θεραπείας ἕνεκεν τεμνομένοις ἢ καυτηριαζομένοις, λέγομεν τὸν πατέρα κακοποιεῖν τοῖς υἱοῖς, ἢ τοὺς παιδαγωγοὺς, ἢ τοὺς διδασκάλους, ἢ τοὺς ἰατροὺς· οὐδὲν ἂν κατηγοροῖντο οἱ τύπτοντες, ἢ οἱ τέμνοντες· οὕτως εἰ ὁ θεὸς λέγεται τὰ τοιαδὶ ἐπάγειν, ἐπιστροφῆς καὶ θεραπείας ἕνεκεν τῶν δεομένων τοιούτων πόνων, οὐδὲν ἂν ἄτοπον ὁ λόγος ἔχοι· οὔτ' ἂν καταβαίνῃ[2]) »κακὰ παρὰ κυρίου ἐπὶ πύλας Ἰερουσαλὴμ,« τὴν ὑπόστασιν ἔχοντα ἐν τοῖς ἀπὸ τῶν πολεμίων πόνοις, προσαγομένοις αὐτοῖς εἰς ἐπιστροφήν· οὔτ' ἂν ἐπισκέπτηται[3]) »ἐν ῥάβδῳ τὰς ἀνομίας τῶν ἐγκαταλιπόντων τὸν νόμον τοῦ θεοῦ, καὶ ἐν μάστιξι τὰς ἁμαρτίας αὐτῶν·« οὔτ' ἂν λέγῃ τό· »ἔχεις[4]) ἄνθρακας πυρὸς, κάθισαι ἐπ' αὐτούς· οὗτοι ἔσονταί σοι βοήθεια.« Τοῦτον δὲ τὸν τρόπον καὶ τό· »ὁ[5]) ποιῶν εἰρήνην, καὶ κτίζων κακά·« διηγούμεθα· κτίζει γὰρ τὰ σωματικὰ, ἢ τὰ ἐκτὸς κακὰ, καθαίρων καὶ παιδεύων τοὺς μὴ βουληθέντας παιδευθῆναι λόγῳ, καὶ διδασκαλίᾳ ὑγιεῖ. Καὶ ταῦτα (315) μὲν εἰς τό· »Πῶς μὲν ὁ θεὸς κακὰ ἐποίει;«

57. Εἰς δὲ τό· »Πῶς πείθειν καὶ νουθετεῖν ἀδυνατεῖ;« προείρηται μὲν, ὅτι πᾶσιν ἂν, εἴπερ ἔγκλημά ἐστι τὸ τοιοῦτον, προσάγοιτο ἡ τοῦ Κέλσου λέξις τοῖς

---

[1]) Hoeschel. in textu (Spenc. ad marg.) διδύσθω, sicque Cod. Anglicanus primus. R.

[2]) Cfr. Mich. I, 12.

[3]) Cfr. Psalm. LXXXIX, 32. (LXXXVIII.)

[4]) Cfr. Jesai. XLVII, 14. 15.

[5]) Jesai. XLV, 7.

ἀποδεχομένοις πρόνοιαν. Ἀπολογήσαιτο δ' ἄν τις, ὅτι νουθετεῖν μὲν οὐκ ἀδυναιεῖ ὁ θεός· νουθετεῖ γὰρ διὰ πάσης γραφῆς, καὶ διὰ τῶν χάριτι διδασκόντων θεοῦ τοὺς ἀκούοντας. Εἰ μὴ ἄρα ἴδιόν [1]) τι σημαινόμενον ἐξακούοιτο εἰς τὸ »νουθετεῖν,« τὸ καὶ ἐπιτυγχάνειν ἐν τῷ νουθετουμένῳ, καὶ ἀκούειν τὸν τοῦ διδάσκοντος λόγον· ὅπερ ἐστὶ παρὰ τὴν ἔννοιαν τοῦ τετριμμένου ἐν τῇ συνηθείᾳ σημαινομένου. Εἰς δὲ τό· »Πῶς πείθειν ἀδυναιεῖ;« καὶ αὐτὸ προσαχθὲν [2]) ἂν πᾶσι τοῖς πρόνοιαν παραδεχομένοις, ταῦτα λεκτέον. Ἐπειδὴ [3]) τὸ »πείθεσθαι« ὥσπερεὶ τῶν καλουμένων ἀντιπεπονθότων ἐστὶν, ἀνάλογον τῷ κείρεσθαι ἄνθρωπον, ἐνεργοῦντα τὸ παρέχειν ἑαυτὸν τῷ κείροντι· διὰ τοῦτο οὐ μόνης δεῖται τῆς τοῦ πείθοντος ἐνεργείας, ἀλλὰ καὶ τῆς, ἵν' οὕτως ὀνομάσω, ὑποπτώσεως πρὸς τὸν πείθοντα, ἢ παραδοχῆς τῶν λεγομένων ὑπὸ τοῦ πείθοντος. Διὰ τοῦτο, οὐ παρὰ τὸ μὴ δύνασθαι τὸν θεὸν πείθειν λεκτέον τοὺς μὴ πειθομένους μὴ πείθεσθαι, ἀλλὰ παρὰ τὸ ἐκείνους μὴ δέχεσθαι τοὺς πιστικοὺς [4]) λόγους τοῦ θεοῦ. Τοῦτο δὲ καὶ ἐπ' ἀνθρώπων λέγων τις, ὀνομαζομένων πειθοῦς δημιουργῶν, οὐκ ἂν ἁμάρτοι· [5]) δυ-

[1]) Libri antea editi (v. c. edd. Spenc.) in marg. habent: ἴδιόν τις σημαινόμενον ἐξακούει τὸ νουθετεῖν. R.

[2]) Ed. Ruaei: προαχθέν.

[3]) Locus hic integer esse non videtur Guieto, qui dubitat, an ita sit corrigendus: Ἐπειδὴ τὸ πείθεσθαι, ὥσπερεὶ τῶν καλουμένων ἀντιπεπονθότων ὄν, ἀνάλογον τῷ κείρεσθαι, ἤγουν τῷ παρέχειν ἑαυτὸν τῷ κείροντι. Itaque verba: ἄνθρωπον, et ἐνεργοῦντα, mera suspicatur esse glossemata. Qua vero de causa sic opinetur, ignorare me fateor, nec videre, cur ejusmodi correctione indigeat praesens locus, in quo nihil etiam vitii agnovit Boherellus. R.

[4]) Guietus scribit: πεισικούς. R.

[5]) Mss. (itemq. Boherell.) ἁμάρτοι. Hoeschel. et Spenc. ἁμάρτει. R.

νατὸν γὰρ, καὶ τὸν ἄκρως κατειληφότα τὰ τῆς ῥητορικῆς θεωρήματα, καὶ δεόντως αὐτοῖς χρώμενον, πάντα μὲν ποιεῖν πρὸς τὸ πείθειν, μὴ τυγχάνοντα δὲ τῆς προαιρέσεως τοῦ ὀφείλοντος πείθεσθαι δοκεῖν μὴ πείθειν. Ὅτι δὲ, κἂν τὸ πιστικοὺς[1]) λέγεσθαι λόγους ἀπὸ θεοῦ ἔρχηται, τό γε πείθεσθαι οὐκ ἔστιν ἀπὸ θεοῦ· σαφῶς ὁ Παῦλος διδάσκει, λέγων· »ἡ[2]) πεισμονὴ οὐκ ἐκ τοῦ καλοῦντος ὑμᾶς.« [3]) Τοιοῦτόν ἐστι καὶ τό· »ἐὰν[4]) θέλητε, καὶ εἰσακούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε. Ἐὰν δὲ μὴ θέλητε, μηδὲ εἰσακούσητέ μου, μάχαιρα ὑμᾶς κατέδεται.« Ἵνα γάρ τις θέλῃ ἅπερ λέγει ὁ νουθετῶν, καὶ εἰσακούσας αὐτῶν ἄξιος γένηται τῶν τοῦ θεοῦ ἐπαγγελιῶν· τῆς προαιρέσεως τοῦ ἀκούοντος δεῖ, καὶ τῆς πρὸς τὰ λεγόμενα ἐπινεύσεως. Διόπερ ἐν Δευτερονομίῳ ἐμφαντικῶς εἰρῆσθαί μοι δοκεῖ τό· »καὶ[5]) νῦν Ἰσραὴλ, τί κύριος ὁ θεός σου αἰτεῖ[6]) παρὰ σοῦ, ἀλλ' ἢ φοβεῖσθαι κύριον τὸν θεόν σου, καὶ[7]) πορεύεσθαι ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ, καὶ ἀγαπᾷν αὐτὸν, καὶ φυλάσσειν τὰς ἐντολὰς αὐτοῦ;«

58. Εἶθ' ἑξῆς ἐστιν ἀπαντῆσαι πρὸς τό· »Πῶς δ' ἐπ' αὐτοῖς[8]) ἀχαρίστοις καὶ πονηροῖς γενομένοις μεταμέλει, καὶ τὴν ἑαυτοῦ τέχνην μέμφεται, καὶ μισεῖ, καὶ ἀπειλεῖ, καὶ φθείρει τὰ ἴδια ἔκγονα;« Συκοφαντεῖ δ' ἐν τούτοις καὶ καταψεύδεται τῶν ἐν τῇ Γενέσει γεγραμμένων τὸν τρόπον τοῦτον· »Ἰδὼν[9]) δὲ κύριος ὁ θεὸς,

---

[1]) Legit Guietus: *πεισικούς*. R.
[2]) Galat. V, 8.
[3]) Mss. *ὑμᾶς*. Hoeschel. et Spenc. *ἡμᾶς*. R.
[4]) Jesai. I, 19. 20. [5]) Cfr. Deut. X, 12. 13.
[6]) Vulgati Deut. libri: *αἰτεῖται*.
[7]) Uncis inclusum legitur *καί* in edd. Spenc.
[8]) Spenc. ad marg. *αὐτοῖς ἄχαρις τοῖς καί κτλ.*
[9]) Cfr. Gen. VI, 5—7.

ὅτι ἐπληθύνθησαν αἱ κακίαι τῶν ἐπὶ τῆς[1]) γῆς, καὶ πᾶς τις διανοεῖται ἐν τῇ καρδίᾳ (316) ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ πάσας τὰς ἡμέρας, ἐνεθυμήθη ὁ θεὸς, ὅτι ἐποίησε τὸν ἄνθρωπον ἐπὶ τῆς γῆς· καὶ διενοήθη ἐν[2]) τῇ καρδίᾳ αὐτοῦ, καὶ εἶπεν ὁ θεός· ἀπαλείψω τὸν ἄνθρωπον, ὃν ἐποίησα, ἀπὸ προσώπου τῆς γῆς, ἀπὸ ἀνθρώπου ἕως κτήνους, καὶ ἀπὸ ἑρπετῶν ἕως τῶν πετεινῶν τοῦ οὐρανοῦ· ὅτι ἐνεθυμήθην,[3]) ὅτι ἐποίησα αὐτούς·« τὰ μὴ γεγραμμένα ἐκτιθέμενος, ὡς δηλούμενα ἀπὸ τῶν γεγραμμένων. Μεταμέλεια γὰρ ἐν τούτοις οὐκ ὠνομάσθη θεοῦ, οὐδ' ὅτι τὴν ἑαυτοῦ τέχνην μέμφεται, καὶ μισεῖ. Εἰ δὲ δοκεῖ ὁ θεὸς ἀπειλεῖν τὰ τοῦ κατακλυσμοῦ, καὶ φθείρειν ἐν αὐτῷ τὰ ἴδια ἔκγονα· λεκτέον, ὅτι, ἀθανάτου τῆς ψυχῆς τῶν ἀνθρώπων τυγχανούσης, ἡ μὲν νομιζομένη ἀπειλὴ ἐπιστρέφειν βούλεται τοὺς ἀκούοντας· ἡ δ' ἐν τῷ κατακλυσμῷ διαφθορὰ τῶν ἀνθρώπων καθάρσιόν ἐστι τῆς γῆς, ὡς καὶ Ἑλλήνων οἱ μὴ εὐκαταφρονήτως φιλοσοφήσαντες εἰρήκασιν ἐν τῷ· Ὅταν[4]) δ' οἱ θεοὶ τὴν γῆν καθαίρωσι.« Περὶ δὲ τῶν ὡσπερεὶ ἀνθρωποπαθῶν λέξεων, ἀναφερομένων ἐπὶ τὸν θεὸν, οὐκ ὀλίγα ἡμῖν καὶ ἐν τοῖς ἀνωτέρω λέλεκται.

59. Ὑπεισδόμενος δ' ἑξῆς ὁ Κέλσος, τάχα δὲ καὶ αὐτὸς συνιδὼν, ὅτι δύναται λεχθῆναι ὑπὸ τῶν ἀπολογουμένων περὶ τῶν ἐν τῷ κατακλυσμῷ διαφθαρέντων, φησίν·[5]) »Εἰ δὲ μὴ διαφθείρει τὰ ἴδια ἔκγονα, ποῖ ποτε αὐτὰ ὑπεξάγει τοῦ κόσμου τοῦδε, ὃν ἐποίησεν αὐ-

---

[1]) Articulus τῆς deest in antea editis (v. c. edd. Spenc.), sed reperitur in Mss. R.

[2]) In edd. Spenc. uncis inclusa leguntur verba: ἐν τῇ καρδίᾳ αὐτοῦ.

[3]) Hoeschel. in textu, Spenc. ad marg. ἐθυμώθην.

[4]) Cfr. Plato in Timaeo pag. 22. (ed. Bekker. Part. III. Vol. II. pag. 13.)

[5]) Spenc. φησίν· εἰ μὴ δὲ διαφθείρει κτλ.

τός;« *Καὶ πρὸς τοῦτο δε λέγομεν, ὅτι τοῦ μὲν παντὸς κόσμου, συνεστῶτος ἐξ οὐρανοῦ καὶ γῆς, οὐ πάντως ὑπεξάγει τοὺς τὸν κατακλυσμὸν πεπονθότας· ἀπαλλάττει δ' αὐτοὺς τῆς ἐν σαρκὶ ζωῆς, καὶ ἀπολύσας τῶν σωμάτων ἀπολύει ἅμα καὶ τοῦ ἐπὶ γῆς τυγχάνειν, ἣν πολλαχοῦ τῶν γραφῶν*[1]) *ἔθος ὀνομάζεσθαι κόσμον. Μάλιστα δ' ἐν τῷ κατὰ*[2]) *Ἰωάννην εὐαγγελίῳ πολλάκις ἐστὶν εὑρεῖν κόσμον τὸν περίγειον ὀνομαζόμενον τόπον· ὥσπερ καὶ ἐν τῷ·* »ἦν[3]) *τὸ φῶς τὸ ἀληθινὸν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον·« καί·* »ἐν[4]) *τῷ κόσμῳ θλῖψιν ἕξετε·*[5]) *ἀλλὰ θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον.« Εἰ μὲν οὖν ἀκούει τις τοῦ·* »ὑπεξάγει τοῦ κόσμου τοῦδε·« *τοῦ περιγείου τόπου, οὐδὲν ἄτοπον ἀπαντᾷ τῷ λόγῳ. Εἰ δὲ κόσμον τὸ ἐξ οὐρανοῦ καὶ γῆς σύστημα ὀνομάζει τις, οὐ πάντως οἱ τὸν κατακλυσμὸν παθόντες ὑπεξάγονται ἀπὸ τοῦ οὕτως*[6]) *ὀνομαζομένου κόσμου. Καί τοί γε εἴποι ἄν τις, νοήσας τό·* »μὴ[7]) *σκοπούντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα·« καὶ τό·* »τὰ[8]) *γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται·« ὅτι*[9]) *πρὸς τοῖς ἀοράτοις, καὶ ἁπαξαπλῶς ὀνομαζομένοις μὴ βλεπομένοις τυγχάνων, ὑπεξῆλθε τὸν κόσμον, τοῦ λόγου αὐτὸν ὑπεξάγοντος ἐντεῦθεν, καὶ*[10])

---

[1]) Cfr. Matth. XXVI, 13. coll. Marc. XVI, 15. et I Tim. VI, 7.

[2]) Sic Codd. Reg. et Basil. (itemq. Boherell.) Hoeschel. et Spenc. male: *κατὰ Ἰωάννου*. R.

[3]) Ev. Joann. I, 9.

[4]) Cfr. ev. Joann. XVI, 33.

[5]) Codd. Reg. et Basil. *ἕξετε*. Hoeschel. et Spenc. *ἔχετε*. R.

[6]) Guieto scribendum videtur: *ὄντως*. R.

[7]) II Cor. IV, 18. [8]) Rom. I, 20.

[9]) Boherellus: »Lego: *ὅτι ὁ πρὸς τοῖς*« *κτλ.*

[10]) Hoeschel. in textu, Spenc. ad marg. *καὶ ἐπὶ τὸν ὑπὲρ τὸν οὐράνιον.*

ἐπὶ τὸν ὑπερουράνιον ἐπὶ τῇ θέᾳ τῶν καλῶν μετατιθέντος τόπον.

60. Μετὰ δὲ τὴν ἐξετασθεῖσαν λέξιν, ὡσπερεὶ σκοπὸν ἔχων τὸ ὅπως ποτὲ πολλῶν λόγων πληρῶσαι τὸ βιβλίον, ἄλλαις λέξεσι τὰ παραπλήσιά φησι τοῖς ὀλίγῳ ἀνωτέρω ἐξετασθεῖσιν, ἐν οἷς ἔλεγε· »Μακρῷ (317) δ' εὐηθέστερον τὸ, καὶ ἡμέρας τινὰς ἐπιδιανεῖμαι τῇ κοσμογονίᾳ, πρὶν εἶναι ἡμέρας· οὐρανοῦ γὰρ οὔπω γεγονότος, οὐδὲ γῆς πω ἐρηρεισμένης, οὐδ'[1] ἡλίου που τῇδε φερομένου, πῶς ἡμέραι ἦσαν;« *Τί γὰρ διαφέρει ταῦτα τοῦ;* »Ἔτι δ' ἄνωθεν λαβόντες ἐπισκεψώμεθα, πῶς οὐκ ἂν ἄτοπος εἴη θεὸς ὁ πρῶτος καὶ ὁ μέγιστος, κελεύων· γενέσθω τόδε, καὶ ἕτερον τόδε, ἢ τόδε· καὶ μίᾳ μὲν ἡμέρᾳ τοσόνδε τεκταινόμενος, τῇ δευτέρᾳ δ' αὖθις τοσῷδε πλέον, καὶ τρίτῃ, καὶ τετάρτῃ, καὶ πέμπτῃ, καὶ ἕκτῃ.« *Δυνάμει δ' εἴπομεν*[2]) καὶ εἰς τό· »κελεύων· γενέσθω τόδε, καὶ ἕτερον τόδε, ἢ τόδε·« ὅτε παρετιθέμεθα τό· »αὐτὸς[3]) εἶπε, καὶ ἐγενήθησαν· αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν·« λέγοντες τὸν μὲν προσεχῶς δημιουργὸν[4]) εἶναι τὸν υἱὸν τοῦ θεοῦ λόγον, καὶ ὡσπερεὶ αὐτουργὸν τοῦ κόσμου· τὸν δὲ πατέρα τοῦ λόγου, τῷ προστεταχέναι τῷ υἱῷ ἑαυτοῦ λόγῳ ποιῆσαι τὸν κόσμον, εἶναι πρώτως δημιουργόν. Περὶ δὲ τοῦ μιᾷ μὲν ἡμέρᾳ γεγονέναι τὸ φῶς, δευτέρᾳ δὲ τὸ στερέωμα, τρίτῃ δὲ συνῆχθαι τὰ ὑποκάτω τοῦ οὐρανοῦ ὕδατα εἰς τὰς συναγωγὰς αὐτῶν, καὶ οὕτω βεβλαστηκέναι τὴν γῆν τὰ ὑπὸ μόνης φύσεως διοικούμενα, καὶ τετάρτῃ τοὺς φωστῆρας καὶ ἀστέρας, καὶ πέμπτῃ τὰ νηκτὰ καὶ ἕκτῃ τὰ χερσαῖα, καὶ τὸν ἄνθρω-

---

[1]) Libri editi (e. c. edd. Spenc.) in marg. οὐδ' ἡλίου πω τῇδε κτλ. R.

[2]) Cfr. lib. III. contra Cels. num. 9.

[3]) Cfr. Psalm. XXXIII, 9. (XXXII.)

[4]) Vide Origenianor. lib. II. quaest. II. num. XV.

πον· κατὰ τὸ δυνατὸν ἡμῖν ἐν τοῖς πραγματευθεῖσιν εἰς τὴν Γένεσιν εἰρήκαμεν· καὶ ἐν τοῖς ἀνωτέρω δὲ, ἐγκαλοῦντες τοῖς κατὰ τὴν προχειροτέραν ἐκδοχὴν φήσασι χρόνους [1]) ἓξ ἡμερῶν διεληλυθέναι εἰς τὴν κοσμοποιΐαν, παρεπιθέμεθα τό· »αὕτη [2]) ἡ βίβλος γενέσεως οὐρανοῦ καὶ γῆς, ὅτε ἐγένετο· ᾗ ἡμέρᾳ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν, καὶ τὴν γῆν.«

61. Εἶτα πάλιν μὴ κατακούσας τοῦ· »καὶ [3]) συνετέλεσεν ὁ θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἕκτῃ τὰ ἔργα αὐτοῦ, ἃ ἐποίησε· καὶ κατέπαυσεν ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὧν ἐποίησε. Καὶ εὐλόγησεν ὁ θεὸς τὴν ἡμέραν τὴν ἑβδόμην, καὶ ἡγίασεν αὐτήν· ὅτι ἐν αὐτῇ κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὧν ἤρξατο ὁ θεὸς ποιῆσαι·« καὶ οἰηθεὶς ταὐτὸν εἶναι τό· »κατέπαυσε [4]) τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ·« καὶ τό· »ἀνεπαύσατο τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ·« φησί· »μετὰ τοῦτο μὲν ὥσπερ τις ἀτεχνῶς πονηρὸς χειροτέχνης ἐκκαμὼν, καὶ πρὸς ἀνάπαυσιν ἀργίας [5]) δεηθείς.« Οὐδὲ γὰρ οἶδε, τίς ἦ, μετὰ [6]) τὴν ὅσον ὁ κόσμος συνέστηκεν ἐνεργουμένην κοσμοποιΐαν, ἡ τοῦ σαββάτου καὶ τῆς καταπαύσεως τοῦ θεοῦ ἡμέρα, ἐν ᾗ ἑορτάσουσιν ἅμα τῷ θεῷ οἱ πάντα τὰ ἔργα ἑαυτῶν ταῖς ἓξ ἡμέραις πεποιηκότες, καὶ διὰ τὸ μηδὲν παραλελοιπέναι τῶν ἐπιβαλλόντων, ἀναβαίνοντες ἐπὶ τὴν θεωρίαν, καὶ τὴν ἐν αὐτῇ τῶν δικαίων καὶ μακαρίων πανήγυριν. Εἶτα, ὡς ἤτοι τῶν γραφῶν οὕτω λεγουσῶν, ἢ καὶ ἡμῶν αὐτῶν οὕτω διηγουμένων περὶ θεοῦ, ὅτι καμὼν ἀνεπαύσατο, φησίν· »ὅτι οὐ θέμις τὸν πρῶτον θεὸν κάμνειν, οὔτε χειρουρ-

---

[1]) Mallet Guietus: χρόνον. R.

[2]) Cfr. Gen. II, 4. [3]) Cfr. Gen. II, 2. 3.

[4]) Cfr. Gen. II, 2. coll. 3. et pag. huj. not. 3.

[5]) Hoeschel. in textu, Spenc. ad marg. ἀργοῦ. R.

[6]) Sunt, qui putent scribendum: μετὰ τὴν, δι' ἧς ὁ κόσμος συνέστηκεν. Ego nihil muto. R.

63. Εἶτά φησιν ὁ Κέλσος, μὴ ἐνιδὼν τῇ διαφορᾷ τοῦ »κατ' εἰκόνα θεοῦ,« καὶ »τῆς εἰκόνος αὐτοῦ,« ὅτι εἰκὼν μὲν τοῦ θεοῦ ὁ πρωτότοκος [1]) πάσης κτίσεως ἐστιν, ὁ αὐτολόγος, καὶ ἡ αὐτοαλήθεια, ἔτι δὲ καὶ ἡ αὐτοσοφία, εἰκὼν [2]) οὖσα »τῆς ἀγαθότητος αὐτοῦ,« κατ' εἰκόνα [3]) δὲ τοῦ θεοῦ ὁ ἄνθρωπος πεποίηται· ἔτι δὲ καὶ ὅτι πᾶς [4]) ἀνὴρ, οὗ Χριστός ἐστι κεφαλὴ, εἰκὼν [5]) καὶ δόξα θεοῦ ὑπάρχει· ἀλλ' οὐδὲ ἐπιστήσας ἔν τινι τῶν τοῦ ἀνθρώπου τὸ κατ' εἰκόνα τοῦ θεοῦ χαρακτηρίζεται· καὶ ὅτι ἐν τῇ μὴ ἐσχηκυίᾳ, ἢ μηκέτι ἐχούσῃ »τὸν [6]) παλαιὸν ἄνθρωπον σὺν ταῖς πράξεσιν αὐτοῦ,« ἐκ τοῦ μὴ ἔχειν ταῦτα χρηματιζούσῃ κατ' εἰκόνα τοῦ κτίσαντος, [7]) φησὶ τό· »Οὐδ' ἄνθρωπον ἐποίησεν εἰκόνα αὐτοῦ· οὐ γὰρ τοιόσδε ὁ θεὸς, οὔτ' ἄλλῳ εἶδει οὐδενὶ ὅμοιος.« Οἷον [8]) δ' [9]) ἔστι τοῦ συνθέτου ἀνθρώπου τῷ χείρονι μέρει, λέγω δὲ τῷ σώματι, νομίζειν ἐνυπάρχειν τὸ κατ' εἰκόνα τοῦ θεοῦ, ὡς [10]) ὁ Κέλσος ἐξείληφεν, αὐτὸ εἶναι τὸ κατ' εἰκόνα αὐτοῦ; Εἰ γὰρ τὸ κατ' εἰκόνα τοῦ θεοῦ ἐν τῷ σώματί ἐστι μόνῳ, ἐστέρηται τὸ

Boherellus, quem Ruaeus sequitur in notis: „Legendum videri possit: καὶ λόγος αὐτὸς αἱρεῖ, ut lib. VII. num. 7. Nil tamen muto."

[1]) Cfr. Coloss. I, 15. [2]) Cfr. Sap. Sal. VII, 26.

[3]) Cfr. Gen. I, 26. [4]) Cfr. I Cor. XI, 3.

[5]) Cfr. I Cor. XI, 7. [6]) Coloss. III, 9.

[7]) Sic edd. Spenc. et Ruaei in textu. Jam Boherell. vero, quem Ruaeus in notis sequitur: „Lego: κτίσαντος φύσει, τό." — Equidem legerim: κτίσαντος φύσει, φησὶ τό.

[8]) Jam Boherellus, quem Ruaeus sequitur: „Haec verba sunt Origenis, non Celsi, ut male putavit Gelenius. Nota igitur interrogationis non post θεοῦ ponenda, sed rejicienda fuit inferius post αὐτοῦ."

[9]) Uncis inclusum legitur δ' in edd. Spenc.

[10]) Spenc. et Ruaeus in textu: ὡς δ' ὁ Κέλσος κτλ. Jam Boherell. vero, quem Ruaeus in notis sequitur: „Particula δ' delenda."

κρεῖττον ἡ ψυχὴ τοῦ κατ' εἰκόνα, καὶ ἔστιν ἐν τῷ φθαρτῷ σώματι· ὅπερ οὐδεὶς ἡμῶν λέγει. Εἰ δ' ἔστιν ἐν τῷ συναμφωτέρῳ τὸ κατ' εἰκόνα τοῦ θεοῦ, ἀνάγκη σύνθετον εἶναι τὸν θεὸν, καὶ οἱονεὶ συνεστῶτα [1]) καὶ αὐτὸν ἐκ ψυχῆς καὶ σώματος, ἵνα [2]) τὸ μὲν κατ' εἰκόνα τὸ κρεῖττον ᾖ ἐν τῇ ψυχῇ τὸ δ' ἔλαττον, καὶ [3]) κατὰ τὸ σῶμα, ἐν τῷ σώματι· ὅπερ οὐδεὶς ἡμῶν φησι. Λείπεται δὴ τὸ κατ' εἰκόνα τοῦ θεοῦ ἐν τῷ καθ' ἡμᾶς λεγομένῳ ἔσω [4]) ἀνθρώπῳ, καὶ ἀνακαινουμένῳ, [5]) καὶ πεφυκότι γίγνεσθαι κατ' εἰκόνα τοῦ κτίσαντος, νοεῖσθαι, [6]) ὅτε γίνεταί τις τέλειος, ὡς ὁ πατὴρ ὁ οὐράνιος τέλειός ἐστι· καὶ ἀκούει, ὅτι »ἅγιοι [7]) ἔσεσθε, ὅτι ἐγὼ ἅγιος κύριος, ὁ θεὸς ὑμῶν·« καὶ μανθάνων τό· »μιμηταὶ [8]) τοῦ θεοῦ γίνεσθε·« ἀναλαμβάνει εἰς τὴν ἑαυτοῦ ἐνάρετον ψυχὴν τοὺς χαρακτῆρας τοῦ θεοῦ· ὅτι [9])

---

[1]) Sic Mss. (itemq. Spenc. ad marg.) Libri autem antea editi (v. c. edd. Spenc. in textu): συνεστῶτα τὸν θεὸν ἐκ ψυχῆς κτλ.

[2]) Sic edd. Spenc. et Ruaei in textu. Jam Boherell. vero, quem Ruaeus in notis sequitur: „Lego: ἵνα τοῦ μὲν κατ' εἰκόνα τὸ κρεῖττον."

[3]) Sic Mss. (itemq. Spenc. ad marg.) Libri editi (v. c. edd. Spenc. in textu): καὶ μετὰ τὸ σῶμα. R.

[4]) Cfr. Ephes. III, 16. [5]) Cfr. Coloss. III, 10.

[6]) Spenc. et Ruaeus in textu: νοεῖσθαι τὸ κατ' εἰκόνα· ὅτε κτλ. Jam Boherell. vero, quem Ruaeus in notis sequitur: „Dele verba: τὸ κατ' εἰκόνα. Jam enim praecesserunt." — Cfr. Matth. V, 48.

[7]) Levit. XI, 44. — Boherellus: „Lego: καὶ ἀκούει τοῦ· ἅγιοι ἔσεσθε."

[8]) Cfr. Ephes. V, 1.

[9]) Boherellus: „Haec turbata sunt, sic restituenda: ὅτι καὶ ναός ἐστι τοῦ θεοῦ τὸ τοῦ, ἐν τῷ κατ' εἰκόνα, ἀνειληφότος τὰ τοῦ θεοῦ σῶμα τοῦ τοιαύτην ἔχοντος ψυχήν." Guietus autem, Ruaeo teste, sic scribendum existimat: ἔτι καὶ ναός ἐστι τοῦ θεοῦ τὸ σῶμα τοῦ τοιαύτην ἔχοντος ψυχὴν, καὶ ἐν τῇ ψυχῇ διὰ τὸ κατ' εἰ-

καὶ ναός ἐστι τοῦ ἐν τῷ κατ' εἰκόνα ἀνειληφότος τοῦ θεοῦ τὰ τοῦ θεοῦ τὸ σῶμα τοῦ τοιαύτην ἔχοντος ψυχὴν, καὶ ἐν τῇ ψυχῇ, διὰ τὸ κατ' εἰκόνα, τὸν θεόν.

64. Πάλιν δ' αὖ ἑαυτῷ συνείρει πλείονα λέγων, ὡς ὑφ' ἡμῶν διδόμενα, ἅπερ οὐδεὶς τῶν ἐν Χριστιανοῖς νοῦν ἐχόντων δίδωσιν. Οὐ γάρ φησί τις ἡμῶν, ὅτι »μετέχει σχήματος ὁ θεὸς, ἢ χρώματος·« ἀλλ' οὐδὲ »κινήσεως« μετέχει ὁ, διὰ τὸ ἑστηκέναι καὶ βεβαίαν εἶναι τὴν φύσιν αὐτοῦ, προκαλούμενος καὶ τὸν δίκαιον ἐπὶ τὰ παραπλήσια, καὶ λέγων· »σὺ[1]) δὲ αὐτοῦ στῆθι μετ'[2]) ἐμοῦ.« Εἰ δέ τινες λέξεις οἱονεὶ κίνησίν τινα παριστᾶσιν αὐτοῦ, ὡς καὶ ἡ λέγουσα· »ἤκουσαν[3]) κυρίου τοῦ θεοῦ περιπατοῦντος ἐν τῷ παραδείσῳ τὸ δειλινόν·« οὕτως ἀκουσιέον τῶν τοιούτων, ὡς κινουμένου νοουμένου τοῦ θεοῦ τοῖς ἡμαρτηκόσιν· ἢ οὕτως ἀκουστέον τῶν τοιούτων, ὡς καὶ ὕπνου θεοῦ τροπικῶς λεγομένου, ἢ ὀργῆς,[4]) ἤ τινος τῶν παραπλησίων.[5]) Ἀλλ' »οὐδ' οὐσίας μετέχει ὁ θεός.« Μετέχεται γὰρ (320) μᾶλλον ἢ μετέχει· καὶ μετέχεται ὑπὸ τῶν ἐχόντων πνεῦμα θεοῦ.« Καὶ ὁ σωτὴρ ἡμῶν οὐ μετέχει μὲν δικαιοσύνης· δικαιοσύνη δὲ ὧν μετέχεται[6]) ὑπὸ τῶν δικαίων. Πολὺς δ' ὁ περὶ τῆς οὐσίας λόγος καὶ δυσθεώ-

---

κόνα, τὸν θεόν. Cetera ei aliena et addititia videntur. — Cfr. I Cor. VI, 19.

[1]) Deut. V, 31.

[2]) Hoeschel. in textu, Spenc. ad marg. μεθ' ἡμῶν.

[3]) Cfr. Gen. III, 8. — Hoeschel. et Spenc. post ἤκουσαν, intra uncinulos addunt: τῆς φωνῆς, quod abest a Mss. Codd. R.

[4]) Cfr. Psalm. LXXVIII, 31. 49. (LXXVII.)

[5]) Libri editi (v. c. edd. Spenc.) in margine: παραπλησίαν. R.

[6]) Libri antea editi (v. c. edd. Spenc.) μετέχεται ἀπὸ τῶν κτλ. At supra legitur: μετέχεται ὑπὸ τῶν ἐχόντων. Ergo et hic scribendum fuit: ὑπὸ τῶν δικαίων. R.

ρητος· καὶ μάλιστα, ἐὰν[1]) ἡ κυρίως οὐσία, ἡ ἑστῶσα καὶ ἀσώματος ᾖ· ἵν' εὑρεθῇ, πότερον ἐπέκεινα οὐσίας ἐστὶ πρεσβείᾳ καὶ δυνάμει ὁ θεὸς μεταδιδοὺς οὐσίας, οἷς μεταδίδωσι κατὰ τὸν ἑαυτοῦ λόγον καὶ αὐτῷ λόγῳ· ἢ καὶ αὐτός ἐστιν οὐσία, πλὴν τῇ φύσει ἀόρατος λέγεται ἐν τῷ περὶ τοῦ σωτῆρος λόγῳ, φάσκοντι· »ὅς[2]) ἐστιν εἰκὼν τοῦ θεοῦ τοῦ ἀοράτου« σημαίνεται δὲ ἐκ τῆς »ἀοράτου« φωνῆς ὁ ἀσώματος. Ζητητέον δὲ καὶ, εἰ οὐσίαν μὲν οὐσιῶν λεκτέον, καὶ ἰδέαν ἰδεῶν, καὶ ἀρχὴν, τὸν μονογενῆ καὶ πρωτότοκον πάσης κτίσεως· ἐπέκεινα δὲ πάντων τούτων τὸν πατέρα αὐτοῦ καὶ θεόν.

65. Ὁ μὲν οὖν Κέλσος περὶ θεοῦ φησιν· »ὅτι ἐξ αὐτοῦ τὰ πάντα·« ἀπολύσας,[3]) οὐκ οἶδ' ὅπως, τὰ πάντα αὐτοῦ·[4]) ὁ δ' ἡμέτερος Παῦλος »ἐξ[5]) αὐτοῦ« λέγει, καὶ »δι' αὐτοῦ, καὶ εἰς αὐτὸν τὰ πάντα,« παρισὰς τὴν ἀρχὴν τῆς τῶν πάντων ὑποσιάσεως ἐν τῷ »ἐξ αὐτοῦ,« καὶ τὴν συνοχὴν ἐν τῷ »δι' αὐτοῦ,« καὶ τὸ τέλος ἐν τῷ »εἰς αὐτόν.« Ἀληθῶς δὲ ἐξ οὐδενὸς ὁ θεός. Ἐπεὶ δέ φησιν· »ὅτι οὐδὲ λόγῳ ἐφικτός·« διαστέλλομαι τὸ σημαινόμενον, καί φημι· Εἰ μὲν λόγῳ τῷ ἐν ἡμῖν, εἴτε ἐνδιαθέτῳ, εἴτε καὶ προφορικῷ· καὶ ἡμεῖς φήσομεν, ὅτι οὐκ ἔστιν ἐφικτὸς τῷ λόγῳ ὁ θεός. Εἰ δὲ νοήσαντες τό· »ἐν[6]) ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεὸν, καὶ θεὸς ἦν ὁ λόγος·« ἀποφαινόμεθα, ὅτι τούτῳ τῷ λόγῳ ἐφικτός ἐστιν ὁ θεὸς, οὐ

---

[1]) Spenc. et Ruaeus in textu: ἐὰν ᾖ κυρίως οὐσία, ἡ ἑστῶσα καὶ ἀσώματος ᾖ. Jam Boherell. vero, quem Ruaeus in notis sequitur: „Lego: ἐὰν ἡ κυρίως οὐσία, ἡ ἑστῶσα καὶ ἀσώματος ᾖ.“

[2]) Coloss. I, 15.

[3]) Boherellus: „Forte legendum: ἀναλύσας.“

[4]) Boherellus: „Lego: αὐτοῦ, et explico: *Propria ipse principia*, quae sunt Epicuri, *subruens*.“

[5]) Rom. XI, 36.

[6]) Ev. Joann. I, 1.

μόνῳ αὐτῷ καταλαμβανόμενος, ἀλλὰ καὶ ᾧ ἂν[1]) αὐτὸς ἀποκαλύψῃ τὸν πατέρα, ψευδοποιήσομεν[2]) τὴν Κέλσου λέξιν, φάσκοντος· »Οὐδὲ λόγῳ ἐφικτός ἐστιν ὁ θεός.« Καὶ τό· »οὐκ ὀνομαστὸς δέ·« διαστολῆς δεῖται. Εἰ μὲν γὰρ, ὅτι οὐδὲν τῶν ἐν λέξεσι καὶ σημαινομένοις δύναται παραστῆσαι τὰς ἰδιότητας τοῦ θεοῦ, ἀληθές ἐστι τὸ λεγόμενον· εἴ γε καὶ πολλαὶ ποιότητες οὐκ εἰσὶν ὀνομασταί. Τίς γὰρ δύναται ὀνόμασι διαφορὰν δοῦναι ποιότητος γλυκύτητος φοίνικος, καὶ γλυκύτητος ἰσχάδος; Τίς δὲ ὀνόματι δύναται διαστεῖλασθαι καὶ παραστῆσαι τὴν ἑκάστου ἰδίαν ποιότητα; Οὐδὲν οὖν θαυμαστὸν, εἰ οὐκ ἔστιν οὕτως ὀνομαστὸς ὁ θεός. Εἰ δὲ τὸ ὀνομαστὸν λαμβάνεις καθὸ οἷόν τέ ἐστιν ὀνόμασι παραστῆσαί τι τῶν περὶ αὐτοῦ εἰς τὸ χειραγωγῆσαι τὸν ἀκροατὴν, καὶ ποιῆσαι νοῆσαι περὶ θεοῦ, κατὰ τὸ ἐφικτὸν τῇ ἀνθρωπίνῃ φύσει, τινὰ τῶν περὶ αὐτοῦ· οὐδὲν ἄτοπον λέγειν αὐτὸν ὀνομαστόν. Οὕτω δὲ διαστελούμεθα καὶ τό· »Οὐδὲν γὰρ πέπονθεν ὀνόμασι καταληπτόν.« Ἀληθὲς δὲ καὶ τὸ ἔξω παντὸς πάθους εἶναι τὸν θεόν. Καὶ ταῦτα μὲν ταύτῃ.

66. Ἴδωμεν δὲ καὶ τὴν ἑξῆς αὐτοῦ λέξιν, δι' ἧς οἰονεὶ προσωποποιεῖταί τινα, μετὰ (321) τὸ ἀκοῦσαι τούτων, τοιαῦτα λέγοντα· »Πῶς οὖν γνῶ τὸν θεόν; Καὶ πῶς τὴν ἐκεῖσε ὁδὸν μάθω; Καὶ πῶς αὐτόν μοι δεικνύεις; Ὡς νῦν γε σκότον μου τῶν ὀφθαλμῶν προβάλλεις, καὶ οὐδὲν ἐναργὲς βλέπω.« Εἶτα πρὸς τὸν οὕτως ἐπαπορήσαντα οἰονεὶ ἀποκρίνεται, καὶ[3]) τὴν αἰ-

[1]) Deest ἄν in edd. Spenc.

[2]) Ante voc. ψευδοποιήσομεν, Guieto restituendum videtur: καί. Ego nihil addi velim. R.

[3]) Libri antea editi (v. c. edd. Spenc.) uncis voc. φησί appositis: καί φησι τὴν αἰτίαν τοῦ σκότου (sic quoque edd. Spenc. ad marg., in textu vero: σκότου) εἶναι τῶν ὀφθαλμῶν κιλ. Sed φησί recte abest a Codd. Anglicano primo et Vaticano, nec ullus est, qui non vi-

τίαν τοῦ σκότον τῶν ὀφθαλμῶν κατακεχύσθαι τοῦ εἰπόντος τὰ προειρημένα ἀποδιδόναι νομίζει, φάσκων· »οὓς ἄν τις εἰς λαμπρὸν φῶς ἐκ σκότους προαγάγῃ,[1]) τούτους, μὴ δυναμένους ἀντέχειν ταῖς μαρμαρυγαῖς, κολάζεσθαι τὴν ὄψιν, καὶ βλάπτεσθαι, καὶ νομίζειν πηροῦσθαι.« Καὶ πρὸς ταῦτα δὲ φήσομεν, καθῆσθαι μὲν ἐν σκότῳ, καὶ ἱδρύσθαι ἐν αὐτῷ πάντας, τοὺς εἰς τὰς τῶν ζωγράφων, καὶ πλαστῶν, καὶ ἀνδριαντοποιῶν ἐνορῶντας κακοτεχνίας, μὴ βουλομένους δ' ἀναβλέψαι καὶ ἀναβῆναι τῷ νῷ ἀπὸ ὁρατῶν καὶ πάντων αἰσθητῶν ἐπὶ τὸν ὅλων δημιουργόν, ὅς ἐστι φῶς· ἐν φωτὶ δὲ τυγχάνειν πάντα, τὸν ταῖς τοῦ λόγου αὐγαῖς ἀκολουθήσαντα, δείξαντος ἀφ' ὅσης ἀγνοίας, καὶ ἀσεβείας, καὶ τῆς περὶ τὸ θεῖον ἀμαθίας ταῦτα ἀντὶ τοῦ θεοῦ προσεκυνεῖτο· καὶ χειραγωγήσαντος τὸν τοῦ βουλομένου σώζεσθαι νοῦν πρὸς τὸν ἀγέννητον[2]) καὶ ἐπὶ πᾶσι θεόν. »Λαὸς[3]) γὰρ ὁ καθήμενος ἐν σκοτίᾳ, ὁ τῶν ἐθνῶν, φῶς εἶδε μέγα· καὶ τοῖς καθημένοις ἐν χώρᾳ καὶ σκιᾷ θανάτου φῶς ἀνέτειλεν,« ὁ θεὸς Ἰησοῦς. Οὐδεὶς οὖν Χριστιανὸς ἀποκρίνεται τῷ Κέλσῳ, ἤ τινι τῶν κατηγορούντων τοῦ θείου λόγου, φάσκων· „Πῶς γνῶ τὸν θεόν;" Ἕκαστος γὰρ αὐτῶν, ὡς ἐγχωρεῖ, ἔγνω τὸν θεόν. Καὶ οὐδείς φησι· „Πῶς τὴν ἐκεῖσε ὁδὸν μάθω;" ἅτε ἀκούσας τοῦ εἰπόντος· „ἐγώ[4]) εἰμι ἡ ὁδός, καὶ ἡ ἀλήθεια, καὶ ἡ ζωή·" καὶ γευσάμενος ἐν τῷ ὁδεύειν τῆς ἀπὸ τοῦ ὁδεύειν ὠφελείας. Καὶ οὐδεὶς ἂν Χριστιανῶν λέγοι[5]) Κέλσῳ· „Πῶς μοι δεικνύεις τὸν θεόν;"

---

deat, verbum εἶναι fuisse pariter expungendum. R. — Boherellus: „Lego: τοῦ σκότον ἐπὶ τῶν ὀφθαλμῶν" κτλ.

[1]) Cod. Anglican. secundus: παραγάγῃ. R.

[2]) Sic duo Codd. Anglicani. Hoeschel. et Spenc. ἀγένητον. R.

[3]) Cfr. Matth. IV, 16. coll. Jesai. IX, 2.

[4]) Ev. Joann. XIV, 6.

[5]) Mss. (itemq. Boherell.) λέγοι. Hoeschel. et Spenc. λέγει. R.

αὐτὸν βλέπειν καθὸ λόγος ἦν, καὶ πρὸς θεὸν ἦν, καὶ θεὸς ἦν. Καὶ σωματικῶς γε λαλούμενος, καὶ ὡς σὰρξ ἀπαγγελλόμενος,[1]) ἐφ' ἑαυτὸν καλεῖ τοὺς ὄντας σάρκα, ἵν' αὐτοὺς ποιήσῃ πρῶτον μορφωθῆναι κατὰ τὸν[2]) λόγον, τὸν γενόμενον σάρκα· καὶ μετὰ τοῦτο αὐτοὺς ἀναβιβάσῃ ἐπὶ τὸ ἰδεῖν αὐτὸν, ὅπερ ἦν πρὶν γένηται σάρξ· ὥστε αὐτοὺς ὠφεληθέντας, καὶ ἀναβάντας ἀπὸ τῆς κατὰ σάρκα εἰσαγωγῆς, εἰπεῖν τό· „εἰ[3]) καὶ Χριστόν ποτε κατὰ σάρκα ἐγνώκαμεν, ἀλλὰ νῦν οὐκ ἔτι γινώσκομεν.« Σὰρξ[4]) οὖν ἐγένετο· καὶ γενόμενος σὰρξ »ἐσκήνωσεν[5]) ἐν ἡμῖν,« οὐκ ἔξω γινόμενος ἡμῶν· σκηνώσας δὲ καὶ γενόμενος ἐν ἡμῖν, οὐκ ἔμεινεν ἐπὶ τῆς πρώτης μορφῆς· ἀλλ' ἀναβιβάσας ἡμᾶς ἐπὶ τὸ λογικὸν ὑψηλὸν ὄρος,[6]) ἔδειξεν ἡμῖν τὴν ἔνδοξον μορφὴν ἑαυτοῦ, καὶ τὴν λαμπρότητα τῶν ἐνδυμάτων αὐτοῦ· καὶ οὐχ ἑαυτοῦ γε μόνου, ἀλλὰ καὶ τοῦ πνευματικοῦ[7]) νόμου, ὅς ἐστιν ἐν δόξῃ ὀφθεὶς μετὰ Ἰησοῦ Μωϋσῆς. Ἐδειξε δ' ἡμῖν καὶ πᾶσαν προφητείαν, οὐδὲ μετὰ τὸ ἐνανθρωπῆσαι ἀποθνήσκουσαν, ἀλλ' ἀναλαμβανομένην (323) εἰς οὐρανὸν, ἧς σύμβολον Ἠλίας ἦν. Ὁ δὲ ταῦτα θεωρήσας εἴποι ἂν τό· »ἐθεασάμεθα[8]) τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ[9]) πατρὸς· πλήρης χάριτος καὶ ἀληθείας.« Κέλσος μὲν οὖν ἰδιωτικώτερον ἀνέπλασεν ἃ οἴεται ἡμᾶς λέξειν πρὸς τὸ πύσμα αὐτοῦ· »Πῶς οἰόμεθα γνωρίσειν[10]) τὸν θεόν; Καὶ πῶς σωθή-

---

[1]) Sic Codd. Reg. et Basileensis. Libri editi (v. c. edd. Spenc.) ἐπαγγελλόμενος. R.

[2]) Deest τόν in edd. Spenc.

[3]) Cfr. II Cor. V, 16. [4]) Ev. Joann. I, 14.

[5]) Ev. Joann. I, 14.

[6]) Cfr. Matth. XVII, 1—3.

[7]) Spenc. πνευματικοῦ γε νόμου.

[8]) Cfr. ev. Joann. I, 14.

[9]) Uncis inclusum legitur παρά in edd. Spenc.

[10]) Edd. Spenc. et Ruaei hoc loco, cfr. pag. 415. not. 4., γνωρίσειν.

σεσθαι πρὸς [1]) αὐτοῦ;« Ἡμεῖς δὲ εἴποιμεν ἂν τὰ προεκκείμενα.

69. Πλήν φησιν ὁ Κέλσος ἡμᾶς ἀποκρίνεσθαι εἰκότι στοχασμῷ, ὁμολογῶν ἀναγράφειν ἡμῶν τὴν ἀπόκρισιν οὕτως ἔχουσαν· »Ἐπειδὴ μέγας ἐστὶ καὶ δυσθεώρητος ὁ θεὸς, πνεῦμα ἴδιον ἐμβαλὼν εἰς σῶμα ἡμῖν ὅμοιον δεῦρο κατέπεμψεν, ὡς ἂν δυνηθείημεν ἀκοῦσαι παρ' αὐτοῦ καὶ μαθεῖν.« Οὐ μόνος δὲ μέγας καθ' ἡμᾶς ἐστιν ὁ τῶν ὅλων θεὸς καὶ πατήρ· μετέδωκε γὰρ ἑαυτοῦ καὶ τῆς μεγαλειότητος τῷ μονογενεῖ καὶ πρωτοτόκῳ [2]) πάσης κτίσεως· ἵν', εἰκὼν αὐτὸς τυγχάνων τοῦ ἀοράτου θεοῦ, καὶ ἐν τῷ μεγέθει σώζῃ τὴν εἰκόνα τοῦ πατρός. Οὐ γὰρ οἷόν τ' ἦν εἶναι σύμμετρον, ἵν' οὕτως ὀνομάσω, καὶ καλὴν εἰκόνα τοῦ ἀοράτου θεοῦ, μὴ καὶ τοῦ μεγέθους παριστᾶσαν τὴν εἰκόνα. Ἀλλὰ καὶ ὁ θεὸς καθ' ἡμᾶς τῷ μὲν μὴ εἶναι σῶμα ἀόρατός ἐστιν· τοῖς δὲ θεωρητικοῖς καρδίᾳ θεωρητὸς, τουτέστι νῷ· καρδίᾳ δὲ οὐ τῇ τυχούσῃ, ἀλλὰ τῇ καθαρᾷ. Οὐ γὰρ θέμις μεμολυσμένην καρδίαν ἐνορᾶν θεῷ, ἀλλὰ δεῖ καθαρὸν εἶναι τὸ τοῦ καθαροῦ κατ' ἀξίαν θεωρητικόν. Ἔστω δὴ καὶ δυσθεώρητος ὁ θεός· ἀλλ' οὐ μόνος δυσθεώρητός ἐστί τινι, ἀλλὰ καὶ ὁ μονογενὴς αὐτοῦ. Δυσθεώρητος γὰρ ὁ θεὸς λόγος, δυσθεώρητος δὲ οὐτωσὶ [3]) καὶ σοφία ἐστὶν, ἐν ᾗ τὰ πάντα πεποίηκεν ὁ θεός. Τίς γὰρ δύναται καθ' ἕκαστον τῶν πάντων τὴν σοφίαν, ἐν ᾗ ὁ θεὸς καὶ ἕκαστον τῶν πάντων πεποίηκε, θεωρῆσαι; Οὐ διὰ τὸ δυσθεώρητος οὖν ὁ θεὸς εἶναι, ὡς εὐθεώρητον τὸν θεὸν τὸν υἱὸν ἔπεμψεν. Ἅπερ μὴ νοήσας ὁ Κέλσος εἶπεν ὡς ἐκ προσώπου ἡμῶν·

---

[1]) Mss. πρὸς αὐτοῦ. Libri antea editi (v. c. edd. Spenc.) πρὸς αὐτόν. R. — Cfr. pag. 415. not. 5.

[2]) Cfr. Coloss. I, 15.

[3]) Hoeschel. in textu (Spenc. ad marg.) οὐτοσί, pro quo Guietus scribendum conjiciebat τούτου. R.

»Διὰ τὸ δυσθεώρητος εἶναι, πνεῦμα ἴδιον ἐμβαλὼν εἰς σῶμα ἡμῖν ὅμοιον δεῦρο κατέπεμψεν, ὡς ἂν δυνηθείημεν ἀκοῦσαί τε παρ' αὐτοῦ καὶ μαθεῖν.« Ἀλλ', ὡς ἀποδεδώκαμεν, καὶ ὁ υἱὸς δυσθεώρητος ὤν, ἅτε λόγος θεὸς, δι' οὗ τὰ πάντα ἐγένετο,[1]) καὶ »ἐσκήνωσεν[2]) ἐν ἡμῖν.«

70. Εἰ δὲ συνίει[3]) Κέλσος ἃ λέγομεν περὶ πνεύματος θεοῦ, καὶ ὅτι »ὅσοι[4]) πνεύματι θεοῦ ἄγονται, οὗτοι υἱοὶ θεοῦ εἰσιν·« οὐκ ἂν ἑαυτῷ ὡς ἀφ' ἡμῶν ἀπεφήνατο, ὅτι „πνεῦμα ἴδιον ἐμβαλὼν εἰς σῶμα ὁ θεὸς δεῦρο κατέπεμψεν.“ Ἀεὶ γὰρ ὁ θεὸς μεταδίδωσι, τοῖς δυναμένοις μετέχειν αὐτοῦ, τοῦ ἰδίου πνεύματος, οὐ κατὰ ἀποτομὴν καὶ διαίρεσιν ἐγγινομένου τοῖς ἀξίοις. Οὐδὲ γὰρ σῶμα τὸ καθ' ἡμᾶς πνεῦμα, ὡς οὐδὲ σῶμα τὸ πῦρ, ὅπερ (324) εἶναι λέγεται θεὸς ἐν τῷ· „ὁ[5]) θεὸς ἡμῶν πῦρ κατανα̃λίσκον.“ Πάντα γὰρ ταῦτα τροπικῶς λέγεται, εἰς παράστασιν τὴν ἀπὸ τῶν συνήθων καὶ σωματικῶν ὀνομάτων τῆς νοητῆς φύσεως. Καὶ ὥσπερ, ἐὰν λέγηται τὰ ἁμαρτήματα ξύλα[6]) εἶναι, καὶ χόρτος, καὶ καλάμη, οὐκ ἐροῦμεν εἶναι τὰ ἁμαρτήματα σώματα· καὶ ἐὰν λέγηται τὰ ἀνδραγαθήματα χρυσὸς[7]) εἶναι, καὶ ἄργυρος, καὶ λίθος τίμιος, οὐ φήσομεν εἶναι τὰ ἀνδραγαθήματα σώματα· οὕτω κἂν λέγηται ὁ θεὸς εἶναι πῦρ[8]) κατανα̃λίσκον τὰ ξύλα, καὶ τὸν χόρτον, καὶ τὴν καλάμην, καὶ πᾶσαν οὐσίαν[9]) ἁμαρτίας,

---

[1]) Cfr. ev. Joann. I, 3.

[2]) Cfr. ev. Joann. I, 14.

[3]) Codd. Mss. *συνίει*. Libri editi (v. c. edd. Spenc.) *συνήει*. R. — Spenc. ad marg. *συνιεῖ*.

[4]) Cfr. Rom. VIII, 14.

[5]) Hebr. XII, 29. [6]) Cfr. I Cor. III, 12.

[7]) Cfr. I Cor. III, 12.

[8]) Cfr. Hebr. XII, 29. coll. I Cor. III, 12.

[9]) Vide lib. IV. num. 13.

οὐ σῶμα αὐτὸν νοήσομεν· ὡς[1]) οὐδ' ἐὰν λέγηται πῦρ, σῶμα νοοῦμεν αὐτόν. Οὕτως ἐὰν λέγηται πνεῦμα ὁ θεὸς, οὐ σῶμα αὐτὸν λέγομεν εἶναι. Πρὸς γὰρ ἀντιδιαστολὴν τῶν αἰσθητῶν ἔθος τῇ γραφῇ τὰ νοητὰ ὀνομάζειν πνεύματα, καὶ πνευματικά· οἷον ἐὰν λέγῃ ὁ Παῦλος· „ἀλλ'[2]) ἡ ἱκανότης ἡμῶν ἐκ τοῦ θεοῦ· ὃς καὶ ἱκάνωσεν ἡμᾶς διακόνους καινῆς διαθήκης, οὐ γράμματος, ἀλλὰ πνεύματος· τὸ γὰρ γράμμα ἀποκτείνει, τὸ δὲ πνεῦμα ζωοποιεῖ·" γράμμα μὲν τὴν αἰσθητὴν ὠνόμασεν ἐκδοχὴν τῶν θείων γραμμάτων, πνεῦμα δὲ τὴν νοητήν. Οὕτω τοίνυν καὶ ἐν τῷ· „πνεῦμα[3]) ὁ θεός." Ἐπεὶ καὶ Σαμαρεῖς καὶ Ἰουδαῖοι σωματικῶς καὶ τυπικῶς ἐποίουν τὰ προσταττόμενα ὑπὸ τοῦ νόμου, εἶπεν ὁ σωτὴρ πρὸς τὴν Σαμαρεῖτιν· „ὅτι[4]) ἔρχεται ὥρα, ὅτε οὔτε ἐν Ἱεροσολύμοις, οὔτε ἐν τῷ ὄρει τούτῳ, προσκυνήσουσι[5]) τῷ πατρί. Πνεῦμα ὁ θεός· καὶ τοὺς προσκυνοῦντας αὐτὸν, ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν." Διὸ ὧν ἐδίδαξεν, ὅτι οὐκ ἐν σαρκὶ δεῖ προσκυνεῖν καὶ σαρκίναις θυσίαις τὸν θεὸν, ἀλλ' ἐν πνεύματι. Καὶ γὰρ αὐτὸς ἀνάλογον[6]) τῷ ἐν πνεύματι καὶ νοητῶς λατρεύειν τινὰ αὐτῷ πνεῦμα νοηθείη ἄν. Ἀλλὰ καὶ οὐκ ἐν τύποις προσκυνεῖν δεῖ τῷ[7]) πατρὶ, ἀλλ' ἐν ἀληθείᾳ, ἥτις[8]) „διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο," μετὰ τ

---

[1]) Sic Codd. Reg. et Basileensis. Libri vero edi (v. c. edd. Spenc.) Ὡς δ' ἐὰν λέγηται πῦρ, οὐ σῶμ νοοῦμεν αὐτόν· οὕτως ἐάν κτλ. R.

[2]) II Cor. III, 5. 6.

[3]) Ev. Joann. IV, 24.

[4]) Cfr. ev. Joann. IV, 21. 24.

[5]) Vulgata: προσκυνήσετε. Cfr. ev. Joann. IV, 21

[6]) Edd. Spenc. et Ruaei in textu: ἀνάλογον ἐν πνε μαι κτλ., ed. vero Ruaei in notis: „Lego cum Guie et Boherello: ἀνάλογον τῷ ἐν πνεύματι" κτλ.

[7]) Sic Mss. Libri vero antea editi (v. c. edd. Spen πνεύματι. R. — Cfr. ev. Joann. IV, 23.

[8]) Cfr. ev. Joann. I, 17.

δοθῆναι τὸν νόμον διὰ Μωϋσέως. Ἡνίκα γὰρ ἐὰν[1]) ἐπιστρέψωμεν πρὸς κύριον, („ὁ[2]) δὲ κύριος τὸ πνεῦμά ἐστι,“) περιαιρεῖται[3]) τὸ τῇ καρδίᾳ κάλυμμα ἐπικείμενον, ἡνίκα[4]) ἂν ἀναγινώσκηται Μωϋσῆς.

71. Ὡς μὴ νοήσας δὴ τὰ περὶ τοῦ πνεύματος τοῦ θεοῦ ὁ Κέλσος· („ψυχικὸς[5]) γὰρ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος τοῦ θεοῦ· μωρία γὰρ αὐτῷ ἐστι· καὶ οὐ δύναται γνῶναι, ὅτι[6]) πνευματικῶς ἀνακρίνεται·“) ἑαυτῷ συνάπτει,[7]) οἰόμενος ἡμᾶς, λέγοντας πνεῦμα[8]) εἶναι τὸν θεὸν, μηδὲν ἐν τούτῳ διαφέρειν τῶν παῤ Ἕλλησι Στωϊκῶν,[9]) φασκόντων ὅτι ὁ θεὸς πνεῦμά ἐστι διὰ πάντων διεληλυθὸς, καὶ πάντ᾽ ἐν ἑαυτῷ περιέχον. Διήκει μὲν γὰρ ἡ ἐπισκοπὴ καὶ ἡ πρόνοια τοῦ θεοῦ διὰ πάντων, ἀλλ᾽ οὐχ ὡς τὸ τῶν Στωϊκῶν πνεῦμα. Καὶ πάντα μὲν περιέχει τὰ προνοούμενα ἡ πρόνοια, καὶ περιείληφεν αὐτὰ, οὐχ ὡς σῶμα δὲ περιέχον περιέχει, ὅτι[10]) καὶ σῶμά ἐστι τὸ περιεχόμενον· ἀλλ᾽ ὡς (325) δύναμις θεία καὶ περιειληφυῖα τὰ περιεχόμενα. Κατὰ μὲν οὖν τοὺς[11]) ἀπὸ τῆς Στοᾶς, σωματικὰς λέγοντας εἶναι τὰς ἀρχὰς, καὶ διὰ τοῦτο πάντα φθείροντας, κινδυνεύοντας δὲ καὶ αὐτὸν φθεῖραι τὸν

---

[1]) Boherellus: „Lege: ἄν.“ — Cfr. II Cor. III, 16.

[2]) II Cor. III, 17.

[3]) Cfr. II Cor. III, 16. coll. 15.

[4]) Cfr. II Cor. III, 15.

[5]) Cfr. I Cor. II, 14.

[6]) Spenc. in textu: ὅ, τι πνευματικῶς κτλ., ad marg. vero: „Libri editi (scil. N. T.): ὅτι πνευματικῶς“ κτλ.

[7]) Mallet Guietus: συνάδει. R.

[8]) Cfr. ev. Joann. IV, 24.

[9]) Vide lib. III. contra Cels. num. 74., lib. IV. num. 14. et 68.

[10]) Codd. Reg. et Basil. ὅτε καὶ σῶμά ἐστι κτλ. R.

[11]) Vide lib. I. contra Cels. num. 21., lib. III. num. 74. et lib. IV. num. 14. et 68.

ἐπὶ πᾶσι θεὸν, εἰ μὴ πάνυ ἀπεμφαῖνον τοῦτ' αὐτοῖς ἐδόκει τυγχάνειν, καὶ ὁ λόγος τοῦ θεοῦ, ὁ μέχρι ἀνθρώπων καὶ τῶν ἐλαχίστων καταβαίνων, οὐδὲν ἄλλο ἐστὶν, ἢ πνεῦμα σωματικόν· κατὰ δὲ ἡμᾶς, καὶ τὴν λογικὴν ψυχὴν πειρωμένους ἀποδεικνύναι κρεῖττονα πάσης σωματικῆς φύσεως, καὶ οὐσίαν ἀόρατον, καὶ ἀσώματον, οὐκ ἂν σῶμα εἴη ὁ θεὸς λόγος, δι' οὗ τὰ πάντα[1]) ἐγένετο, ὁ φθάνων ἵνα πάντα διὰ λόγου γένηται, οὐχ ἕως ἀνθρώπων μόνων,[2]) ἀλλὰ καὶ τῶν ἐλαχίστων εἶναι νομιζομένων[3]) καὶ ὑπὸ φύσεως διοικουμένων. Πάντα μὲν οὖν οἱ[4]) ἀπὸ τῆς Στοᾶς ἐκπυρούτωσαν· ἡμεῖς δὲ ἀσώματον οὐσίαν οὐκ ἴσμεν ἐκπυρουμένην, οὐδ' εἰς πῦρ ἀναλυομένην τὴν ἀνθρώπου ψυχὴν, ἢ τὴν ἀγγέλων, ἢ θρόνων, ἢ κυριοτήτων, ἢ ἀρχῶν, ἢ ἐξουσιῶν ὑπόστασιν.

72. Διόπερ μάτην λέλεκται τῷ Κέλσῳ, ὡς μὴ εἰδότι τὰ τοῦ πνεύματος τοῦ θεοῦ, ὅτι »ἐπείπερ πνεῦμά ἐστιν ἀπὸ τοῦ θεοῦ ὁ υἱὸς ἐν ἀνθρωπίνῳ γεγονὼς σώματι, οὐδ' ἂν αὐτὸς εἴη ἀθάνατος ὁ τοῦ θεοῦ υἱός.« Εἶτα πάλιν ἑαυτῷ φύρει τὸν λόγον, ὥς τινων ἀφ' ἡμῶν οὐχ ὁμολογησάντων[5]) πνεῦμα εἶναι τὸν θεὸν, ἀλλὰ τὸν υἱὸν αὐτοῦ, καὶ οἴεται ἀπαντᾷν λέγων, ὅτι »οὐδεμία τοιαύτη φύσις ἐστὶ πνεύματος, ὥστ' ἀεὶ διαμένειν·« ὡσεὶ[6]) καὶ, λεγόντων ἡμῶν, ὅτι ὁ θεὸς πῦρ[7]) ἐστι κατανάλισκον, ἔλεγεν »ὅτι οὐδεμία τοιαύτη ἐστὶ φύσις πυρὸς, ὥστ' ἀεὶ διαμένειν·« οὐκ ὁρῶν, πῶς λέγομεν εἶ-

---

[1]) Spenc. πάντ' ἐγένετο. — Cfr. ev. Joann. I, 3.

[2]) Codd. Reg. et Basil. μόνον. R.

[3]) Boherellus: „Melius forte: νομιζομένων τῶν ὑπὸ φύσεως" κτλ.

[4]) Vide lib. V. contra Cels. num. 20.

[5]) Hoeschel. in textu, Spenc. in notis: ὁμολογησόντων.

[6]) Spenc. ad marg. ὡς εἰ καί κτλ.

[7]) Cfr. Hebr. XII, 29.

ναι πῦρ τὸν θεὸν ἡμῶν, καὶ τίνων ἀναλωτικὸν, ὅτι ἁμαρτημάτων καὶ τῆς κακίας. Πρέπει γὰρ θεῷ ἀγαθῷ, μετὰ τὸ ἕκαστον φανῆναι ἀγωνισάμενον, ὁποῖος γέγονεν ἀγωνιστὴς, ἀναλῶσαι [1]) τῷ πυρὶ τῶν κολάσεων τὴν κακίαν. Εἶτα πάλιν ἑαυτῷ τὸ μὴ λεγόμενον ὑφ' ἡμῶν λαμβάνει, ὅτι »ἀναγκαῖόν ἐστι τὸ ἀναπεπνευκέναι [2]) τὸν θεόν.« Καὶ τούτῳ ἀκόλουθον τὸ μὴ δύνασθαι ἀναστῆναι μετὰ τοῦ σώματος τὸν Ἰησοῦν. Οὐκ ἂν γὰρ ἀπειλήφει ὃ δέδωκε πνεῦμα ὁ θεὸς καταμεμολυσμένον τῇ τοῦ σώματος φύσει. Ἔυηθες οὖν ἀπαιτῶν ἡμᾶς πρὸς τοὺς λόγους, ὡς ἡμετέρους, τοὺς μὴ ἡμετέρους.

73. Εἶθ' ἑξῆς ταυτολογῶν, μετὰ τὸ πολλὰ ἐν τοῖς ἀνωτέρω εἰπεῖν, καὶ χλευάσαι τὴν ἐκ παρθένου γέννησιν τοῦ θεοῦ, πρὸς ἣν κατὰ τὸ δυνατὸν ἡμῖν ἀπηντήσαμεν, φησίν· »Εἰ δ' ἐβούλετο πνεῦμα ἐξ ἑαυτοῦ καταπέμψαι, τί ἐδεῖτο εἰς γυναικὸς γαστέρα ἐμπνεῖν; Ἐδύνατο γὰρ, ἤδη πλάσσειν ἀνθρώπους εἰδὼς, καὶ τούτῳ περιπλάσαι σῶμα, καὶ μὴ τὸ ἴδιον πνεῦμα εἰς τοσοῦτον μίασμα ἐμβαλεῖν· οὕτως μέν τ' ἂν οὐδ' ἠπιστεῖτο, εἰ ἄνωθεν εὐθὺς ἔσπαρτο.« (326) Καὶ ταῦτ' εἶπεν, ἐπεὶ μὴ οἶδε [3]) τὴν καθαρὰν καὶ παρθενικὴν γέννησιν, καὶ ἀπὸ μηδεμιᾶς φθορᾶς, τοῦ μέλλοντος ὑπηρετήσασθαι τῇ ἀνθρώπων σωτηρίᾳ σώματος. Οἴεται δὲ ὁ τὸν Στωϊκὸν [4]) λόγον ἐκτιθέμενος, καὶ μὴ προσποιούμενος τὰ περὶ ἀδιαφόρων μεμαθηκέναι, εἰς μίασμα ἐμβεβλῆσθαι τὴν θείαν φύσιν, καὶ μεμιάσθαι εἴτε γενομένην ἐν γυναικὸς σώματι, ἕως περιπλασθῇ αὐτῇ τὸ σῶμα, εἴτε σῶμα ἀνειληφυῖαν· παραπλήσιόν

---

[1]) Vide lib. IV. contra Cels. num. 13.

[2]) Cfr. Matth. XXVII, 50. Marc. XV, 37. Luc. XXIII, 46. coll. ev. Joann. XIX, 30.

[3]) Sic Cod. Regius. Libri editi (v. c. edd. Spenc.) εἶδε. R.

[4]) Vide lib. IV. contra Cels. num. 14. et 68.

τι ποιῶν τοῖς οἰομένοις τὰς[1]) αὐγὰς τοῦ ἡλίου μιαίνεσθαι ἐν τοῖς βορβόροις καὶ τοῖς δυσώδεσι σώμασι, καὶ μὴ μένειν κἀκεῖ καθαράς. Καὶ[2]) εἰ κατὰ τὴν Κέλσου δὲ ὑπόθεσιν χωρὶς γεννήσεως περιεπλάσατο τὸ σῶμα τῷ Ἰησοῦ, εὐθὺς[3]) ἂν οἱ βλέποντες τὸ σῶμα ἐπίστευον, ὅτι οὐκ ἀπὸ γεννήσεως ἦν· οὐδὲ γὰρ τὸ βλεπόμενον ἀπαγγέλλει[4]) καὶ τὴν φύσιν, ὅθεν γεγέννηται.[5]) Οἷον[6]) εἰ καθ' ὑπόθεσιν μέλι ἦν τι μὴ ἀπὸ μελισσῶν, οὐκ ἂν τοῦτό τις ἀπήγγελλεν[7]) ἀπὸ τῆς γεύσεως, ἢ τῆς ὄψεως, ὅτι μὴ ἀπὸ μελισσῶν ἐστιν· ὡς οὐδὲ τὸ ἀπὸ μελισσῶν δείκνυσι τῇ αἰσθήσει τὴν ἀρχὴν, ἀλλ' ἡ πεῖρα δείκνυσιν, ὅτι τοῦτ' ἀπὸ μελισσῶν ἐστιν. Οὕτω δὲ καὶ ἡ πεῖρα διδάσκει, ὅτι ἀπὸ[8]) ἀμπέλου ὁ οἶνος· οὐ γὰρ ἀναιφέρει ἡ γεῦσις τὸ ἀπὸ ἀμπέλου. Τὸν αὐτὸν τρόπον τοίνυν τὸ αἰσθητὸν σῶμα οὐκ ἀπαγγέλλει[9]) τὸν τρόπον τῆς ὑποστάσεως αὐτοῦ. Προσαχθήσῃ δὲ τῷ λεγομένῳ ἀπὸ τῶν ἐν οὐρανοῖς, ὧν τῆς ὑποστάσεως καὶ τῆς λαμπρότητος αἰσθόμεθα, βλέποντες αὐτά. Ἀλλ' οὐ δή που ἡ αἴσθησις ἡμῖν ὑποβάλλει, πότερον γενητὰ ἢ

---

[1]) Cfr. Athanasius lib. de incarnat. Verbi, Basil. Magnus in natal. Christi, Macarius Homil. 7. 11. 16.

[2]) Boherellus: „Lego: *Οὐδ' εἰ κατὰ τήν*" κτλ. — Cfr. pag. huj. not. 3.

[3]) Scribendum videtur Guieto: *οὐκ εὐθὺς ἂν οἱ βλέποντες* κτλ. Certe particula negativa οὐ omnino necessaria videtur. R. — Cfr. pag. huj. not. 2.

[4]) Sic Mss. (itemq. Boherell.) Libri editi (e. c. edd. Spenc.) *ἐπαγγέλλει*, licet infra non semel legatur eodem sensu: *ἀπαγγέλλει*. R. — Cfr. pag. huj. not. 7. et 9.

[5]) Spenc. *γεγένηται*.

[6]) Spenc. *Οἱονεί*. Jam Boherell. vero: „Melius divisim: *Οἷον εἰ*."

[7]) Spenc. et Ruaeus hoc loco, cfr. pag. huj. not. 4., *ἀπήγγελλεν*.

[8]) Deest *ἀπό* in ed. Ruaei.

[9]) Spenc. et Ruaeus hoc loco, cfr. pag. huj. not. 4., *ἀπαγγέλλει*.

ἀγένητά ἐστιν· αἱρέσεις γοῦν καὶ περὶ τούτων συνέστησαν. Ἀλλὰ καὶ οἱ λέγοντες αὐτὰ γενητὰ, οὐχ ὁμονοοῦσι περὶ τοῦ πῶς ἐστι γενητά· οὐδὲ γὰρ ὑποβάλλει καὶ αἴσθησις αὐτῶν, κἂν βιασάμενος ὁ λόγος εὕρῃ, ὅτι γενητά ἐστι, περὶ τοῦ τίνα τρόπον γεγένηται,

74. Εἶθ' ἑξῆς ἐπαναλαμβάνει, πολλάκις ἤδη εἰπὼν τὰ περὶ τῆς γνώμης Μαρκίωνος, καὶ πῃ μὲν ἀληθῶς τὰ Μαρκίωνος ἐκτίθεται, πῃ δὲ κἀκείνων παρήκουσε· πρὸς ἣν οὐκ ἀναγκαῖον ἡμᾶς ἀπαντᾶν, ἢ καὶ ἐλέγξειν. Εἶτα πάλιν ἑαυτῷ ἐπιφέρει τὰ ὑπὲρ Μαρκίωνος καὶ τὰ κατ' αὐτοῦ, λέγων τίνα μὲν ἐκφεύγουσι τῶν ἐγκλημάτων, τίσι δὲ περιπίπτουσι· καὶ ὅτε βούλεται συναγορεύειν τῷ φάσκοντι λόγῳ, πεπροφητεῦσθαι αὐτὸν, ἵνα κατηγορήσῃ Μαρκίωνος καὶ τῶν ἀπ' αὐτοῦ, σαφῶς φησιν, ὅτι »πόθεν ἀποδειχθήσεται θεοῦ παῖς ὁ τοιαῦτα κολασθείς, εἰ μὴ περὶ τούτου προείρηται;« Εἶτα πάλιν παίζει, καὶ, ὡς ἔθος αὐτῷ, χλευάζει, δύο »εἰσάγων υἱοὺς θεῶν, τοῦ δημιουργοῦ ἕνα, καὶ τοῦ κατὰ Μαρκίωνα[1]) θεοῦ ἕτερον· καὶ ἀναζωγραφεῖ αὐτῶν μονομαχίας,[2]) λέγων αὐτὰς εἶναι ὡς τῶν ὀρτύγων[3]) καὶ τῶν πατέρων θεομαχίας·[4]) ἢ[5]) διὰ γῆρας ἀχρήστους αὐτοὺς ὄντας, καὶ ληροῦντας, μηδὲν μὲν ἀλλήλους διατιθέναι, ἐᾷν δὲ τοὺς παῖδας μάχεσθαι.« Ὅπερ[6]) οὖν εἶπεν ἐν τοῖς ἀνωτέρω, τοῦτο φήσομεν πρὸς αὐτόν· »Ποία γραῦς (327) καταβαυκαλῶσα παιδίον οὐκ αἰδεσθήσεται τοιαῦτα λέγειν,« ὁποῖα οὗτος ἐν τῷ ἐπιγρα-

---

[1]) Vide lib. V. contra Cels. num. 54.

[2]) Alii mallent: *θεομαχίας*. R.

[3]) Guietus post *ὀρτύγων* delet *καί*, et legit: *ὀρτύγων τῶν πατέρων*. Quod non probo. R.

[4]) Alii mallent: *μονομαχίας*. R.

[5]) Guieto scribendum videtur: *οὓς διὰ γῆρας*. R.

[6]) Sic Mss. Libri editi (v. c. edd. Spenc.) mendose: *ὅπε*. R.

φομένῳ »ἀληθεῖ λόγῳ;« *Δέον γὰρ αὐτὸν πραγματικῶς στῆναι πρὸς τοὺς λόγους· ὁ δὲ ἐάσας τὰ πράγματα παίζει καὶ βωμολοχεῖ, οἰόμενος μίμους γράφειν ἤ τινα σκώμματα, οὐχ ὁρῶν, ὅτι ἡ τοιαύτη ἀγωγὴ τῶν λόγων παρὰ τὴν πρόθεσιν τὴν αὐτοῦ ἐστι, βουλομένου καταλιπόντας ἡμᾶς Χριστιανισμὸν προσέχειν αὐτοῦ τοῖς δόγμασιν· ἄτινα εἰ μὲν ἐσεμνολόγει, τάχα πιθανώτερα ἦν· ἐπεὶ δὲ χλευάζει, καὶ παίζει, καὶ βωμολοχεῖ, φήσομεν, ὅτι ἀπορίᾳ σεμνῶν λόγων, (οὐ γὰρ εἶχεν αὐτοὺς, οὐδὲ ἠπίστατο), εἰς τοσαύτην ἐνέπεσε φλυαρίαν.*

75. *Ἑξῆς*[1] *τούτοις λέγει, ὅτι »ἐπειδὴ θεῖον*[2] *πνεῦμα ἦν ἐν σώματι· πάντως*[3] *τι παραλλάττειν αὐτὸ*[4] *τῶν λοιπῶν ἐχρῆν, κατὰ*[5] *μέγεθος, ἢ κάλλος, ἢ ἀλκὴν, ἢ φωνὴν, ἢ κατάπληξιν, ἢ πειθώ. Ἀμήχανον γὰρ*[6] *ὅτῳ θεῖόν τι πλέον τῶν ἄλλων προσῆν, μηδὲν ἄλλου διαφέρειν·*[7] *τοῦτο δὲ οὐδὲν ἄλλου διέφερεν, ἀλλ', ὡς φασι, μικρὸν καὶ δυσειδὲς καὶ ἀγενὲς*[8] *ἦν.« Φαίνεται*[9] *δὴ καὶ ἐν τούτοις, ὅτι ἐὰν μὲν κατηγορεῖν θέλῃ*[10] *τοῦ Ἰησοῦ, ὡς πιστεύων*[11] *ταῖς παρέχειν*[12]

---

[1]) Philoc. *Ἑξῆς δὲ τούτοις λέγει, ὁ Κέλσος δηλονότι· ἐπειδή κτλ.* Cfr. Philoc. cap. XV. pag. (edd. Tarini) 134. seqq.

[2]) Philoc. Mscr., Hoeschel. teste: *πνεῦμα θεῖον.*

[3]) Philoc. *πάντως τοι κτλ.*

[4]) Sic Philoc. Hoeschel. vero et Spenc. *αὐτόν.* R. — Jam Boherellus: „Lege: *αὐτό*, quod confirmatur e Philoc. et libri huj. num. 77.“

[5]) Philoc. *ἢ κατὰ μέγεθος, ἢ κατὰ κάλλος.*

[6]) Philoc. *γὰρ ᾧ τὸ θεῖον πλέον τι τῶν κτλ.*

[7]) Philoc. *διαφέρειν. Τὸ δέ γε οὐδὲν ἄλλου κτλ.*

[8]) Philoc. itemq. edd. Spenc. *ἀγεννές.*

[9]) Philoc. Mscr., Hoeschel. teste: *Φαίνεται δὲ καί κτλ.*

[10]) Philoc. *ἐθέλῃ.*

[11]) Hoeschel. in textu, Spenc. ad marg. *πιστεύειν.*

[12]) Philoc. *παρέχειν αὐτῷ δοκούσαις γραφαῖς κτλ.*

δοκούσαις αὐτῷ γραφαῖς ἀφορμὰς κατηγορίας, λέγει [1]) τὰ ἀπ᾽ αὐτῶν· ὅπου δὲ κατὰ τὰς αὐτὰς γραφὰς δόξαι [2]) ἂν τὰ ἐναντία λέγεσθαι τοῖς εἰς κατηγορίαν παραλαμβανομένοις, ταῦτα [3]) οὐδὲ προσποιεῖται εἰδέναι. Ὁμολογουμένως τοίνυν γέγραπται τὰ περὶ τοῦ δυσειδὲς [4]) γεγονέναι τὸ Ἰησοῦ σῶμα, οὐ μὴν ὡς ἐκτέθειται [5]) καὶ ἀγενές· [6]) οὐδὲ σαφῶς δηλοῦται, ὅτι μικρὸν ἦν. Ἔχει δὲ ἡ λέξις οὕτω παρὰ τῷ [7]) Ἡσαΐᾳ ἀναγεγραμμένη, προφητεύοντι αὐτὸν ἐπιδημήσοντα [8]) τοῖς πολλοῖς οὐκ ἐν ὡραίῳ εἴδει, οὐδέ τινι ὑπερέχοντι κάλλει· »Κύριε, [9]) τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν; Καὶ ὁ βραχίων κυρίου τίνι ἀπεκαλύφθη; Ἀνηγγείλαμεν ἐναντίον αὐτοῦ, ὡς [10]) παιδίον, ὡς ῥίζα ἐν γῇ διψώσῃ. Οὐκ ἔστιν εἶδος αὐτῷ, οὐδὲ [11]) δόξα· καὶ εἴδομεν αὐτὸν, καὶ οὐκ εἶχεν εἶδος, οὐδὲ κάλλος· ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον, καὶ ἐκλεῖπον παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων.« Ἄρ᾽ [12])

---

[1]) Philoc. *λέγει τοὺς ἀπ᾽ αὐτῶν.*

[2]) Philoc. *δόξαιεν ἂν τὰ ἐναντία κτλ.* Spenc. *δόξαι ἄν τις τὰ ἐναντία κτλ.*

[3]) Philoc. *ταῦτα προσποιεῖται οὐκ εἰδέναι.*

[4]) Cfr. Excurs. IX. Tom. XX. ed. nostrae affixus.

[5]) Philoc. Mscr., Hoeschel. teste: *ἐκτίθεται.*

[6]) Philoc. itemq. edd. Spenc. *ἀγεννές.*

[7]) Deest *τῷ* in Philoc.

[8]) Philoc. *ἐπιδημήσαντα.*

[9]) Jesai. LIII, 1—3.

[10]) Spenc. ad marg. *ὡς πεδίον.*

[11]) Desiderantur verba: *οὐδὲ δόξα· καὶ εἴδομεν αὐτὸν, καὶ οὐκ εἶχεν εἶδος*, in libris antea editis (v. c. in Philoc. atque in edd. Spenc.) et omnibus Mss. At non fuisse ab Origene omissa patet ex iis, quae paulo infra, cfr. num. 76., habet: *Ἡ ἐὰν μὲν προφήτης λέγῃ· „Εἴδομεν αὐτὸν, καὶ οὐκ εἶχεν εἶδος, οὐδὲ κάλλος“ κτλ.* R. Boherello duce. — Cfr. pag. 427. not. 13.

[12]) Edd. Spenc. et Ruaei: *Ἄρ οὖν κτλ.* Jam Boherell. vero: „Scribe: *Ἄρ᾽ οὖν*“ *κτλ.*

οὖν τούτων μὲν[1]) ὁ Κέλσος ἤκουεν,[2]) ἐπεὶ[3]) ᾤετο αὐτῷ χρήσιμα εἶναι εἰς τὸ κατηγορεῖσθαι τὸν Ἰησοῦν· οὐκέτι δὲ προσέσχε τοῖς λεγομένοις ἐν τεσσαρακοστῷ τετάρτῳ ψαλμῷ,[4]) τίνα τρόπον λέγεται· »Περίζωσαι[5]) τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου, δυνατέ· τῇ ὡραιότητί σου, καὶ τῷ κάλλει[6]) σου, καὶ ἔντεινον,[7]) καὶ κατευοδοῦ, καὶ βασίλευε.«

76. Ἔστω δὲ μὴ ἀνεγνωκέναι αὐτὸν τὴν προφητείαν, ἢ ἀνεγνωκότα περιεσπᾶσθαι[8]) ὑπὸ τῶν παρερμηνευόντων αὐτὴν, ὡς οὐ περὶ Ἰησοῦ[9]) Χριστοῦ προφητευομένην· τί[10]) φήσει καὶ περὶ τοῦ εὐαγγελίου, ἐν ᾧ ἀναβὰς εἰς [11]) ὑψηλὸν ὄρος μετεμορφώθη ἔμπροσθεν τῶν μαθητῶν, καὶ ὤφθη ἐν δόξῃ; Ὅτε[12]) καὶ Μωϋσῆς καὶ Ἠλίας »ὀφθέντες ἐν δόξῃ ἔλεγον τὴν ἔξοδον αὐτοῦ, ἣν ἔμελλε πληροῦν ἐν Ἰερουσαλήμ.« Ἢ[13]) ἐὰν μὲν προφήτης λέγῃ· »Εἴδομεν[14]) αὐτὸν, καὶ οὐκ εἶχεν εἶδος, οὐδὲ κάλλος,« καὶ τὰ ἑξῆς· καὶ[15])

---

[1]) Deest *μέν* in Philoc.

[2]) Philoc. *ἤκουσεν.*

[3]) Philoc. Mscr., Hoeschel. teste: *ἐπεὶ ᾤετο χρήσιμον αὐτῷ κτλ.*

[4]) Philoc. *ψαλμῷ τῷ ὑπὲρ τοῦ ἀγαπητοῦ, τίνα τρόπον κτλ.*

[5]) Psalm. XLV, 3. 4. (XLIV.)

[6]) Philoc. *κάλλει σου, ἔντεινε καὶ κατευοδοῦ.*

[7]) Hoeschel. in textu, Spenc. ad marg. *ἔντεινατι.*

[8]) Sic Philoc. Hoeschel. et Spenc. *περισπᾶσθαι.*

[9]) Deest *Ἰησοῦ* in edd. Spenc.

[10]) Philoc. *τί φησι καί κτλ.*

[11]) Philoc Mscr., Hoeschel. teste: *ἐπὶ τὸ ὑψηλὸν ὄρος κτλ.* — Cfr. Matth. XVII, 1. seqq.

[12]) Philoc. Mscr., Hoeschel. teste: *Ὅτε Μωσῆς κτλ.* Cfr. Luc. IX, 30. 31.

[13]) Cfr. pag. 426. not. 11.

[14]) Spenc. *εἴδωμεν κτλ.* Jam Boherell. vero: „Lege: *εἴδομεν*" *κτλ.* — Cfr. Jesai. LIII, 2.

[15]) Uncis inclusum legitur *καί* in edd. Spenc.

ὁ Κέλσος παραδέχεται τὴν προφητείαν ταύτην ἐπὶ τὸν Ἰησοῦν (328) ἀναφέρεσθαι, τυφλώττων περὶ τὴν παραδοχὴν τοῦ λεγομένου, καὶ οὐχ ὁρῶν, ὅτι[1]) μεγάλη κατασκευή ἐστι τοῦ τὸν ἄμορφον εἶναι δοκοῦντα Ἰησοῦν υἱὸν εἶναι θεοῦ, τὸ πρὸ πολλῶν ἐτῶν τῆς γενέσεως αὐτοῦ πεπροφητεῦσθαι καὶ περὶ τοῦ εἴδους αὐτοῦ· ἐὰν δὲ ἄλλος προφήτης ὡραιότητα καὶ κάλλος εἶναι λέγῃ περὶ αὐτὸν, οὐκέτι βούλεται τὴν προφητείαν εἰς[2]) Χριστὸν ἀναφέρεσθαι; Καὶ εἰ μὲν σαφῶς ἦν ἀπὸ τῶν εὐαγγελίων λαβεῖν, ὅτι[3]) »οὐκ εἶχεν εἶδος, οὐδὲ κάλλος, ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον[4]) ἦν, καὶ ἐκλεῖπον παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων·« εἶποι ἄν τις, οὐ κατὰ τὸ[5]) προφητικὸν εἰρηκέναι[6]) ταῦτα τὸν Κέλσον, ἀλλὰ κατὰ τὸ[7]) εὐαγγελικόν. Νυνὶ δὲ οὔτε τῶν εὐαγγελίων, ἀλλ' οὐδὲ τῶν ἀποστόλων ἐμφαινόντων, ὅτι »οὐκ[8]) εἶχεν εἶδος, οὐδὲ κάλλος·« σαφὲς, ὅτι τὸ ἀπὸ τῆς προφητείας ἀναγκάζεται παραδέχεσθαι,[9]) ὡς ἀληθευόμενον περὶ Χριστοῦ· ὅπερ οὐκέτι ἐπιτρέπει τὰς[10]) περὶ Ἰησοῦ κατηγορίας προβαίνειν.

77. *Πάλιν*[11]) τε αὖ ὁ λέγων· »Ἐπειδὴ θεῖον

---

[1]) Philoc. ὅτι μέγα τῇ κατασκευῇ ἐστι, τὸ τὸν ἄμορφον εἶναι δοκοῦντα Ἰησοῦν, υἱὸν εἶναι θεοῦ, καὶ πρὸ πολλῶν κτλ.

[2]) Philoc. εἰς Ἰησοῦν Χριστόν.

[3]) Cfr. Jesai. LIII, 2. 3.

[4]) Philoc. ἄτιμον ἐκλεῖπον παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων· εἶπεν ἄν τις κτλ.

[5]) Deest τό in edd. Spenc.

[6]) Philoc. Mscr., Hoeschel. teste: εἰρηκέναι τον Κέλσον ταῦτα, ἀλλά κτλ.

[7]) Philoc. τὸ εὐαγγέλιον.

[8]) Cfr. Jesai. LIII, 2.

[9]) Philoc. παραδέξασθαι.

[10]) Philoc. τὰς περὶ τοῦ Ἰησοῦ.

[11]) Philoc. *Πάλιν τ'* αὖ ὁ λέγων κτλ.

πνεῦμα ἦν ἐν σώματι, πάντως [1]) παραλλάττειν αὐτὸ τῶν λοιπῶν ἐχρῆν, ἢ κατὰ μέγεθος, ἢ φωνὴν, ἢ ἀλκὴν, ἢ [2]) κατάπληξιν, ἢ πειθώ· « πῶς οὐχ ἑώρα τὸ παραλλάττον τοῦ σώματος αὐτοῦ πρὸς τὸ τοῖς ὁρῶσι δυνατὸν, καὶ διὰ τοῦτο χρήσιμον, τοιοῦτο [3]) φαινόμενον, ὁποῖον ἔδει ἑκάστῳ βλέπεσθαι; Καὶ οὐ θαυμαστὸν, τὴν φύσει [4]) τρεπτὴν καὶ ἀλλοιωτὴν, καὶ εἰς πάντα ἃ βούλεται ὁ δημιουργὸς ὕλην μεταβλητὴν, καὶ πάσης ποιότητος, ἣν [5]) ὁ τεχνίτης βούλεται, δεκτικὴν, ὁτὲ μὲν ἔχειν ποιότητα, καθ' ἣν λέγεται [6]) τό· »οὐκ εἶχεν εἶδος, οὐδὲ κάλλος·« ὁτὲ δὲ οὕτως ἔνδοξον καὶ καταπληκτικὴν καὶ θαυμαστὴν, ὡς ἐπὶ πρόσωπον πεσεῖν [7]) τοὺς θεατὰς τοῦ τηλικούτου κάλλους, συνανελθόντας τῷ Ἰησοῦ τρεῖς ἀποστόλους. Ἀλλ' ἐρεῖ ταῦτ' [8]) εἶναι πλάσματα, καὶ μύθων οὐδὲν διαφέροντα, ὡς καὶ τὰ λοιπὰ τῶν περὶ Ἰησοῦ παραδόξων· καὶ [9]) πρὸς τόδε μὲν οὖν διὰ πλειόνων ἐν τοῖς πρὸ τούτων ἀπελογησάμεθα. Ἔχει [10]) δέ τι καὶ μυστικὸν [11]) ὁ λόγος, ἀπαγγέλλων τὰς τοῦ Ἰησοῦ διαφόρους [12]) μορφὰς ἀναφέρεσθαι ἐπὶ τὴν τοῦ

---

[1]) Philoc. *πάντως τοι παραλλάττειν αὐτό κτλ.* — Cfr. lib. huj. num. 75. ab initio coll. not.

[2]) Philoc. Mscr., Hoeschel. teste: *ἢ κατ' ἔκπληξιν.*

[3]) Philoc. *τοιοῦτον.*

[4]) Hoeschel. in textu, Spenc. ad marg. *φύσιν.*

[5]) Philoc. Mscr., Hoeschel. teste: *ἣν ὁ δεσπότης βούλεται.*

[6]) Philoc. *λέλεκται τό.* — Cfr. Jesai. LIII, 2.

[7]) Cfr. Matth. XVII, 6.

[8]) Philoc. *ταῦτα εἶναι κτλ.*

[9]) Desunt verba: *Καὶ πρὸς τόδε — ἀπελογησάμεθα,* in Philocalia. Quae vero ibidem vocab. *παραδόξων* excipiunt, cum lib. I. contra Cels. num. 42. et 63., tum lib. II. num. 15. jamjam leguntur.

[10]) Cfr. Philoc. cap. XV. pag. (edd. Tarini) 140. seqq.

[11]) Hoeschel. et Spenc. in marg. *μυστικωτέρων.*

[12]) Vide lib. II. contra Cels. num. 64.

θείου λόγου φύσιν, οὐχ ὁμοίως φαινομένου τοῖς τε πολλοῖς, καὶ τοῖς ἀκολουθεῖν αὐτῷ εἰς ὑψηλὸν, ὃ ἀποδεδώκαμεν, ὄρος [1]) δυναμένοις· τοῖς μὲν γὰρ ἔτι [2]) κάτω τυγχάνουσι, καὶ μηδέ πω ἐπὶ τὸ ἀναβαίνειν παρεσκευασμένοις, ὁ λόγος »οὐκ [3]) ἔχει εἶδος, οὐδὲ κάλλος·« τὸ γὰρ εἶδος [4]) αὐτοῦ τοῖς τοιούτοις ἐστὶν ἄτιμον, καὶ ἐκλεῖπον παρὰ τοὺς ὑπὸ ἀνθρώπων γεγενημένους λόγους, τροπικῶς ἐν τούτοις καλουμένους υἱοὺς ἀνθρώπων. Εἴποιμεν [5]) γὰρ ἂν πολλῷ ὡραιοτέρους φαίνεσθαι τοὺς τῶν φιλοσοφούντων λόγους, ὄντας υἱοὺς ἀνθρώπων, παρὰ τὸν τοῖς πολλοῖς κηρυσσόμενον θεοῦ [6]) λόγον, ὃς ἐμφαίνει καὶ μωρίαν [7]) κηρύγματος· καὶ, διὰ τὴν ἐμφαινομένην μωρίαν τοῦ κηρύγματος, λέγουσιν οἱ τοῦτο μόνον θεωροῦντες· (329) »εἴδομεν [8]) αὐτὸν, καὶ οὐκ εἶχεν εἶδος, οὐδὲ κάλλος.« Τοῖς μέν [9]) τοι ἀκολουθεῖν αὐτῷ δύναμιν ἀνειληφόσι πρὸς τὸ ἕπεσθαι καὶ ἀναβαίνοντι αὐτῷ εἰς τὸ ὑψηλὸν ὄρος, [10]) θειοτέραν μορφὴν ἔχει· ἣν βλέπουσιν, εἴ τίς ἐστι Πέτρος [11]) χωρήσας τὴν τῆς ἐκκλησίας ἐν ἑαυτῷ [12]) οἰκοδομὴν ἀπὸ τοῦ λόγου· καὶ τοσαύτην ἕξιν ἀναλαβὼν, ὡς μηδεμίαν πύλην ᾅδου κατισχύσειν [13]) αὐτοῦ· ὑψωθέντος διὰ [14])

---

[1]) Cfr. Matth. XVII, 1.

[2]) Philoc. *ἔτι τυγχάνουσι κάτω.*

[3]) Cfr. Jesai. LIII, 2. [4]) Cfr. Jesai. LIII, 3.

[5]) Philoc. *Εἴπομεν κτλ.* Mallet Guietus: *Εἴποιεν γὰρ ἂν κτλ.*

[6]) Philoc. *τοῦ θεοῦ λόγον.*

[7]) Cfr. I Cor. I, 21. [8]) Jesai. LIII, 2.

[9]) Philoc. *μέν τοι, ἐκ τοῦ ἀκολουθεῖν.*

[10]) Cfr. Matth. XVII, 1.

[11]) Cfr. Matth. XVI, 18.

[12]) Sic Philocalia. Hoeschel. vero: *αὐτῷ.* R. — Spenc. *αὑτῷ.*

[13]) Philoc. *κατισχύειν.* — Cfr. Matth. XVI, 18.

[14]) Sic recte Codd. Reg. et Basileensis. Hoeschel. autem, Spenc. et Philocalia: *διὰ τὸν λόγον.* R.

τοῦ λόγου ἐκ τῶν πυλῶν τοῦ θανάτου, ὅπως ἂν ἐξαγγείλῃ[1]) πάσας τὰς αἰνέσεις τοῦ θεοῦ ἐν ταῖς πύλαις τῆς θυγατρὸς Σιών· καὶ εἴ τινές εἰσιν ἐκ λόγων τὴν γένεσιν λαχόντες[2]) μεγαλοφώνων, οἵτινες οὐδὲν[3]) ἀποδέουσιν υἱοὶ τῆς βροντῆς εἶναι.[4]) Ἀλλὰ[5]) πόθεν Κέλσῳ, καὶ τοῖς ἐχθροῖς τοῦ θείου λόγου, καὶ μὴ φιλαλήθως τὰ Χριστιανισμοῦ ἐξετάσασιν, εἰδέναι τὸ βούλημα τῶν διαφόρων τοῦ Ἰησοῦ μορφῶν; Ἐγὼ δὲ λέγω καὶ ἡλικιῶν, καὶ εἴ τι τῶν πρὸ τοῦ παθεῖν αὐτῷ πεπραγμένων, καὶ τῶν μετὰ τὸ ἀναστῆναι ἀπὸ τῶν νεκρῶν.[6])

78. Ἐξῆς δὲ τοιαῦτά τινα λέγει ὁ Κέλσος· Ἔτι μὴν εἴπερ ἐβούλετο ὁ θεὸς, ὥσπερ ὁ παρὰ τῷ κωμῳδῷ Ζεὺς, ἐκ τοῦ μακροῦ ὕπνου διϋπνίσας ῥύσασθαι τὸ τῶν ἀνθρώπων γένος ἐκ κακῶν· τί δή ποτε εἰς μίαν γωνίαν ἔπεμψε τοῦτο, ὅ φατε, πνεῦμα; Λέον πολλὰ ὁμοίως διαφυσῆσαι σώματα, καὶ κατὰ πᾶσαν ἀποστεῖλαι τὴν οἰκουμένην. Ἀλλ' ὁ μὲν κωμῳδὸς ἐν τῷ θεάτρῳ γελωτοποιῶν συνέγραψεν, ὅτι Ζεὺς ἐξυπνισθεὶς Ἀθηναίοις καὶ Λακεδαιμονίοις τὸν Ἑρμῆν ἔπεμψε· σὺ δὲ οὐκ οἴει καταγελαστότερον[7]) πεποιηκέναι Ἰουδαίοις

---

[1]) Philoc. ἐξαγγείλοι. — Cfr. Psalm. IX, 14.

[2]) Philoc. λαχόντες μεγαλοφώνων, οἵτινες μηδὲν ἀποδέουσι νοητῆς βροντῆς. Hoeschel. et Spenc. λαβόντες, μεγαλόφωνοί τινες, οὐδὲν ἀποδέουσιν οἱ τῆς βροντῆς, sicque Codd. Reg. et Basil., nisi quod pro: [οἱ τῆς βροντῆς, habent: υἱοὶ τῆς βροντῆς εἶναι. R.

[3]) Boherellus: „Malim: οὐδὲν ἀποδέοντες τῶν" κτλ. — Cfr. Marc. III, 17.

[4]) Verba ἀποδέουσι νοητῆς βροντῆς, — cfr. pag. huj. not. 2. —, haec verba in Philoc. excipiunt: Καὶ τὰ ἱμάτια δὲ αὐτοῦ κάτω ἄλλα ἐστίν κτλ. Vide Excurs. X. Tom. XX. ed. nostrae appositum.

[5]) Cfr. Philoc. cap. XV. pag. (edd. Tarini) 145.

[6]) Hactenus Philocalia.

[7]) Hoeschel. et Spenc. in textu: καταγέλαστον. At

πεμπόμενον τοῦ θεοῦ τὸν υἱόν;« Ὅρα δὴ καὶ ἐν τούτοις τὸ ἄσεμνον τοῦ Κέλσου, ἀφιλοσόφως κωμῳδίας ποιητὴν γελωτοποιὸν παραλαβόντος, καὶ τῷ παρ' αὐτῷ διϋπνισθέντι πέμποντι Ἑρμῆν παραβάλλοντος τὸν τοῦ παντὸς δημιουργὸν θεὸν ἡμῶν. Εἴπομεν[1]) δὴ ἐν τοῖς πρὸ τούτων, ὅτι οὐχ ὥσπερ ἀπὸ μακροῦ ὕπνου διαναστὰς ὁ θεὸς ἔπεμψε τὸν Ἰησοῦν τῷ γένει τῶν ἀνθρώπων, τὴν μὲν κατὰ τὴν ἐνσωμάτωσιν οἰκονομίαν νῦν δι' εὐλόγους αἰτίας πληρώσαντα,[2]) ἀεὶ δὲ τὸ γένος τῶν ἀνθρώπων εὐεργετήσαντα. Οὐδὲν γὰρ τῶν ἐν ἀνθρώποις καλῶν γεγένηται, μὴ τοῦ θείου λόγου ἐπιδημήσαντος ταῖς ψυχαῖς τῶν κἂν ὀλίγον καιρὸν δεδυνημένων δέξασθαι τὰς τοιάσδε τοῦ θείου λόγου ἐνεργείας. Ἀλλὰ καὶ ἡ δοκοῦσα εἰς μίαν γωνίαν ἐπιδημία τοῦ Ἰησοῦ εὐλόγως γεγένηται· ἐπείπερ ἐχρῆν τοῖς ἕνα θεὸν μεμαθηκόσι, καὶ τοὺς προφήτας αὐτοῦ ἀναγιγνώσκουσι, καὶ κηρυσσόμενον Χριστὸν μανθάνουσιν, ἐπιδημῆσαι τὸν προφητευόμενον, καὶ ἐπιδημῆσαι ἐν καιρῷ, ὅτ' ἔμελλεν ἐκχεῖσθαι ἀπὸ μιᾶς γωνίας ὁ[3]) λόγος ἐπὶ πᾶσαν τὴν οἰκουμένην.

79. Διὸ καὶ χρεία οὐκ ἦν πολλὰ γενέσθαι πανταχοῦ σώματα, καὶ πολλὰ ἀνάλογον τῷ Ἰησοῦ πνεύματα, ἵνα ἡ πᾶσα τῶν ἀνθρώπων οἰκουμένη φωτισθῇ τῷ λόγῳ τοῦ θεοῦ. Ἥρκει γὰρ ὁ εἷς λόγος, ὡς »δικαιοσύνης[4]) ἥλιος« ἀνατείλας (330) ἀπὸ τῆς Ἰουδαίας ἐκ-

---

Codd. Reg. Basil. et Vatican. (itemq. edd. Spenc. ad marg.) καταγελαστότερον. R.

[1]) Sic Mss. (itemq. Boherell.) Hoeschel. autem et Spencer. Εἴποιμεν. R.

[2]) Codd. Reg. et Basil. πληρώσαντα. Hoeschel. et Spencer. ἐπικληρώσαντα. R. — Boherellus: „Melius legas: ἐπιπληρώσαντα."

[3]) Desiderantur verba: ὁ λόγος, in antea editis (v. c. edd. Spenc.), sed habentur in Mss. R.

[4]) Cfr. Malach. IV, 2. — Ev. Joann. I, 9. seqq.

πέμψαι τὰς ἐπὶ τὴν ψυχὴν τῶν βουλομένων αὐτὸν παραδέξασθαι φθανούσας αὐγάς. Εἰ δὲ καὶ πολλά τις ποθεῖ σώματα πεπληρωμένα θείου πνεύματος ἰδεῖν, ἀνάλογον ἐκείνῳ τῷ ἐνὶ Χριστῷ διακονούμενα τῇ πανταχοῦ τῶν ἀνθρώπων σωτηρίᾳ, κατανοείτω τοὺς πανταχοῦ ὑγιῶς καὶ μετὰ βίου ὀρθοῦ διδάσκοντας τὸν Ἰησοῦ λόγον, Χριστοὺς καὶ αὐτοὺς ὑπὸ τῶν θείων γραφῶν καλουμένους ἐν τῷ· »Μὴ [1]) ἅπτεσθε [2]) τῶν Χριστῶν μου, καὶ ἐν τοῖς προφήταις μου μὴ πονηρεύεσθε.« Καὶ γὰρ ὥσπερ ἠκούσαμεν, [3]) ὅτι ἀντίχριστος ἔρχεται, καὶ οὐδὲν ἧττον μεμαθήκαμεν, ὅτι ἀντίχριστοι πολλοὶ εἰσιν ἐν τῷ κόσμῳ· τὸν αὐτὸν τρόπον ὅτι Χριστὸς ἐπιδεδήμηκε γνόντες θεωροῦμεν, ὅτι δι' αὐτὸν πολλοὶ Χριστοὶ [4]) γεγόνασιν ἐν τῷ κόσμῳ, οἵτινες ἀνάλογον ἐκείνῳ ἠγάπησαν [5]) δικαιοσύνην, καὶ ἐμίσησαν ἀδικίαν· καὶ διὰ τοῦτο ἔχρισε καὶ αὐτοὺς ὁ θεὸς, ὁ θεὸς τοῦ Χριστοῦ, ἐλαίῳ ἀγαλλιάσεως. Ἀλλ' ἐκεῖνος μὲν οὖν ὑπὲρ τοὺς [6]) μετόχους αὐτοῦ ἀγαπήσας [7]) δικαιοσύνην, καὶ μισήσας ἀνομίαν, καὶ τὴν ἀπαρχὴν εἴληφε τοῦ χρίσματος, καὶ, εἰ χρὴ οὕτως ὀνομάσαι, ὅλον τὸ χρίσμα τοῦ τῆς ἀγαλλιάσεως ἐλαίου· οἱ δὲ μέτοχοι αὐτοῦ, ἕκαστος ὡς κεχώρηκε, μετέσχον [8]) καὶ τοῦ χρίσματος αὐτοῦ. Διόπερ, ἐπεὶ Χριστὸς [9]) κεφαλή ἐστι τῆς ἐκκλησίας, ὡς εἶναι ἓν σῶμα Χριστὸν καὶ τὴν ἐκκλη-

---

[1]) Cfr. I Chron. XVI, 22, coll. Psalm. CV, 15. (CIV.)

[2]) Edd. Spenc. ad marg. ἅψησθε.

[3]) Cfr. I Joann. II, 18.

[4]) Cod. Anglican. primus: *Χριστιανοί*, sicque legerat Gelenius interpres. R.

[5]) Cfr. Psalm. XLV, 7. (XLIV.) coll. Hebr. I, 9.

[6]) Deest *τούς* in ed. Ruaei.

[7]) Cfr. Hebr. I, 9. coll. Psalm. XLV, 7. (XLIV.)

[8]) Hoeschel. et Spenc. in marg. *μετέσχε*.

[9]) Cfr. Coloss. I, 18.

σίαν· τὸ μῦρον [1]) ἀπὸ [2]) κεφαλῆς καταβέβηκεν ἐπὶ τὸν πώγωνα, τὰ σύμβολα τοῦ τελείου ἀνδρὸς, Ἀαρὼν, καὶ ἔφθασε καταβαῖνον τοῦτο τὸ μῦρον ἐπὶ τὴν ὥαν τοῦ ἐνδύματος αὐτοῦ. Καὶ ταῦτα δέ μοι λέλεκται πρὸς τὸν ἄσεμνον τοῦ Κέλσου λόγον εἰπόντος· »Λέον πολλὰ ὁμοίως διαφυσῆσαι σώματα, καὶ κατὰ πᾶσαν ἀποστεῖλαι τὴν οἰκουμένην.« Ὁ μὲν οὖν κωμῳδὸς γελωτοποιῶν τὸν Λία κοιμώμενον πεποίηκέ [3]) τε καὶ διϋπνιζόμενον, καὶ πέμποντα πρὸς τοὺς Ἕλληνας τὸν Ἑρμῆν· ὁ δὲ λόγος, ἄϋπνον ἐπιστάμενος φύσιν τὴν τοῦ θεοῦ, διδασκέτω ἡμᾶς, ὅτι κατὰ καιροὺς οἰκονομεῖ τὰ τοῦ κόσμου πράγματα ὁ θεὸς, ὡς ἀπαιτεῖ τὸ εὔλογον. Οὐ θαυμαστὸν δὲ, εἰ, διὰ τὸ μεγαλας [4]) εἶναι καὶ δυσδιηγήτους τὰς κρίσεις τοῦ θεοῦ, αἱ ἀπαίδευτοι πλανῶνται ψυχαὶ, καὶ Κέλσος σὺν αὐταῖς. Οὐδὲν οὖν καταγέλαστόν ἐστιν ἐν τῷ, Ἰουδαίοις, παρ' οἷς γεγόνασιν οἱ προφῆται, πεπέμφθαι τὸν υἱὸν τοῦ θεοῦ· ἵν' ἐκεῖθεν ἀρξάμενος σωματικῶς δυνάμει καὶ πνεύματι ἀνατείλῃ τῇ μηκέτι βουλομένῃ ἐρήμῳ θεοῦ τυγχάνειν οἰκουμένῃ ψυχῶν. [5])

80. Ἐξῆς δὲ τούτοις ἐνθεώτατα ἐξ ἀρχῆς ἔδοξε Κέλσῳ λέγειν ἔθνη Χαλδαίους, [6]) ἀφ' ὧν ἡ ἀπατηλὸς γενεθλιαλογία νενέμηται τοὺς ἀνθρώπους. Ἀλλὰ καὶ Μάγους τοῖς ἐνθεωτάτοις κατατάττει ἔθνεσιν ὁ Κέλσος, ἀφ' ὧν ἡ παρώνυμος τοῦ ἔθνους αὐτῶν μαγεία καὶ τοῖς λοιποῖς ἔθνεσιν, ἐπὶ διαφθορᾷ καὶ ὀλέθρῳ τῶν

---

[1]) Cfr. Psalm. CXXXIII, 2. (CXXXII.)

[2]) Hoeschel. et Spenc. ἐπὶ κεφαλῆς. Jam Boherell. vero: „Lego: ἀπὸ κεφαλῆς. — Cfr. Psalm. CXXXIII, 2. (CXXXII.)

[3]) Spenc. ad marg. πεποίηκέ τι καί κτλ.

[4]) Cfr. Sap. Sal. XVII, 1.

[5]) Vocab. ψυχῶν Guieto suspectum est, et additium videtur. R.

[6]) Cod. Anglican. primus: Χαλδαῖα. R.

χρωμένων αὐτῇ, ἐπιδεδήμηκε. Καὶ Αἰγύπτιοι μὲν ἐν μὲν τοῖς ἀνωτέρω καὶ (331) παρὰ τῷ Κέλσῳ ἐπλανῶντο, ὡς σεμνοὺς μὲν ἔχοντες περιβόλους τῶν νομιζομένων ἱερῶν, ἔνδον δὲ οὐδὲν ἀλλ' ἢ πιθήκους, ἢ κροκοδείλους, ἢ αἴγας, ἢ ἀσπίδας, ἤ τι τῶν ζώων· νῦν δὲ ἔδοξε Κέλσῳ ἐνθεώτατον εἰπεῖν καὶ τὸ Αἰγυπτίων ἔθνος, καὶ ἐνθεώτατον ἐξ ἀρχῆς· τάχα, ἐπεὶ Ἰουδαίοις ἐξ ἀρχῆς προσπεπολεμήκασι. Καὶ Πέρσαι δὲ, οἱ τὰς μητέρας γαμοῦντες, καὶ θυγατράσι μιγνύμενοι, ἔνθεον ἔθνος εἶναι τῷ Κέλσῳ δοκοῦσιν· ἀλλὰ καὶ Ἰνδοὶ,[1]) ὧν τινας ἐν τοῖς προειρημένοις ἔλεγε καὶ ἀνθρωπείων γεγεῦσθαι σαρκῶν. Μηδὲν δὲ τούτων Ἰουδαίους, μάλιστα τοὺς πάλαι, πράττοντας οὐ μόνον οὐκ εἶπεν ἐνθεωτάτους, ἀλλὰ καὶ αὐτίκα ἀπολουμένους. Τοῦτο μὲν ἤδη καὶ ὡς μαντικὸς λέγει περὶ αὐτῶν· οὐχ ὁρῶν πᾶσαν τὴν περὶ Ἰουδαίους, καὶ τὴν σεμνὴν πάλαι πολιτείαν αὐτῶν, τοῦ θεοῦ οἰκονομίαν· καὶ ὡς τῷ ἐκείνων παραπτώματι[2]) ἡ σωτηρία γεγένηται τοῖς ἔθνεσι· καὶ »τὸ[3]) παράπτωμα αὐτῶν, πλοῦτος κόσμου· καὶ τὸ ἥττημα αὐτῶν, πλοῦτος ἐθνῶν·« ἕως[4]) τὸ πλήρωμα τῶν ἐθνῶν εἰσέλθῃ, ἵνα μετὰ τοῦτο πᾶς, ὃν οὐ νοεῖ Κέλσος, Ἰσραὴλ σωθῇ.

81. Οὐκ οἶδα δ' ὅπως φησὶ περὶ τοῦ θεοῦ, ὅτι »ὁ πάντα εἰδὼς τοῦτο οὐκ ἠπίστατο, ὅτι κακοῖς ἀνθρώποις, καὶ ἁμαρτησομένοις, καὶ κολάσουσιν αὐτοῦ τὸν υἱὸν πέμπει.« Ἀλλ' ἔοικε νῦν μὲν ἑκὼν ἐπιλελῆσθαι τοῦ φάσκοντος λόγου,[5]) πάντα, ἃ πείσεται Ἰησοῦς ὁ

---

[1]) Duo Codd. Anglicani: Ἰνδῶν, sicque Hoeschel. in textu (Spenc. ad marg.) R.

[2]) Cfr. Rom. XI, 11.

[3]) Cfr. Rom. XI, 12.

[4]) Ita Mss. et Hoeschel. in textu (Spenc. ad marg.) Spencer. vero (in textu): ἄχρις οὗ πλήρωμα κτλ. R. — Cfr. Rom. XI, 25. 26.

[5]) Cfr. Luc. XXIV, 26. 27.

Χριστὸς, προεωρακέναι θείῳ πνεύματι, καὶ πεπροφητευκέναι τοὺς τοῦ θεοῦ προφήτας. Οἷς οὐχ ἕπεται τὸ »μὴ ἐγνωκέναι τὸν θεὸν, ὅτι κακοῖς καὶ ἁμαρτησομένοις ἀνθρώποις πέμπει τὸν υἱὸν, καὶ κολάσουσιν αὐτόν.« Εὐθέως δὲ λέγει τὸ, πάλαι »ταῦτα προειρῆσθαι, ἐν ἀπολογίᾳ ὑφ' ἡμῶν λέγεσθαι.« Ἀλλ', ἐπεὶ αὐτάρκη περιγραφὴν εἴληφεν ὁ ἕκτος ἡμῶν Τόμος, αὐτοῦ που καταπαύσαντες τὸν λόγον ἀρξόμεθα, θεοῦ διδόντος, ἑβδόμου· ἐν ᾧ ἁπάντων νομίζει πρὸς τὸ ὑφ' ἡμῶν λέγεσθαι, τοὺς προφήτας πάντα τὰ περὶ τοῦ Ἰησοῦ προειρηκέναι. Ἅπερ ἐπεὶ πλείονά ἐστι, καὶ πλείονος λόγου δεῖται τοῦ πρὸς αὐτά· οὔτε διακόψαι ἐβουλήθημεν, ὑπὸ τοῦ μεγέθους ἀναγκαζόμενοι τοῦ βιβλίου, οὔτε, ὑπὲρ τοῦ μὴ διακόψαι τὸν λόγον, μέγιστον ποιῆσαι καὶ ὑπὲρ τὸ σύμμετρον τὸν ἕκτον Τόμον.

Typis fratrum Unger.